ἀγών, ὁ, *contest, struggle*; **1.** of martyrdom *οἱ καὶ μετὰ πάσης προθυμίας ἀνεπλήρουν τὴν ὁμολογίαν τῆς μαρτυρίας, ἐφαίνοντο δὲ καὶ οἱ ἀνέτοιμοι...ἀ. μεγάλου τόνου ἐνέγκειν μὴ δυνάμενοι Ep.Lugd.*ap. Eus.*h.e.*5.1.11(M.20.413A); *παρ' ὅλον τὸν ἐνεστηκότα ἀ. μεμνημένους τοῦ ἀποκειμένου πολλοῦ ἐν οὐρανοῖς μισθοῦ τοῖς διωχθεῖσι* Or.*mart.*4 (p.5.12; M.11.568A); *ib.*18(p.17.1; 585B); *ib.*(p.17.6; 588A); *τοὺς ὑπὲρ εὐσεβείας ἀ. οἱ θεοφιλεῖς διῆλθον μάρτυρες* Eus.*v.C.*1.15(p.15.18; M.20. 929C); *ὑποστάντες ἀ. τοῦ μαρτυρίου ib.*2.35(p.56.12; 1012B); *ὁ τελευταῖος ἀ. τοῦ μαρτυρίου M.Thdot.*1(p.62.1); *M.Eupl.*2.2; Hier.*v. Paul.*B(p.5.7); **2.** of spiritual struggle; **a.** of Christian life in gen. *ὁ αὐτὸς ἡμῖν ἀ. ἐπίκειται 1Clem.*7.1; *ἀ. τὸν ἄφθαρτον 2Clem.*7.3; *ib.* 7.5; Hipp.*haer.*9.17(p.255.26; M.16.3394C); Or.*mart.*5(p.6.15; M.11. 568D); *εἰσῆλθες εἰς ἀ.* Cyr.H.*procatech.*6; *ἡ τοῦ ἐλαίου χρῖσις ἐπὶ τοὺς ἱεροὺς ἀ. ἐκάλει τὸν τελούμενον* Dion.Ar.*e.h.*7.3.8(M.3.565A); *πρὸς τὸ τοῦ θανάτου πέρας ἴασιν, ὡς ἐπὶ τέλος ἱερῶν ἀ. ib.*7.1.1(553A); *ib.* (553B); *οἱ ἀ. τῶν πιστῶν ἐντολαί εἰσιν* Marc.Er.*opusc.*4(M.65.989D); **b.** of struggle for salvation of others: of intercession *ἀ. ἦν ὑμῖν ἡμέρας τε καὶ νυκτὸς ὑπὲρ πάσης τῆς ἀδελφότητος, εἰς τὸ σώζεσθαι μετ' ἐλέους καὶ συνειδήσεως τὸν ἀριθμὸν τῶν ἐκλεκτῶν αὐτοῦ 1Clem.* 2.4; Just.*dial.*142.2(M.6.800C); *οἱ δὲ ἱερεῖς ὑπ' αὐτῷ* [sc. *ἱεράρχῃ*] *τελοῦσι τὴν τῆς χρίσεως ἱερουργίαν, ἐπὶ τοὺς ἱεροὺς ἐν τύπῳ τὸν τελούμενον ἀ. ἐκκαλούμενοι* Dion.Ar.*c.h.*2.6(M.3.401D); *ib.*(404A); **c.** of struggle for perfection *τὸ χάρισμα τοῦ πνεύματος τοῦ ἁγίου, ὅπερ ἡ πιστὴ ψυχὴ λαμβάνειν καταξιοῦται, μετὰ πολλοῦ ἀ.* Mac.Aeg. *hom.*9.7(M.34.536B); *ὁ βουλόμενος εὐαρεστῆσαι θεῷ ἐξ ἀληθείας... πρὸς δύο ἀ. ἔχει τὴν πάλην· ἔν τε τοῖς φαινομένοις τοῦ βίου τούτου πράγμασι...καὶ ἐν τοῖς κρυπτοῖς, πρὸς αὐτὰ τὰ τῆς πονηρίας ἀπομαχόμενος πνεύματα ib.*21.1(656B); Nil.*Eulog.*2(M.79.1096B); *οἱ πνευματικοὶ ἀ.* Niceph.Ur.*v.Sym.*249(M.86.3213C); *ἐζεύξαμεν τῇ ὑπομονῇ τὸν ἀ. ὅτι κατὰ παντὸς πάθους διαβολικοῦ τὴν νίκην ἀποφέρονται* Ant.Mon.*hom.*79(M.89.1669A); Jo.Clim.*scal.*1(M.88.636C); *οὐκ ὀλίγος δὲ ἀ. τὸν ἑαυτὸν ἄνθρωπον ποιῆσαι μοναχόν* Max.*carit.*4.50(M.90.1060B); Thdr.Stud.*or.*12.6(M.99.853C); **d.** of Christ's temptations, Or.*Jo.* 10.1(p.171.15; M.14.308A); agony, *ib.*32.23(15; p.466.13; 805C); fight with death, Eus.*l.C.*15(p.245.9; M.20.1416A).

ἀγωνιάω, *be anxious* or *in agony*; c. infin. *ἀ. ... εἰπεῖν* Or.*dial.* 15(p.152.17).

ἀγωνίζ-ομαι, *contend for a prize; fight, struggle, strive*; **1.** ref. persecution; **a.** of those persecuted, esp. martyrs *~ομένοις καὶ ἐπὶ τὸ μαρτύριον καλουμένοις* Or.*mart.*18(p.16.24; M.11.585A); *τὸν μέγαν ἀγῶνα ib.*(p.17.26; 588B); id.*Cels.*1.62(p.115.2; M.11.777A);

Ath.*v.Anton.*46(M.26.909C); *M.Thdot.*1 36(p.84.25); and others, Or. *mart.*2(p.4.14; 565B); *τὸν ὑπὲρ τῶν ἀποστολικῶν ἠγωνισμένον δογμάτων* Thdt.*h.e.*5.4.6(3.1020); **b.** of persecutors *ὑμῶν* [sc. Jews] ... *ἀρνεῖσθαι ἡμᾶς τὸ ὄνομα τοῦ Χριστοῦ ~ομένων* Just.*dial.*96.2(M.6.704B); and adversaries of Christ, *ib.*104.1(720B); of Caiaphas *κατὰ τοῦ Ἰησοῦ* Or.*Jo.*28.14(12; p.408.2; M.14.712B); *ib.*28.18(14; p.412.10; 720A); of Devil *~όμενος καταβαλεῖν διὰ τοῦ ἀξιοῦν προσκυνῆσαι αὐτόν* Just.*dial.*125.4(M.6.768A); *δαίμονες...~ονται γὰρ ἔχειν ὑμᾶς δούλους* id.*1apol.*14.1(M.6.348B); *παντὶ δὲ τρόπῳ πρὸς πάντας ~ονται, ἵνα ἀπὸ τοῦ θεοῦ οἱ δείλαιοι τοὺς ἀνθρώπους χωρίσωσι* Max.*carit.*2.90 (M.90.1013B); **2.** of spiritual struggle *~εται γὰρ ἡ σοφία τοῦ θεοῦ πρὸς τὴν σοφίαν τοῦ κόσμου* Or.*hom.*8.9 *in Jer.*(p.62.23; M.13.345C); in Christian life gen., *1Clem.*35.4; *ἡμεῖς οὖν ἀγωνισώμεθα, ἵνα πάντες στεφανωθῶμεν 2Clem.*7.2; *Barn.*4.11; *ποῖος καιρός ἐστιν, ἐν ᾧ ὡς μὴ ~όμενος περὶ τοῦ μὴ ἁμαρτήσεσθαι καταπεφρόνηκε;* Or.*or.*29.5 (p.383.31; M.11.533B); *οἱ ἐν βίῳ ~όμενοι* id.*or.*11.2(p.322.16; M.11.449A); *ὀφείλουσιν οὖν οἱ Χριστιανοὶ εἰς πάντα ~εσθαι* Mac.Aeg. *hom.*15.8(M.34.580D); *ib.*5.12(516D); Marc.Er.*opusc.*4(M.65.989C); in ascetic life *γένοιτο δέ, ἵνα οὕτω τις ~όμενος...ἐν ὑπακοῇ...τὸ σκότος τῶν πονηρῶν δαιμόνων ἀποφυγεῖν δυνηθῇ* Mac.Aeg.*hom.*9.11(537D); *τοῖς ~ομένοις ὑπὲρ τῆς ἀφθαρσίας καὶ πνευματικῶς ἀθλοῦσιν* Nil.*epp.* 3.222(M.79.485B); id.*Magn.*59(M.79.1048B); Thdt.*h.rel.*11(3.1200); Diad.*perf.*26(p.28.7); *ib.*48(p.50.5); *ἐπὰν γὰρ ἀγωνίσηταί τις πρὸς τὴν κατ' ἐνέργειαν ἁμαρτίαν...~εται, καὶ διὰ τῆς θλίψεως τῶν ἀγώνων ...καθαίρεται καὶ ἐπανέρχεται εἰς τὸ κατὰ φύσιν...ἐὰν γὰρ μὴ πειρασθῇ τις,...οὔτε ~εταί ποτε καθαρθῆναι* Dor.*doct.*13.7(M.88.1768C,D); *εἰ δὲ ἐν ἡσυχαστικωτέροις τρόποις ~η, μή σου κυριεύσῃ τὸ τῆς κενοδοξίας γέννημα* Jo.Clim.*scal.*21(M.88.945B); Max.*carit.*2.90(M.90.1013B); *οἱ μὲν τῶν ~ομένων ἀποκρούονται μόνον τοὺς ἐμπαθεῖς λογισμούς· οἱ δὲ καὶ αὐτὰ τὰ πάθη περικόπτουσι ib.*4.48(1057C); *ἔμεινεν ~όμενος ἐν κυρίῳ* Thdr.Stud.*or.*12.6(M.99.853C); esp. in prayer, Or.*Cels.*8.73 (p.291.4; M.11.1628B); Evagr.Pont.*or.*11(M.79.1169C); v. *ἀγωνοθέτης.*

ἀγώνισμα, τό, *contest, conflict* (cf. *ἀγών*); **1.** of martyrdom, *Ep. Lugd.*ap.Eus.*h.e.*5.1.55(M.20.429B); **2.** gen. of Christian life *κέκληται μὲν οὖν ἐπὶ τὸ ἀ. τὸ θέατρον* Clem.*str.*7.3(p.15.4; M.9.425A); *ἐστὶν ἡμῖν τὰ ἀ., τοῦ πειράζεσθαι οὐκ ἀπηλλάγμεθα* Or.*or.*29.2(p.382.22; M.11.532C); *ἀγώνων καιρός, οὐ τῶν ἀ. ἀντίδοσις* Bas.Sel.*or.*28.2(M.85. 321B); **3.** of ascetic life, Ath.*v.Anton.*10(M.26.860A); of novices *ἐπιπόνοις ἀ. πεῖραν...λαμβάνοντας* Bas.*reg.fus.*10.2(2.352E; M.31. 945B); Nil.*Eulog.*2(M.79.1096B); id.*Alb.*(M.79.701C); **4.** in Origenist teaching *ταῦτα δὲ ὑπὸ τῶν ψυχῶν εἴρηται τῶν εἰς παγίδα τὸ σῶμα, ὡς εἰς ἀ., κατενεχθεισῶν ἐκ τοῦ τρίτου οὐρανοῦ* Meth.*res.*1.54(p.312. 17; M.41.1148A).

ἀγωνιστήριον, τό, 1. *place of contest, palaestra ὁ τῶν ἀνθρώπων βίος ἀρετῆς ἀ. πρόκειται* Bas.Sel.*or.*1.1(M.85.28A); **2.** *proving-ground τὸ πρῶτον ἀ. τῆς ἐν τοῖς λόγοις ἀνδραγαθίας τοῦ μάρτυρος* Chrysipp. *enc.in Thdr.*(p.52.23).

ἀγωνιστής, ὁ, *one who struggles, combatant, champion*; esp. **1.** of Christ *ὁ μέγας ἀ. Ἰησοῦς* Clem.*exc.Thdot.*58(p.126.11; M.9. 688A); Or.*Cels.*1.69(p.123.14; M.11.789A); **2.** of martyrs *Μάτουρον, νεοφώτιστον μέν, ἀλλὰ γενναῖον ἀ. Ep.Lugd.*ap.Eus.*h.e.*5.1.17(M.20. 416A); *ὡς εἰ τὸ τοιοῦτον ἐλέγομεν γίνεσθαι ἐπί τινων νομιζομένων παραδόξων ἀ.* Or.*mart.*18(p.16.26; M.11.585B); *M.Thdot.*1 27(p.77. 32); *ib.*1 3(p.63.7); Thdt.*h.e.*1.2.8(3.725); *ib.*2.17.1(870); **3.** of defenders of true faith against heretics *οἱ τῆς ἀληθείας ἀ. ib.*2.22.1 (881); *Ἀθανάσιος...ὁ πένταθλος τῆς ἀληθείας ἀ. ib.*3.9.1(921); iron., of heretics *ὁρᾶτε τὸν σφοδρὸν τῆς ἀληθείας ἀ.* Gr.Nyss.*Eun.*1(1 p.41.24; M.45.269A); *ib.*12(1 p.255.9; 957B); **4.** in gen., of Christians struggling in this life, Or.*Cels.*6.72(p.142.8; M.11.1408B); **5.** of ascetics *τῶν τῆς εὐσεβείας ἀ.* Diad.*perf.*32(p.36.8); *ib.*47(p.52.21); *ἐν ἀσκητικῇ γὰρ παλαίστρᾳ...ὤφθη γενναῖος ἀ.* Thdt.*h.e.*5.35.2(3. 1076); *ὁ τῆς εὐσεβείας ἀ. Σάβας* Cyr.S.*v.Sab.*47(p.137.22); monks called *μοναχικῆς φιλοσοφίας ἀ.* Justn.*nov.*5.3(p.31.24); *ἦν τις ἐγκλειστος εἰς τὸ ὄρος τῶν Ἐλαιῶν, ἀ. πάνυ* Jo.Mosch.*prat.*45(M.87. 2900B); *χρὴ δὲ τὸν ἀ. καὶ ἐκτήκειν τὸν ἀντίπαλον ἐν τῇ ἑαυτοῦ σαρκί* Ant.Mon.*hom.*79(M.89.1669C).

ἀγωνιστικῶς, 1. *contentiously, controversially*, Meth.*symp.*8.17 (p.111.15; M.18.173C); *τοῦτο...οὐ δογματικῶς εἴρηται ἀλλ' ἀ.* Bas.*ep.* 210.5(3.316D; M.32.776A); Gr.Nyss.*or.catech.*38(p.153.7; M.45.97C); comp. *τοῖς καθ' ἡμᾶς δόγμασιν ἀ. πρεσβεύσασιν* Eus.*p.e.*1.3(7A; M. 21.32B); Bas.*fid.*2(2.225C; M.31.680D); Chrys.*exp.in Ps.*8:10(5.90E); **2.** *valiantly μέχρι θανάτου ἀντικαθίστασθαι πρὸς τὴν ἁμαρτίαν ἀ.* Evagr.Pont.*or.*136(M.79.1196C).

***ἀγωνίστρια, ἡ,** *combatant*; of a woman martyr, *Ep.Lugd.*ap. Eus.*h.e.*5.1.18(M.20.416A).

ἀγωνοθετ-έω, *act as president* or *as judge in a contest, M.Ariadn.* 5(p.127.4); met., of God presiding over the Christian warfare *ἀγωνιζόμεθα...~οὔντος...τοῦ δεσπότου τῶν ὅλων* Clem.*prot.*10(p.70. 22; M.8.209B); of Satan presiding over strife between drunkards, Bas.*hom.*14.6(2.128A; M.31.457A); *τίς ~ήσει...ἀγωνιζομένῳ τῷ Ἀπολιναρίῳ πρὸς τὸν Εὐνόμιον;* Gr.Nyss.*Apoll.*44(M.45.1229A); of peace controlling inner strife, Thdt.*Col.*3:15(3.495).

ἀγωνοθέτης, ὁ, *president* or *judge in a contest*; met. **1.** of God or Christ, as influencing spiritual warfare of Christians or bestowing rewards; **a.** in gen. *ὅ τε γὰρ ἀ. ὁ παντοκράτωρ θεός* Clem.*str.*7.3(p.14. 25; M.9.424C); *ἀ. τῷ Χριστῷ* id.*q.d.s.*3(p.162.1; 608B); Isid.Pel. *epp.*3.207(M.78.889C); Thdt.*Phil.*3:15(3.464); of God as ἀ. of Abraham, Bas.Sel.*or.*7.1(M.85.101B); ref. Mt.18:1 *τί με νῦν ἀ. πρὸ τῶν ἀγώνων γενέσθαι βιάζεσθε; ib.*28.2(321B); **b.** of martyrs *Φίλιππος...ἐστεφάνωται τὸν τῆς ἀφθαρσίας στέφανον ὑπὸ τοῦ ἀ. Ἰησοῦ Χριστοῦ A.Phil.*146(p.88.3); *παρεκάλει αὐτοὺς ὁ ἀ. τῶν τῆς εὐσεβείας ἀθλητῶν* Or.*mart.*23(p.21.20; M.11.593A); *M.Thdot.*3(p.136.27); *ὁ γὰρ ἀ. τῇ φιλοτιμίᾳ τῶν ἀντιδόσεων ὑπερβαίνει τοὺς ἄθλους* Thdt. *h.rel.*18(3.1229); *ὁ ἀ. Χριστὸς ἐν τῷ πνευματικῷ σταδίῳ οὐ μόνον ἄνδρας ἀθλοῦντας, ἀλλὰ καὶ γυναῖκας ἀγωνιζομένας...στεφανοῖ M.Glyc.* 7(p.13*F); exeg. Ac.7:56 *ὁ μόνος μετὰ πάσης συναγωγῆς ἀγωνιζόμενος, ὁ τὸν ἀ. πρὸς τὴν θέαν ἐξαναστήσας...πάσης γὰρ τῆς θείας γραφῆς καθήμενον λεγούσης, οὗτος ἑστῶτα εἶδεν· ἡ γὰρ σφοδρότης τοῦ ἀγῶνος ἐπὶ τὴν θέαν τὸν ἀ. ἐξανέστησεν* Cosm.Ind.*top.*5(M.88.297B); Jo.D. *hom.*12.3(M.96.785B); **c.** of ascetics *νίκας...μόνῳ τῷ ἀ. θεῷ...γινωσκομένας* Nil.*praest.*1(M.79.1061B); *οὐράνιον ἐπανήρησαι πολιτείαν, ἀγωνίζου τὸν καλὸν ἀγῶνα τῆς πίστεως ἐν τῷ ἀγῶνι ὁρῶσα τὴν νίκην, ἐν τῇ νίκῃ τὸν στέφανον, τὸν ἀ. Ἰησοῦν* Jo.Jej.*poenit.cont.virg.*(M.88. 1972C); **2.** of the superior of a monastery *μετὰ δὲ τὴν ἐν τῷ σταδίῳ λοιπὸν τῆς εὐσεβείας, καὶ ὑποταγῆς εἴσοδον, μηκέτι τὸν καλὸν ἡμῶν ἀ. ... ἀνακρίνωμεν* Jo.Clim.*scal.*4(M.88.680D); **3.** of Christ and Satan presiding over a disputation *ἀ. ἔνθεν μὲν Χριστὸς...ἐκεῖθεν δὲ δεινὸς τύραννος* Gr.Naz.*or.*7.12(M.35.769B); of Devil *ὁ τῆς μοιχείας ἀ.* Bas. Sel.*or.*8.2(M.85.124A).

***ἀδαήπονος,** *ignorant of labour*; of a horse, *not broken in,* Sophr.H.*carm.*7.25(M.87.3765C).

ἀδαής, *ignorant*, hence *innocent*; of Adam, *Orac.Sib.*1.43; *untamed*; of foals, Clem.*paed.*3.12(p.291.17; M.8.681A); *virgin κόρην ἀ.* Jo.Mal.*chron.*2 p.37(M.97.108B); *ib.*8 p.203(317B).

[*]ἀδαιμονέω, = *ἀδημονέω, be sad,* Eus.Al.*serm.*21.16(M.86. 441C).

ἀδαίτρευτος, *uncarved*, perh. = *for which nothing has been killed ἰχθυόεν...δεῖπνον ἀδαιτρεύτοιο τραπέζης* Nonn.*par.Jo.*21:15(M.43. 917B); cf. *LS.*

***ἀδάκνως,** *without bite* or *sting*, hence *without trouble ἀ. καὶ ἀπόνως* ‡Caes.Naz.*dial.*109(M.38.981).

***Ἀδάμ, ὁ,** *Adam*;

A. derivations of name; **1.** *man καθ' Ἑλλάδα φωνὴν ὁ Ἀ. ἄνθρωπός ἐστι, καὶ ἐν τοῖς δοκοῦσι περὶ τοῦ Ἀ. εἶναι φυσιολογεῖ Μωϋσῆς τὰ περὶ τῆς τοῦ ἀνθρώπου φύσεως* Or.*Cels.*4.40(p.313.17; M.11.1093A); *ib.* 7.50(p.201.15; 1493C); cf.Mac.Aeg.*hom.*15.36(M.34.600D); *Ἀ. μόνον κληθείς, τὸ ἑρμηνευόμενον ἄνθρωπος* Epiph.*haer.*1(p.172.11; M.41. 180A); **2.** *earth, Barn.*6.9 cit. s. *ἄνθρωπος; ὁ πρῶτος οὖν ἄνθρωπος Ἀ. ἐλέγετο· οὗτος ἐκ τῆς γῆς ἐπλάσθη. ἡ δὲ γῆ ἡ μήτηρ αὐτοῦ, ἐξ ἧς ἐγένετο, παρθένος ὑπῆρχεν, ὅτι οὔτε ἐξ αἵματος ἀνθρώπου ἦν μιανθεῖσα* (comparison with Christ) *A.Barth.*5(p.137.21); *τὸν Ἀ. ... τὸν γηγενῆ* δηλοῦν Eus.*p.e.*7.8(307C; M.21.521A); Gr.Nyss.*hom.opif.*22 (M.44.204D); cf.*ib.*16(185B); *ἐπειδὴ οὖν ἀπὸ τῆς Ἐδὲμ τῆς παρθένου γῆς ἐπλάσθη ἄνθρωπος, ἐκλήθη Ἀ. συνώνυμος τῇ μητρὶ...ὁ θεὸς τὸν πλασθέντα ἄνθρωπον ἀπὸ τῆς γῆς εἰς ὄνομα τῆς μητρὸς ἐκάλεσεν Ἀ. ἐκείνη Ἐδέμ, οὗτος Ἀ.* Chrys.*hom.2.3 in Ac.*9:1(3.113C); *ib.*(112E); id.*serm.*9.5 *in Gen.*(4.696C); *Ἀ. γὰρ ἐκλήθη ἀπὸ τοῦ ὀνόματος τῆς μητρός, ἵνα μὴ μεῖζον φρονῇ τῆς οἰκείας δυνάμεως* id.*hom.*2.4 *in Ac.* 9:1(114D); Proc.G.*Gen.*1:27(M.87.129C); **3.** *red*; because of red earth of Eden, confused with Edom *Ἀ. ἐκ τοῦ ἀπὸ τῆς γῆς ἐν Ἐδὲμ γεγενῆσθαι προσηγορεύθη. Ἐδὼμ γὰρ τὸ πυρρόν* Diod.*Gen.*2:8(M.33. 1566A); foreshadowing Passion, Thdt.*Heb.*13:12(3.634); **4.** signifying fire and the four quarters of the earth, the term of comparison being their universality *ὁ ἄνθρωπος τῇ Ἑβραΐδι διαλέκτῳ πῦρ λέγεται. τοῦτο τὸ ὄνομα οὐκ ἐδόθη τῷ Ἀδὰμ ἀργῶς· ἀλλὰ τέσσαρά ἐστι στοιχεῖα ἐν τῷ κόσμῳ...γῆ, ὕδωρ, ἀήρ, πῦρ. τῶν ἄλλων στοιχείων ἕκαστον ὡς ἔστι μένει...τὸ δὲ πῦρ οὐ μένει οἷόν ἐστι. μικρὸς ἅπτεται λύχνος, καὶ μυρίας ἐξ αὐτοῦ ἀνάπτεις λαμπάδας...ἐπεὶ οὖν προῄδει θεός, ὅτι ἀπὸ ἑνὸς ἀνθρωπείου σώματος πληροῦται τῆς οἰκουμένης τὰ πέρατα...ἔθηκεν ὄνομα ἄξιον τοῦ πράγματος. διὰ τοῦτο καὶ αὐτὸ τοῦ Ἀδὰμ τὸ ὄνομα ἁρραβὼν ἦν τῆς οἰκουμένης. ἐπειδὴ γὰρ ἔμελλε τὰ τέσσαρα κλίματα ἐξ αὐτοῦ πληροῦσθαι, τίθησι τὸ ὄνομα τοῦ Ἀδάμ.*

ἄλφα ἀνατολή, δέλτα δύσις, ἄλφα ἄρκτος, μῦ μεσημβρία. καὶ τὸ ὄνομα καὶ τὰ γράμματα μαρτυρεῖ τῷ ἀνθρώπῳ μέλλοντι πληροῦν τὴν οἰκουμένην Sever.*creat.*5.3(M.56.473f.); cf. *Hebraicum Adam in Latina interpretat 'terra caro facta', eo quod ex quattuor cardinibus orbis terrarum pugno comprehendit...oportuit illum ex his quattuor cardinibus orbis terrae nomen in se portare Adam: invenimus in scripturis, per singulos cardines orbis terrae esse a conditore mundi quattuor stellas constitutas in singulis cardinibus. prima stella orientalis dicitur anatole, secunda occidentalis dysis, tertia stella aquilonis arctos, quarta stella meridiana dicitur mesembrion. ex nominibus stellarum numero quattuor de singulis stellarum nominibus tolle singulas litteras principales, de stella anatole α, de stella dysis δ, de stella arctos α, de stella mesembrion μ: in his quattuor litteris cardinalibus habes nomen* ἀδαμ. *nam et in numero certo per quattuor litteras Graecas nomen designatur* ἀδαμ, ‡Cypr.*de montibus Sina et Sion* 4(M.*PL*.4.992Bf.).

B. his creation: reason; cf. *initio non quasi indigens deus hominis, plasmavit A., sed ut haberet in quem collocaret sua beneficia,* Iren.*haer*.4.14.1(M.7.1010A); difference of origin between Adam and his descendants does not imply a difference of nature *Ἀ. μόνος ὑπὸ μόνου τοῦ θεοῦ διὰ τοῦ λόγου γέγονεν. ἀλλ' οὐκ ἐν τῷ πάλιν τὸν Ἀ. πλέον τι τῶν πάντων ἀνθρώπων ἔχειν ἢ διαφέρειν τῶν μετ' αὐτὸν ἄν τις φήσειεν, εἰ μόνος μὲν αὐτὸς ὑπὸ μόνου τοῦ θεοῦ πεποίηται καὶ πέπλασται, ἡμεῖς δὲ πάντες ἐκ τοῦ Ἀ. γεννώμεθα* Ath. *decr*.8(p.8.1off.; M.25.429C); Gr.Naz.*or*.39.12(M.36.348C); *οὐδὲ γὰρ Ἄβελ, ὁ ἐκ συνδυασμοῦ γεννηθείς, ἕτερος παρὰ τὸν Ἀ., τοῦ Ἀδὰμ μὴ γεννηθέντος ἀλλὰ πλασθέντος* Didym.(‡Bas.)*Eun*.4(1.282B; M.29.680A); Adam, not being generated, is type of God the Father, ‡Gr.Nyss.*imag*.(M.44.1329Cf.); created from virgin soil, Proc.G. *Is*.15:1ff.(M.87.2101B); *ἀμητρογενὴς μόνος ὁ Ἀ.* Leont.H.*Nest*.4.36 (M.86.1708A); v. Ant.Ptol.*Adam* passim.

C. perfection before Fall; **1.** nearness to God *τὸ πλάσμα, ὃ ἔπλασεν ὁ θεὸς τὸν Ἀ., οἷκος ἐγένετο τοῦ ἐμφυσήματος τοῦ παρὰ τοῦ θεοῦ* Just.*dial*.40.1(M.6.561C); *Ἀ. ... λέγουσιν αἱ ἱεραὶ γραφαὶ κατὰ τὴν ἀρχὴν ἀνεπαισχύντῳ παρρησίᾳ τὸν νοῦν ἐσχηκέναι πρὸς τὸν θεόν, καὶ συνδιαιτᾶσθαι τοῖς ἁγίοις ἐν τῇ τῶν νοητῶν θεωρίᾳ, ἣν εἶχεν ἐν ἐκείνῳ τῷ τόπῳ* [sc. *παραδείσῳ*] Ath.*gent*.2(M.25.8B); *ἦν ποτε ὁ Ἀ. ἄνω, οὐ τόπῳ, ἀλλὰ τῇ προαιρέσει, ὅτε ἄρτι ψυχωθεὶς καὶ ἀναβλέψας πρὸς οὐρανόν, περιχαρὴς τοῖς ὁρωμένοις γενόμενος, ὑπεραγαπῶν τὸν εὐεργέτην, ζωῆς μὲν αἰωνίου ἀπόλαυσιν χαρισάμενον, τρυφαῖς δὲ παραδείσου ἐναναπαύσαντα, ἀρχὴν δὲ δόντα κατὰ τὴν τῶν ἀγγέλων, καὶ ἀρχαγγέλοις αὐτὸν ποιήσαντα ὁμοδίαιτον, καὶ φωνῆς θείας ἀκροατήν* Bas.*hom*.9.7(2.79B; M.31.344C); *εἰς τὸν Ἀ. ὅτε ἤθελε τὸ πνεῦμα σὺν αὐτῷ ἦν, καὶ ἐδίδασκε καὶ ὑπετίθετο...πάντα γὰρ ἦν ὁ λόγος αὐτῷ, καὶ ἕως ὅτε ἐνέμενε τῇ ἐντολῇ, φίλος ἦν θεοῦ* Mac.Aeg.*hom*.12.8 (M.34.561A); being, as a prophet, a worshipper of Trin., Epiph. *haer*.2(p.174.21; M.41.181B); endowed with grace from the beginning, Ath.*decr*.6(p.6.18; M.25.'436'(428)A); id.*Ar*.2.68(M.26.292C); his flesh being exempt from sin, ‡Ath.*Apoll*.1.7(M.26.1104C); **2.** gifts of wisdom and knowledge *ὁ δὲ Ἀ. σοφίας πολλῆς ἐπεπλήρωτο, καὶ διαγνωστικὸς ἑκατέρων τούτων ἦν* Chrys.*serm*.6.1 *in Gen*.(4.672A); *ὁ προπάτωρ Ἀ. οὐκ ἐν χρόνῳ, καθάπερ ἡμεῖς, τὸ εἶναι σοφὸς ἀποκερδάνας ὁρᾶται, ἀλλ' ἐκ πρώτων εὐθὺς τῶν τῆς γενέσεως χρόνων τέλειος ἐν συνέσει φαίνεται, τὸν δοθέντα τῇ φύσει παρὰ θεοῦ φωτισμόν* Cyr.*Jo*.1.9(4.75B); had knowledge of good, or of good and evil, even before Fall, ‡Ath.*Apoll*.1.15(M.26.1120B) cit. s. *παρακοή; οὐ τὴν γνῶσιν ἐκώλυσεν ὁ θεὸς τοῦ καλοῦ· εἶχε γὰρ αὐτὴν ὁ Ἀ. καὶ πρὸ τοῦ φαγεῖν* Sever.*creat*.6.3(M.56.487); *καὶ πρὸ τῆς βρώσεως ταύτην εἶχε τὴν διάγνωσιν. εἰ γὰρ μὴ ᾔδει τί μὲν καλόν, τί δὲ πονηρόν, καὶ αὐτῶν τῶν ἀλόγων ἀλογώτερος ἦν, καὶ τῶν δούλων ὁ δεσπότης ἀνοητότερος* Chrys.*serm*.6.1 *in Gen*.(4.671D); *ᾔδει μὲν γὰρ καὶ πρὸ τούτου ὁ Ἀ., ὅτι καλὸν μὲν ἡ ὑπακοή, πονηρὸν δὲ ἡ παρακοή· ἔμαθε δὲ ὕστερον σαφέστερον δι' αὐτῆς τῶν πραγμάτων τῆς πείρας ib*.7.2(677A); shown in naming the animals *ὁ Ἀ. πρὸ τῆς παραβάσεως ἐπεπλήρωτο σοφίας καὶ συνέσεως καὶ προφητείας. ἐννόησον ὅσην εἶχε σοφίαν, ὅτι ἐπήρκεσεν ἀνθρωπος εἷς, διδάσκαλον μὴ λαβών, παρὰ μηδενὸς ἀνθρώπου διδαχθείς, θεῖναι ὀνόματα ὅλοις τοῖς πετεινοῖς, καὶ τοῖς ζώοις...καὶ πᾶσιν ἁπλῶς* Sever.*creat*.6.2 (M.56.486); Chrys.*hom*.*14.5 in Gen*.(4.112C); **3.** gift of prophecy *'καὶ εἶπεν Ἀ., τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστέων μου, κτλ.' θέα μοι ἐνταῦθα...πῶς...προφητικῆς ἠξίωτο χάριτος. διὰ γὰρ τοῦτο...ἐδίδαξεν ἡμᾶς ὁ μακάριος προφήτης, ὅτι μετὰ τοῦ ὕπνου καὶ ἔκστασις αὐτὸν ἔλαβεν, ἵνα...πεισθῇς ἀκριβῶς, ὅτι προφητικῇ χάριτι ταῦτα φθέγγεται, καὶ ἐνηχούμενος ὑπὸ τῆς τοῦ ἁγίου πνεύματος διδασκαλίας* Chrys. *hom*.*15.3 in Gen*.(4.119C,D); *οὐ γὰρ ἔρημον προφητικοῦ πνεύματος εὑρήσομεν τὸν Ἀ., οὕπω τὴν θείαν ἐντολὴν παραβεβηκότα* Cyr.*Joel*.35 (3.227E); v. *προφήτης*; **4.** dominion over other creatures *τὸν Ἀ. μηδέπω ἁμαρτήσαντα, καὶ τὰ θηρία...ὑπήκοα ἔχοντα, καιὼς δούλοις αὐτοῖς καλοῦντα ὀνόματα* Chrys.*exp*.*in Ps*.3:1(5.3E); *πᾶν γάρ, φησίν, ὃ ἐκάλεσεν αὐτὸ Ἀ., τοῦτο ὄνομα αὐτῷ. εἶδες ἐξουσίαν ἀπηρτισμένην; εἶδες δεσποτείας αὐθεντίαν; λογίζου μετὰ τῶν ἄλλων καὶ τοῦτο, ὅτι καὶ λέοντες, καὶ παρδάλεις...καθάπερ πρὸς δεσπότην μετὰ πάσης ὑποταγῆς παραγεγονότα τὰς προσηγορίας ἐδέξαντο, καὶ οὐδὲν τῶν θηρίων τούτων ἐδεδοίκει ὁ Ἀ.* id.*hom*.*14.5 in Gen*.(4.112E–113A); Thdt.*qu*.*18 in Gen*.(1.20); Sophr.H.*carm*.1.23(M.87.3733B); **5.** happiness *πρὸ γὰρ τοῦ παραβῆναι τὸν Ἀ. οὔτε λύπη, οὔτε δειλία, οὐ κόπος, οὐ λιμός, οὐ θάνατος ἦν* ‡Ath.*serm*.*fid*.24(p.21; M.26.1277D); *ὁ Ἀ. ἦν...ἐν παραδείσῳ, καὶ ἐν ταῖς ἀνωτάτω τρυφαῖς, πνευματικαῖς δηλονότι καὶ δόξῃ τῇ παρὰ θεῷ* Cyr.*Jo*.9(4.731B); *οὐκ ἦν ἐν τῷ Ἀ. πρὸ τῆς παραβάσεως δάκρυον* Jo.Clim.*scal*.7(M.88.809C); *γυμνὸς ἦν ποτε ὁ Ἀ. καὶ ἡ Εὔα, καὶ οὐκ ᾐσχύνοντο· γυμνὸς τῇ ἁπλότητι, καὶ ἀτέχνῳ ζωῇ. οὐκ ἦσαν αὐτοῖς τέχναι καὶ βιωτικαὶ μέριμναι* Jo.D.*hom*.2.3(M.96.580D); id.*f*.*o*.2.11(M.94.913B); **6.** perfection not absolute *Ἀ. τέλειον μὲν ὡς πρὸς τὴν πλάσιν γεγονέναι φαμέν· οὐδὲν γὰρ τῶν χαρακτηριζόντων τὴν ἀνθρώπου ἰδέαν τε καὶ μορφὴν ἐνεδέησεν αὐτῷ* Clem.*str*.4.23(p.315.6; M.8.1360B); *τέλειος κατὰ τὴν κατασκευὴν οὐκ ἐγένετο, πρὸς δὲ τὸ ἀναδέξασθαι τὴν ἀρετὴν ἐπιτήδειος ib*.6.12(p.480.7; M.9.317B); **7.** question whether state before Fall was state of childhood *οὐ γὰρ ὡς οἴονταί τινες, θάνατον εἶχε τὸ ξύλον, ἀλλ' ἡ παρακοή. οὐ γάρ τι ἕτερον ἦν ἐν τῷ καρπῷ ἢ μόνον γνῶσις· ἡ δὲ γνῶσις καλή, ἐπὰν αὐτῇ οἰκείως τις χρήσηται. τῇ δὲ οὔσῃ ἡλικίᾳ ὁ Ἀ. ἔτι νήπιος ἦν, διὸ οὔπω ἠδύνατο τὴν γνῶσιν κατ' ἀξίαν χωρεῖν* Thphl.Ant.*Autol*.2.25(M.6.1092A); cf. *non intellectum habebant filiorum generationis; oportebat enim illos primo adolescere dehinc sic multiplicari,* Iren.*haer*.3.22.4(M.7.359A); cf. *ὁ θεὸς αὐτὸς μὲν οἷός τε ἦν παρασχεῖν ἀπ' ἀρχῆς τῷ ἀνθρώπῳ τὸ τέλειον, ὁ δὲ ἄνθρωπος ἀδύνατος λαβεῖν αὐτό· νήπιος γὰρ ἦν ib*.4.38.1(1105C); cf.Clem.*str*. 3.17(p.243.19; M.8.1205B).

D. Fall; **1.** gravity of his sin, more serious than that of Eve *ὁ δὲ Ἀ. οὐδὲν ὅλως μαχεσάμενος, ἢ ἀντιλέξας, τοῦ καρποῦ μετειλήφει δοθέντος παρὰ τῆς γυναικός· ὅπερ ἀσθενείας παντελοῦς καὶ νοὸς ἀνάνδρου ἐστὶν ἀπόδειξις. ἡ μὲν γὰρ γυνὴ ὑπὸ δαίμονος καταπαλαισθεῖσα, συγγνωστὴ ὑπάρχει· ὁ δὲ Ἀ., ὡς ὑπὸ γυναικὸς ἡττηθεὶς ἀσύγγνωστος ἔσται, ὡς αὐτοπροσώπως τὴν ἐντολὴν αὐτὸς ὑπὸ θεοῦ κομισάμενος* Iren.*fr*.14(M.7.1237B); *ἐπεί τί τὸν Ἀ. ὠφέλησεν ἡ τοσαύτη αὐτοῦ εὐγένεια;...τὰ μὲν αἰσχρὰ οὗτος προθύμως εἵλετο ἑπόμενος τῇ γυναικί, τῶν δὲ ἀληθῶν καὶ καλῶν ἠμέλησεν* Clem.*str*. 2.19(p.166.20; M.8.1041A); though not so grave as that of Cain Or.*hom*.*16.4 in Jer*.(p.136.21; M.13.444C); **2.** committed by his own free will; this stressed against Manicheans *ὅτε τὸν Ἀ. ἀρχῆθεν ἔπλασεν ὁ θεός, μήτιγε σύμφυτον αὐτῷ δέδωκε τὴν ἁμαρτίαν; τίς οὖν ἔτι χρεία ἦν τῆς ἐντολῆς; πῶς δὲ αὐτὸν κατεδίκασεν ἁμαρτήσαντα; πῶς δὲ καὶ πρὸ τῆς παρακοῆς οὐκ ἐγίνωσκε καλὸν καὶ πονηρὸν ὁ Ἀ.; ὃν ἔπλασεν ὁ θεὸς ἐπὶ ἀφθαρσίᾳ καὶ εἰκόνι τῆς ἰδίας ἀϊδιότητος, ἐποίησεν αὐτὸν φύσιν ἀναμάρτητον, καὶ θέλησιν αὐτεξούσιον· 'φθόνῳ δὲ διαβόλου θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον', εὑραμένου τῆς παραβάσεως τὴν ἐπίνοιαν. καὶ οὕτως ἐκ παρακοῆς ἐντολῆς θεοῦ γέγονεν ὁ ἄνθρωπος δεκτικὸς τῆς ἐπισπορᾶς τοῦ ἐχθροῦ* ‡Ath.*Apoll*.1.15(M.26.1120B); cf.*ib*.2.6(1140D); Mac.Aeg.*hom*.12.8(M.34.561B); *Ἀδὰμ...οὐκ ἐξ ἀνάγκης κακός, ἀλλ' ἐξ ἀβουλίας γενόμενος* Bas.*hom*.9.7(2.79Bf.; M.31. 344Cf.); cf.Epiph.*haer*.42.12(p.158.2; M.41.776D) cit. s. *ἁμαρτία*; Chrys.*serm*.*8.2 in Gen*.(4.686A); **3.** occasioned by Eve *τῷ μὲν Ἀ. ἡ δοθεῖσα κατ' αὐτὸν βοηθὸς...ἀντὶ συνεργοῦ πολεμία κατέστη, καὶ οὐχ ὁμόζυγος, ἀλλ' ἀντίθετος* Gr.Naz.*or*.18.8(M.35.993B); *ib*.36.5(M.36. 269C); *πολλοὶ γὰρ ἐνόμισαν, ὅτι ἀγνοῶν ὁ Ἀ. ἔλαβε παρὰ τῆς γυναικός, οὐκ εἰδὼς πόθεν ἤγαγε τὸν καρπόν. ἀλλ' οὐκ ἔχει ἀπολογίαν· ὁ γὰρ θεὸς ἐλέγχει, λέγων αὐτῷ· 'ὅτι ἤκουσας τῆς φωνῆς τῆς γυναικός σου...' τὸ ἔγκλημα τοῦ ἀνδρός, οὐχ ὅτι ἠπατήθη, ἀλλ' ὅτι ἐδελεάσθη* Sever. *creat*.6.5(M.56.490); and through her by Devil, ‡Ath.*serm*.*fid*.13 (p.9; M.26.1269B); Cyr.*Jo*.6(4.561D); **4.** discussion whether God was responsible, Chrys.*Stag*.1.5(1.166B); foreseen by God and remedied by Christ, Cyr.*Is*.3.5(2.524D).

E. consequences; **1.** loss of the 'image' and of grace *ἔστι πρεσβύτερον ὥσπερ ἐν τῷ Ἀ. ἐκεῖνο ὃ οἱ πολλοὶ νοοῦσι τὸ κατ' εἰκόνα τοῦ προσειλημμένου αὐτῷ, ὅτε ἐφόρεσε διὰ τὴν ἁμαρτίαν τὴν εἰκόνα τοῦ χοϊκοῦ* Or.*hom*.*2.1 in Jer*.(p.17.11; M.13.277C); *ὁ Ἀ. τὴν ἐντολὴν παραβάς, κατὰ δύο τρόπους ἀπώλετο· ἕνα μέν, ὅτι ἀπώλεσε τὸ κτῆμα τὸ καθαρὸν τῆς φύσεως αὐτοῦ, τὸ ὡραῖον, τὸ κατ' εἰκόνα καὶ ὁμοίωσιν θεοῦ· ἕτερον δέ, ὅτι ἀπώλεσεν αὐτὴν τὴν εἰκόνα, ἐν ᾗ ἀπέκειτο αὐτῷ κατ' ἐπαγγελίαν ἡ ἐπουράνιος πᾶσα κληρονομία* Mac.Aeg.*hom*.12.1 (M.34.557A); *ὁ προπάτωρ Ἀ. οὐ διέσωσε τὴν τοῦ πνεύματος χάριν παρατραπεὶς ἐξ ἀπάτης εἰς παρακοὴν καὶ ἁμαρτίαν, ὅλη τε οὕτως ἐν*

αὐτῷ ἐζημιοῦτο λοιπὸν ἡ φύσις τὸ θεόσδοτον ἀγαθόν Cyr.*Jo.*5.2(4.472E); id.*Joel.*35(3.228B); Thdt.*Ps.*29:8(1.789); Devil becoming master of the soul (peculiar Messalian teaching), Mac.Aeg.*hom.* 15.35(600A); **2.** death and loss of heaven εἵπερ οὖν ἡ πᾶσα γῆ αὐτὴ ἐπικατάρατος ἐν τοῖς ἔργοις ἐστὶ τοῦ Ἀ. καὶ τῶν ἐν αὐτῷ ἀποθανόντων, δῆλον ὅτι καὶ πάντα τὰ μόρια αὐτῆς μετέχει τῆς ἀρᾶς Or.*Cels.*7.29(p.180.5; M.11.1461B); ὁ θεὸς...τοὺς δερματίνους χιτῶνας διὰ τοῦτο κατεσκεύασεν, οἱονεὶ νεκρότητι ⟨τινὶ⟩ περιβαλὼν αὐτόν, ὅπως διὰ τῆς λύσεως τοῦ σώματος πᾶν τὸ ἐν αὐτῷ γεννηθὲν κακὸν ἀποθάνῃ Meth.*res.*1.38(p.281.11ff.; M.18.293B); ἑαυτῷ τὸν θάνατον ὁ Ἀ. διὰ τῆς ἀναχωρήσεως τοῦ θεοῦ κατεσκεύασε...οὕτως οὐχὶ θεὸς ἔκτισε θάνατον, ἀλλ' ἡμεῖς ἑαυτοῖς ἐκ πονηρᾶς γνώμης ἐπεσπασάμεθα Bas.*hom.*9.7(2.79C; M.31.345A); Cyr.H.*catech.*13.2; Thdt.*eran.*3(4.198); cf. τοὺς οὐρανούς, οὓς ὁ Ἀ. ἔκλεισεν ἑαυτῷ τε καὶ τοῖς μετ' αὐτόν Gr.Naz.*or.*39.16(M.36.353B); v. ἀθανασία; Pelagian view, that Adam would have been subject to physical death even if he had not sinned, condemned, *Cod.Afr.*109; **3.** partial loss of knowledge and dominion over creatures πρώτη τέχνη τοῦ Ἀ. ῥαπτική. πρὸ πάσης τέχνης ἔλαβε τὰ φύλλα τῆς συκῆς, καὶ ἔρραψε. τίς ὁ διδάξας; τίς ὁ παιδεύσας; ἔλαβεν ἅπαξ παρὰ θεοῦ σύνεσιν, εἰκὼν ἦν θεοῦ, καὶ ἀμφιβάλλεις περὶ τὴν γνῶσιν; Sever.*creat.*6.6(M.56.492); ὁ μὲν γὰρ Ἀ. πᾶσαν ἀνέτρεψε τὴν ἐντολήν, καὶ παρέβη τὸν νόμον· ὁ δὲ θεὸς οὐ πᾶσαν ἔλυσε τὴν τιμήν, οὐδὲ πάσης ἐξέβαλεν αὐτὸν τῆς ἐξουσίας· ἀλλ' ἐκεῖνα μόνα ἔξω τῆς ἀρχῆς ἀφῆκεν εἶναι τὰ ζῶα, ἃ μὴ σφόδρα αὐτῷ συντελεῖ πρὸς τὴν τῆς ζωῆς χρείαν. τὰ δὲ ἀναγκαῖα... εἰς τὴν ζωὴν τὴν ἡμετέραν, ταῦτα εἴασε μένειν ἐν τῇ δουλείᾳ Chrys. *serm.3.2 in Gen.*(4.657D); **4.** but punishment designed to lead Adam to repentance, cf.Iren.*haer.*3.23.5(M.7.963A); παρήκουσεν Ἀ. ... ἆρ' οὐκ ἐδύνατο τὸν θάνατον εὐθὺς ἐπαγαγεῖν; ἀλλ' ὅρα τί ποιεῖ ὁ φιλανθρωπότατος κύριος. ἐκβάλλει μὲν αὐτὸν τοῦ παραδείσου (τῆς γὰρ ἐκεῖ διατριβῆς ἀνάξιος ἦν διὰ τὴν ἁμαρτίαν), κατοικίζει δὲ τοῦ παραδείσου κατέναντι· ἵνα βλέπων ὅθεν ἐξέπεσε...λοιπὸν ἐκ μετανοίας σωθῇ Cyr.H.*catech.*2.6; and to put an end to sin, Meth.*res.*1.40 (p.284.12ff.; M.41.1108C).

F. salvation; **1.** denied by Tatian and Marcion, cf.Iren.*haer.*1.28.1(M.7.691A); τὸν δὲ Ἀ. φάσκει [sc. Marcion] μὴ σῴζεσθαι διὰ τὸ ἀρχηγὸν παρακοῆς γεγονέναι. καὶ ταῦτα μὲν Τατιανός Hipp.*haer.*8.16(p.236.10; M.16.3363B); Epiph.*haer.*46.2(p.205.4; M.41.840B); **2.** affirmed, cf. *cum autem salvetur homo, oportet salvari eum qui prior formatus est homo. quoniam nimis irrationabile est, illum quidem, qui vehementer ab inimico laesus est, et prior captivitatem passus est, dicere non eripi ab eo qui vicerit inimicum,* Iren.*haer.*3.23.2 (M.7.961A); *ib.*3.23.7(964C); cf. *hi, qui contradicunt saluti Adae, nihil proficiunt, nisi hoc, quod semetipsos haereticos et apostatas faciunt veritatis, ib.*3.23.8(965B); cf.Or.*comm.ser.126 in Mt.*(p.265.7; M.13.1777C); εἰ ὁ Ἀ. οὐ σῴζεται, τὸ φύραμα, οὐδέ τι ⟨τῶν ἀπό⟩ τοῦ φυράματος σῴζεται. εἰ γὰρ ὁ πρωτόπλαστος καὶ ἐξ ἀθίκτου γῆς γενόμενος σωτηρίας οὐ μεθέξει, πῶς τὰ ἐξ αὐτοῦ γεγεννημένα ἕξει σωτηρίαν; Epiph.*haer.*46.2(p.206.12; M.41.841A); *ib.*46.3(p.207.8; 841C); proved by parable of good Samaritan, man who fell among thieves signifying Adam, *ib.*46.4(p.208.10; 844B); **3.** delivered by Christ in his descent to Hades, cf. *extendens dominus manum suam fecit signum crucis super A. ... et tenens dexteram Adae ascendit ab inferis, A.Pil.*B 2.8(p.403); cf.Hipp.*cant.Mos.*(p.83.8; M.10.612A)ap. Thdt.*eran.*2(4.131); †Gr.Thaum.*sanct.*(M.10.1201B); Mac.Aeg.*hom.* 11.10(M.34.552B); ὁ δὲ Ἐμμανουὴλ...τὸν εἰς τὸν ᾅδην κείμενον Ἀ. εἰς τοὺς οὐρανοὺς ἀνεβίβασε Thdt.*Is.*7:14(p.38.8; 2.218); cf. ᾅδης; **4.** of Adam as signifying human race, Gr.Naz.*carm.*1.2.38.158ff.(M.37.534A–535A); Proc.G.*Is.*7:10ff.(M.87.1965B); id.*Gen.*1:27(M.87.133B).

G. burial on Golgotha περὶ τοῦ κρανίου τόπου ἦλθεν εἰς ἐμέ, ὅτι Ἑβραῖοι παραδιδόασι τὸ σῶμα τοῦ Ἀ. ἐκεῖ τετάφθαι, ἵν' ἐπεὶ ἐν τῷ Ἀ. πάντες ἀποθνήσκομεν, ἀναστῇ μὲν ὁ Ἀ., ἐν Χριστῷ δὲ πάντες ζῳοποιηθῶμεν Or.*comm.ser.126 in Mt.*(p.265.5ff.; M.13.1777C); ὁ Χριστὸς...οὐδὲ εἰς ἄλλον τόπον σταυροῦται, ἢ εἰς τὸν κρανίου τόπον, ὃν Ἑβραίων οἱ διδάσκαλοί φασι τοῦ Ἀ. εἶναι τάφον...ἔδει γὰρ τὸν κύριον, ἀνανεῶσαι θέλοντα τὸν πρῶτον Ἀ., ἐν ἐκείνῳ τῷ τόπῳ παθεῖν, ἵνα, ἐκείνου λύων τὴν ἁμαρτίαν, ἀπὸ παντὸς αὐτὴν ἄρῃ τοῦ γένους ‡Ath.*pass.*12(M.28.208A); ‡Ath.*qu.Ant.*47(M.28.628B); †Bas.*Is.*141 (1.478Bf.; M.30.348C); Epiph.*haer.*46.5(p.208.17; M.41.844C); Chrys. *hom.85.1 in Jo.*(8.504A); Nonn.*par.Jo.*19:17(M.43.901B); ‡Bas.Sel. *or.*38.3(M.85.409A); ‡Germ.CP *contempl.*(M.98.396C).

H. comparison with other persons; **1.** good thief εἴσοδον ἐν τῷ παραδείσῳ, ἐξ οὗ ἐκβέβληται Ἀ., εἰς ὃν πάλιν εἰσῆλθε διὰ τοῦ λῃστοῦ †Ath.*exp.fid.*1(M.25.201B); Cyr.H.*catech.*13.31; τὸν δὲ λῃστήν, καὶ σὺν αὐτῷ τὸν Ἀ. ... ὁ υἱὸς εἰσήγαγεν Didym.*Trin.*1.16(M.39.336C); v. λῃστής; **2.** heretics Ἀ. παραβὰς ῥάπτειν ἔμαθεν· αἱρετικοὶ ἐκτραπέντες σχίζειν ἔμαθον Sever.*creat.*6.6(M.56.493); **3.** God, in comparison of Church with Eve, Anast.S.*hex.*12(M.89.1072B) cit. s. πλευρά.

I. first and second Adam; **1.** in gen.; Christ the second Adam, cf. *a Paulo 'typus futuri' dictus est ipse Adam; quoniam futuram circa filium dei humani generis dispositionem in semetipsum fabricator omnium verbum praeformaverat, praeformante deo primum animalem hominem, videlicet ut a spirituali salvaretur,* Iren.*haer.*3.22.3(M.7.958A); οὐ μόνον πρωτότοκός ἐστιν [sc. Χριστός] πάσης κτίσεως, ἀλλὰ καὶ Ἀ. ... ὅτι δὲ Ἀ. ἐστι φησὶν ὁ Παῦλος Or.*Jo.* 1.18(20; p.23.7; M.14.56A); which name proves his true humanity, ‡Ath.*serm.fid.*15(p.10; M.26.1269D); *ib.*25(p.21; 1277D); ὁ γὰρ τῶν ὅλων δημιουργὸς λόγος ὤφθη υἱὸς ἀνθρώπου, οὐχ ἕτερός τις γενόμενος, ἀλλὰ δεύτερος Ἀ.· ἵνα καὶ ἐκ τοῦ ὀνόματος γινώσκωμεν τὴν ἀλήθειαν ‡Ath.*Apoll.*1.8(M.26.1105B); ψυχὴν καὶ σῶμα καὶ ὅλον τὸν πρῶτον μεμαθήκαμεν ἔχειν τὸν δεύτερον Ἀ. *ib.*2.10(1149A); Bas.*Spir.*14(3. 26A; M.32.121C); **2.** Adam as type of Christ; **a.** in coming into existence without human father, cf. *quemadmodum protoplastus ille Adam de rudi terra, et de adhuc virgine...habuit substantiam... ita recapitulans in se Adam, ipse verbum exsistens ex Maria, quae adhuc erat virgo, recte accipiebat generationem Adae recapitulationis,* εἰ τοίνυν ὁ πρῶτος Ἀ. ἔσχε πατέρα ἄνθρωπον, καὶ ἐξ ἀνδρὸς σπέρματος ἐγεννήθη, εἰκὸς ἦν καὶ τὸν δεύτερον Ἀ. λέγειν ἐξ Ἰωσὴφ γεγεννῆσθαι Iren.*haer.*3.21.10(M.7.954C–955A); Proc.G.*Is.*7:10ff.(M. 87.1964D); Max.*qu.Thal.*21(M.90.312B); **b.** in sleep γεγράφηκάς μοι λέγων,...περιττὸν...τὸ ἀγρυπνεῖν, ἐπειδὴ τὸν ὕπνον τῷ Ἀ. ὁ θεὸς ἐπέβαλεν...τὸ μὲν τῷ Ἀ. κατ' ἀρχὰς γενόμενον αἰσθητῶς, μυστήριον νοητὸν ὑπηνίττετο, ἐσήμανε γὰρ τὸν δεύτερον Ἀ., τουτέστιν τὸν... Χριστόν, μέλλειν ὑπνοῦν τὸν ἀνθρώπινον θάνατον ἐν τῷ σταυρῷ Nil. *epp.*1.26(M.79.92C); cf. ἔκστασις; **c.** in fatherhood πᾶσα γὰρ ἀρχὴ πατριῶν τῶν ὡς πρὸς τὸν τῶν ὅλων θεὸν κατωτέρω ἀπὸ Χριστοῦ ἤρξατο τοῦ μετὰ τὸν τῶν ὅλων θεὸν καὶ πατέρα οὕτω πατρὸς ὄντος πάσης ψυχῆς, ὡς ὁ Ἀ. πατήρ ἐστι πάντων τῶν ἀνθρώπων Or.*princ.* 4.3.7(p.333.23; M.11.388A); **d.** Adam himself assumed by Christ φέρε γὰρ ἡμεῖς ἐπισκεψώμεθα, πῶς ὀρθοδόξως ἀνήγαγε τὸν Ἀ. εἰς τὸν Χριστόν, οὐ μόνον αὐτὸν τύπον ἡγούμενος εἶναι καὶ εἰκόνα, ἀλλὰ καὶ αὐτὸ τοῦτο Χριστὸν καὶ αὐτὸν γεγονέναι διὰ τὸ τὸν πρὸ αἰώνων εἰς αὐτὸν ἐγκατασκῆψαι λόγον. ἤρμοζε γὰρ τὸ πρωτόγονον τοῦ θεοῦ... τὴν σοφίαν τῷ πρωτοπλάστῳ...ἀνθρώπῳ κερασθεῖσαν ἐνηνθρωπηκέναι. τοῦτο γὰρ εἶναι τὸν Χριστόν...ἦν γὰρ πρεπωδέστατον τὸν πρεσβύτατον τῶν αἰώνων καὶ πρῶτον τῆς ἀνθρωπότητος ἄνθρωπον εἰσοικισθῆναι τὸν Ἀ. Meth.*symp.*3.4(p.30.17ff.; M.18.65A–68A); similar view held by some Ebionites τινὲς γὰρ ἐξ αὐτῶν καὶ Ἀ. τὸν Χριστὸν εἶναι λέγουσιν, τὸν πρῶτόν τε πλασθέντα καὶ ἐμφυσηθέντα ἀπὸ τῆς τοῦ θεοῦ ἐπιπνοίας...ἔρχεσθαι δὲ ἐνταῦθα ὅτε βούλεται, ὡς καὶ ἐν τῷ Ἀ. ἦλθε...ὁ αὐτὸς ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἦλθεν καὶ αὐτὸ τὸ σῶμα τοῦ Ἀ. ἐνεδύσατο καὶ ὤφθη ἀνθρώποις καὶ ἐσταυρώθη καὶ ἀνέστη καὶ ἀνῆλθεν Epiph.*haer.*30.3(p.336.5–337.5; M.41.409A,B); **e.** time Adam spent in paradise compared with Christ's temptation in wilderness ‡Caes.Naz.*dial.*122(M.38.1009); **3.** Adam as type of Christ by contrast; **a.** difference of origin; ‡Ath.*serm.fid.*25(p.22; M.26.1280A,B); γένηται δεύτερος Ἀ., οὐκ ἀπὸ γῆς, ἀλλ' ἐξ οὐρανοῦ, καὶ ἀρχὴ γένηται τῇ ἀνθρώπου φύσει παντὸς ἀγαθοῦ Cyr.*Jo.*2(4.114B); **b.** different outcome of temptation, *A.Barth.*5(12; p.139.22); πεῖραν προσάγει [sc. Devil] τῷ ἀπειράστῳ (ἐπειδὴ δεύτερον Ἀ. εἶδε τοῦ θεοῦ φαινόμενον) Gr.Naz.*or.*24.9(M.35.1180B); *ib.*39.2(M.36.336B); *ib.*41.4 (433A); **c.** obedience and disobedience, cf. *in illa die mortem sustinuit dominus, obediens patri, in qua mortuus est Adam inobediens deo,* Iren.*haer.*5.23.2(M.7.1185C); Cyr.*Jo.*11.10(4.991D,E); *ib.*10.1(854A); *ib.*12(1045A); **d.** Adam bringing death and damnation, Christ life and salvation, ‡Ath.*Apoll.*1.7(M.26.1105A); τύπος ἐστὶ τοῦ Χριστοῦ ὁ Ἀ. ... ὅτι, ὥσπερ ἐκεῖνος τοῖς ἐξ αὐτοῦ, καίτοιγε μὴ φαγοῦσιν ἀπὸ τοῦ ξύλου, γέγονεν αἴτιος θανάτου τοῦ διὰ τὴν βρῶσιν εἰσαχθέντος, οὕτω καὶ ὁ Χριστὸς τοῖς ἐξ αὐτοῦ, καίτοιγε οὐ δικαιοπραγήσασι, γέγονε πρόξενος δικαιοσύνης, ἣν διὰ τοῦ σταυροῦ πᾶσιν ἡμῖν ἐχαρίσατο Chrys.*hom.10.1 in Rom.*(9.520C); Cyr.*dogm.*6(p.560. 10ff.; 6^2.375D–376B); id.*Jo.*5.2(4.473C); ὡς γὰρ τοῦ Ἀ. ἡ καθ' ἡδονὴν ζωή, θανάτου καὶ φθορᾶς γέγονε μήτηρ· οὕτω καὶ ὁ διὰ τὸν Ἀ. τοῦ κυρίου θάνατος, ὑπάρχων τῆς ἐκ τοῦ Ἀ. ἐλεύθερος ἡδονῆς, ἀΐδιον γεννήτωρ γίνεται ζωῆς Max.*qu.Thal.*61(M.90.632D); **e.** detailed descriptions comparing Fall of first with Passion of second Adam ξύλον κατὰ τοῦ ξύλου, καὶ κατὰ τῆς χειρὸς χεῖρες, τῆς ἀκρατῶς ἐκταθείσης αἱ γενναίως ταθεῖσαι· τῆς ἀνειμένης αἱ τοῖς ἥλοις δεθεῖσαι· τῆς ἐκβαλούσης Ἀ. αἱ τὰ πέρατα οἰκειούμεναι. διὰ τοῦτο ὕψος κατὰ τοῦ πτώματος...ταῦτα πάντα παιδαγωγία τις ἦν περὶ ἡμᾶς τοῦ θεοῦ, καὶ τῆς ἀσθενείας ἰατρεία τῆς ἡμετέρας, τὸν παλαιὸν Ἀ. ὅθεν ἐξέπεσεν ἐπανάγουσα, καὶ τῷ ξύλῳ τῆς ζωῆς προσάγουσα, οὗ τὸ ξύλον ἡμᾶς τῆς

γνώσεως...ἠλλοτρίωσε Gr.Naz.*or.*2.25(M.35.433C–436A); ὁ δεύτερος Ἀ. τὸν πρῶτον...ἀπεκάθηρε. παρήκουσεν τοῦ θεοῦ ὁ πρῶτος καὶ πᾶσι θάνατον προεξένησεν. ὑπήκουσεν ὁ Χριστὸς τῷ ἰδίῳ πατρὶ...καὶ τὴν παρακοὴν...ἐθεράπευσεν...διὰ τοῦτο ὁ Ἰησοῦς ἀκάνθαις ἐστεφανώθη, ἵνα συντρίψῃ ἐκείνας τὰς ἀκάνθας τῆς ἁμαρτίας...ἐκεῖνος τῇ ἕκτῃ ὥρᾳ ἐν τῷ παραδείσῳ ἐπὶ τὸ ξύλον ἐξέτεινε τὴν χεῖρα κακῶς· ὁ Χριστὸς τῇ ἕκτῃ ὥρᾳ τῆς ἕκτης ἡμέρας ἐν τῷ κήπῳ τοῦ Γολγοθᾶ ἐξέτεινεν ἐν τῷ ξύλῳ τὰς χεῖρας καλῶς Eulog.*fr.Trin.*3.5ff.(pp.367ff.).

J. Gnost.; **1.** created by demiurge τὸν Ἀ. ὁ δημιουργὸς Ἐννοίᾳ προσχὼν ἐπὶ τέλει τῆς δημιουργίας αὐτὸν προήγαγεν Clem.*exc.Thdot.* 41(p.119.30; M.9.680A); acc. Manicheans by ἄρχοντες, Hegem.*Arch.* 12(p.19.13ff.; M.10.1445Cf.); causing fear to his creators, Val.Gn. ap.Clem.*str.*2.8(p.132.14; M.8.972B); created with four natures τοῖς τρισὶν ἀσωμάτοις [sc. ἡ ἄλογος, ἡ λογικὴ καὶ δικαία, ἡ πνευματική] ἐπὶ τοῦ Ἀ. τέταρτον ἐπενδύεται ὁ χοϊκὸς τοὺς δερματίνους χιτῶνας. οὔτ' οὖν ἀπὸ τοῦ πνεύματος οὔτ' οὖν ἀπὸ τοῦ ἐμφυσήματος σπείρει ὁ Ἀ.· θεῖα γὰρ ἄμφω, καὶ δι' αὐτοῦ μέν, οὐχ ὑπ' αὐτοῦ δέ, προβάλλεται ἄμφω· τὸ δὲ ὑλικὸν αὐτοῦ ἐνεργὸν εἰς σπέρμα καὶ γένεσιν,...κατὰ τοῦτο πατὴρ ἡμῶν ὁ Ἀ. Clem.*exc.Thdot.*55f.(p.125.8ff.; M.9.685B); receiving spiritual seed from Sophia, *ib.*53(p.124.26; 685A); **2.** alleged blindness, acc. 'Simon Magus' ὁ καθ' ὁμοίωσιν αὐτοῦ [sc. δημιουργοῦ] γεγονὼς Ἀ. καὶ τυφλὸς κτίζεται καὶ γνῶσιν ἀγαθοῦ ἢ κακοῦ οὐκ ἔχων παραδέδοται, καὶ παραβάτης εὑρίσκεται *Hom.Clem.*3.39; 'Peter's' reply οὐκ ἦν. οὐ γὰρ ἂν τυφλῷ ἐντελλόμενος ἐδείκνυε λέγων· 'ἀπὸ δὲ τοῦ ξύλου...μὴ γεύσεσθε.' καὶ ὁ Σίμων· τυφλὸν ἔλεγε τὸν νοῦν αὐτοῦ. καὶ ὁ Πέτρος· πῶς καὶ τὸν νοῦν τυφλὸς εἶναι ἐδύνατο, ὁ πρὸ τοῦ γεύσασθαι τοῦ φυτοῦ συμφώνως τῷ κτίσαντι αὐτὸν οἰκεῖα πᾶσι τοῖς ζώοις ἐπιθεὶς ὀνόματα; *ib.*3.42; τυφλοὶ δὲ οὐκ ἦσαν· ἔβλεπον γάρ· εἰ μὴ γὰρ ἔβλεπον, πῶς εἶδον τὸ ξύλον, ὅτι 'καλὸν εἰς βρῶσιν καὶ ὡραῖον τοῦ κατανοῆσαι'; Epiph.*anc.*20(p.28.26; M.43.53A); **3.** grovelling on all fours, cf.*A.Phil.*140(p.74.5); *A.Petr.et Sim.*9(p.9.4.6); **4.** in Gnost. astrology τὸν ἐν γόνασί φασιν εἶναι τὸν Ἀ., κατὰ πρόσταγμα, φησίν, τοῦ θεοῦ, καθὼς εἶπε Μωσῆς, φυλάσσοντα τὴν κεφαλὴν τοῦ Δράκοντος Hipp.*haer.*4.47(p.70.7; M.16.3111D); εἰ οὖν, φησίν [sc. ὁ Ἄρατος], ἐξομολογούμενος ὁ Ἀ. καὶ τὴν κεφαλὴν φυλάσσων τοῦ θηρίου κατὰ τὸ πρόσταγμα τοῦ θεοῦ ἐκμιμήσεται τὴν λύραν, τουτέστι κατακολουθήσει τῷ ⟨λόγῳ⟩ τοῦ θεοῦ, τοῦτ' ἔστι πειθόμενος τῷ νόμῳ, παρακείμενον αὐτῷ τὸν στέφανον λήψεται. ἐὰν δὲ ἀμελήσῃ, συγκατενεχθήσεται τῷ ὑποκειμένῳ θηρίῳ...πρώτη γάρ, φησίν, κτίσις ἡ κατὰ τὸν Ἀ. ἐν πόνοις, ⟨ὅ ἐστιν⟩ ὁ ἐν γόνασιν ὁρώμενος· δευτέρα δὲ κτίσις ἐστὶν ἡ κατὰ Χριστόν, δι' ἧς ἀναγεννώμεθα *ib.*4.48(p.71.3ff.; 3114Bff.); *ib.*4.49(p.73.16; 3118A); **5.** identified with first man in Samothracian mysteries, Hipp.*haer.*5.8(p.90.25; 3142B).

***Ἀδαμά, ἡ,** (Hebr. אֲדָמָה) *earth,* †Bas.*Is.*300(1.606E; M.30.644C).

ἀδάμας (A), ὁ, *adamant*; hard metal, met. of strength: of Christ, exeg. Am.7:8, Cyr.*Am.*68(3.326B); id.*Jo.*4.7(4.435E); of strength men receive from him λόγος...ἄνθρωπον...εἰς ἀ. τρέψας Hipp.*cant. Mos.*(p.83.13; M.10.612A)ap.Thdt.*eran.*2(4.132); Or.*sel.in Jer.*50:23 (M.13.597B); of strong souls, Eus.*l.C.*17(p.257.5; M.20.1436A); of S. Paul ὁ πνευματικὸς ἀ. Chrys.*hom.2.4 in Rom.*(9.441D); id.*hom.28.4 in Heb.*(12.261A); of Job, id.*hom.15.5 in Mt.*(7.192C); of a hard nature, Bas.*ep.*5.1(3.77C; M.32.237C).

***Ἀδάμας (B), ὁ,** *Adamas*, Gnost. name of archetypal man, heavenly counterpart of Adam ἄνθρωπον τέλειον καὶ ἀληθῆ ὃν καὶ Ἀ. καλοῦσι Iren.*haer.*1.29.3(M.7.693C); ἄνθρωπος...ἀρσενόθηλυς, καλεῖται δὲ Ἀ. Hipp.*haer.*5.6(p.78.7; M.16.3126A); ἀρχανθρώπου ἄνωθεν Ἀ. *ib.*5.7(p.88.1; 3138B); τὰ νοερά, καὶ ψυχικά, καὶ χοϊκά [sc. of Adamas] κεχώρηκε...εἰς ἕνα ἄνθρωπον ὁμοῦ, Ἰησοῦν *ib.*5.6(p.78.16f.; 3126B).

ἀδάμαστος, 1. *not broken to the yoke, untamed*; met., of novices, Isid.Pel.*epp.*1.258(M.78.337B); hence **2.** *innocent* τοὺς ἀ. πονηρίᾳ Clem.*paed.*1.5(p.98.26; M.8.265B); **3.** *untameable*, hence *indestructible, immortal, eternal*; of angels and souls, Meth.*res.*1.47(p.297.9; M.41.1117C); of time, Nonn.*par.Jo.*10:18(M.43.836A); of Lazarus ἀ. ... νεκρὸν *ib.*11:44(845C).

***Ἀδαμαῖος,** *belonging to Adam*, hence *human*, ‡Sophr.H.*liturg.* 16(M.87.3996D); †Jo.D.*B.J.*12(M.96.976C); οἱ Ἀ. *the race of Adam*, ‡Meth.*Sym.et Ann.*8(M.18.368C).

***Ἀδαμιανοί, οἱ,** *Adamites*; sect claiming primitive innocence and discarding clothes in religious assemblies, Epiph.*haer.*52 tit. (p.311.9; M.41.953Cff.); Jo.D.*haer.*52(M.94.709A).

***Ἀδαμῖται, οἱ,** = foreg., Thdt.*haer.*1.6(4.295f.), where origin ascribed to Prodicus; cf.Clem.*str.*3.4(p.209.30; M.8.1136A).

***ἀδαπανήτως,** *without being exhausted*, Niceph.Ur.*v.Sym.*243 (M.86.3209A).

***ἀδβοκᾶτος, ὁ,** (Lat. *advocatus*) *advocate*, Gr.Mag.*dial.*(tr.Zach.) 4.26(M.*PL.*77.359A).

[*]**ἀδδηφαγία, ἡ,** = ἀδηφαγία, *gluttony*, Nil.*epp.*3.106(M.79.433C); Thdt.*h.rel.*13(3.1210).

[*]**ἀδδηφάγος,** = ἀδηφάγος, *gluttonous*, Synes.*ep.*132(M.66.1517B; ἀδηφάγος *EG*).

ἄδεια, ἡ, *absence of fear*; hence **1.** *freedom* ἄ. τοῦ εἰσιέναι Thdr. Mops.*Joel* 1:13ff.(M.66.217A); Thdt.*provid.*2(4.502); Philost.*h.e.*7.1 (M.65.537A); **2.** *licentiousness*, Just.*dial.*1.5(M.6.476A); Athenag.*leg.* 3.1(M.6.896C); ψευδοπροφήτης...ᾧ ἕπεται ἄ. Anon.ap.Eus.*h.e.*5.17.2 (M.20.473A).

***ἀδείλανδρος,** *without fear of man, undaunted*, *A.(Pass.)Andr.* 7(p.17.20; M.2.1229B); Ephr.1.204A.

***ἀδείλαντος,** *fearless*, Thdr.Stud.*epp.*2.100(M.99.1353C).

***ἀδειλία, ἡ,** *freedom from fear, courage*; of martyrs, Pall.*v.Chrys.* 18(p.118.19; M.47.66); id.*ep.Laus.*(p.7.12; M.34.1002); Jo.Clim.*past.* 13(M.88.1192D).

***ἀδειλίατος,** *free from fear*, ref. Mt.26:38 ἀπαθὲς...τὸ θεῖον καὶ... ἀ. Sever.ap.Max.*opusc.*(M.91.165B).

ἄδειλος, *fearless* πέπειρόν τε καὶ ἄ. *Clem.ep.*13(*GCS* p.16.1); ἀ. τῇ παρρησίᾳ Pall.*v.Chrys.*9(p.56.12; M.47.33).

ἀδεισιδαίμων, *not superstitious* γνωστικὸς...καὶ ἀ. Clem.*str.*7.4 (p.16.12; M.9.428B).

ἀδέκαστος, *unbribed, impartial, just*; esp. of divine judgement, Gr.Nyss.*v.Mos.*(M.44.412B); Chrys.*hom.20.6 in Mt.*(7.267E); ἀ. βήματι τοῦ Χριστοῦ Dor.*doct.*20(M.88.1812B); neut. as subst., *impartiality, integrity* ἐπιρρώσει τῷ ἀ. τὸ συνειδός Men.*exc.Rom.*5 (p.190.11; M.113.880D); τῆς μελλούσης θείας κρίσεως τὸ ἀ. ‡Caes. Naz.*dial.*71(M.38.940).

ἄδεκτος, *not received, unacceptable* ἡ κακία...ἄ. τῷ θεῷ Or.*exp. in Pr.*4(M.17.172B); of Cain's offering, Bas.Sel.*or.*4.3(M.85.69A); hence *excommunicate*, Bas.*ep.*217 *can.*81(3.329D; M.32.805B); πίστιν τὴν ὀρθὴν...ἧς ἐκτὸς λέγειν ἄδεκτον Rom.Mel.(*AS* I p.198).

ἀδελφή, ἡ, *sister*; **1.** in gen., of Christian women (cf. ἀδελφός), Ign.*Polyc.*5.1; *Const.App.*2.58.1; **2.** of nuns, Bas.*reg.br.*104(2.452A; M.31.1153C); *ib.*108(453A; 1156C); Max.*ep.*11(M.91.457A); **3.** of BMV; in proof of reality of Inc. τῆς θεοτόκου, ἀ. τε ἡμῶν οὔσης κατὰ τὴν φύσιν Leont.B.*Nest.et Eut.*2(M.86.1325C); χαῖρε, ἀ., ἡ τοῦ καλοῦ ἀδελφοῦ παρώνυμος Thdr.Stud.*nativ.BMV* 7(M.96.693A); **4.** ref. chaste relations of a woman with a man; **a.** of a wife τῇ συμβίῳ σου τῇ μελλούσῃ σου ἀ. Herm.*vis.*2.2.3; Clem.*str.*6.12(p.482.7; M.9. 321A); of wives of apostles, *ib.*3.6(p.220.21; M.8.1157A); exeg. 1Cor. 9:5 ἀ. μὲν εἶπεν, ἵνα τὴν ἀγνείαν ἐμφανίσῃ Isid.Pel.*epp.*3.176(M.78. 863B); λέγει ὁ ἀνὴρ τῇ γυναικί· 'ἀ.' Jo.Mosch.*prat.*185(M.87.3060B); **b.** of any woman, Herm.*vis.*1.1.1; *ib.*1.1.7; **c.** of *virgines subintroductae* τὰς...συνερχομένας παρθένους τισὶν ὡς ἀ. ἐκωλύσαμεν CAnc.(314)*can.*19; **d.** of 'sisters' falsely so called, living together with men, Iren.*haer.*1.6.3(M.7.509A); **5.** met. εἰρήνη καὶ ἀγάπη... ἀδελφαί Clem.*paed.*1.12(p.149.17; M.8.369A); of Wisdom (Pr.7:4) ἀ. ἡμῶν σοφία ἐστί, διότι ὁ ποιήσας τὴν ἀσώματον φύσιν πατήρ, καὶ ταύτην πεποίηκεν Or.*exp.in Pr.*7:4(M.17.180D); of prayer and fasting τὴν ἀ. τῆς νηστείας...τὴν εὐχήν Chrys.*poenit.*5.1(2.309E); Σιὼν εἶναί φαμεν τὴν νοητὴν ἐπὶ γῆς ἐκκλησίαν, ἣ καὶ ἀ. τῆς ἄνω νοεῖται Cyr.*Ps.*9:12(M.69.768C); myst., of the soul πρὸς τὴν ἐπὶ τὰ μείζω τε καὶ ὑψηλότερα τῆς καρδίας ἀνάβασιν, οἷον ἀ. καὶ νύμφη τοῦ λόγου κατονομάζεται Gr.Nyss.*hom.9 in Cant.*(M.44.968A); ἀ. μὲν ἡμετέρα [sc. ἀγγέλων] διὰ τὴν τῆς ἀπαθείας συγγένειαν *ib.8*(948B); which must become Christ's sister, in order to be united to him εἰ γὰρ βούλει ...ἐπαρθῆναι τῆς ψυχῆς σου τὰς πύλας, ἵνα εἰσέλθῃ ὁ βασιλεὺς τῆς δόξης, χρή σε ἀ. μου γενέσθαι *ib.11*(1001D); ref. question why 'bride' is called ἀ.: ἀ. καὶ νύμφην αὐτὴν ὀνομάζει, ἵνα δείξῃ, ὅτι οὐκ ἔστιν ὁ θάλαμος ἐπᾳδόμενος σαρκός· ὅταν μὲν γὰρ ὀνομάζει αὐτὴν νύμφην, διὰ τὸν λόγον, τὸν μνηστευθέντα τὴν ψυχήν...ὅταν δὲ καὶ ἀ. αὐτὴν ὀνοράζει, διὰ τὴν σάρκα ἣν ἐφόρεσε Ath.*fr.6 in Cant.*(M.27. 1357C).

***Ἀδελφιανοί, οἱ,** *Adelphians*; sect identical with Messalians (Euchites) called after one of its leaders, Adelphius, Tim.CP *haer.* (M.86.48A); cf.Thdt.*h.e.*4.11.2(3.965).

ἀδελφιδέος (-οῦς, -όν), ὁ, 1. lit., *nephew*, of Christ ὃς ἐστιν ἡμῶν καὶ ἀ. ὡς ἐξ ἀδελφῆς...δεσποίνης γεγεννημένος Cyr.*Joel.*7(3.205A); ἐπειδὴ...ἀδελφαί...ἥ τε Ἰουδαίων πληθύς, καὶ ἡ ἐξ ἐθνῶν ἐκκλησία, ἐκείνης δὲ υἱὸς ὁ Χριστὸς τὸ κατὰ σάρκα· εἰκότως αὐτὸν ἀ. ἡ νύμφη καλεῖ Thdt.*Cant.*1:12(2.49); **2.** met., = *beloved one, friend* ἡ γὰρ πρότερον δούλη ψυχὴ νῦν [sc. in baptism] ἀ. ... τὸν δεσπότην ἐπεγράψατο Cyr.H.*catech.*3.16; Χριστὸς...ἀ. τῆς ποθούσης κατωνομάσθη Gr. Nyss.*hom.4 in Cant.*(M.44.836B).

ἀδελφικῶς, *in brotherly manner*, Gr.Naz.*or.*6.11(M.35.736A); Chrys.*hom.44.4 in 1Cor.*(10.413C); Isid.Pel.*epp.*1.10(M.78.185B).

ἀδελφίς, ἡ, *sister*; of Christian women, *A.Thom.*A 88(p.203.6); of nuns, Ephr.2.394E.

***ἀδελφογαμέω,** marry one's sister*; of Zeus, *Clem.epit.*A 51.

***ἀδελφογαμία, ἡ,* 1.** *marriage of brother and sister*; ref. first generations of men, Diod.*Gen.*5:4ff.(M.33.1569C); **2.** *incest of brother and sister,* Gr.Nyss. *fat.*(M.45.169B).

***ἀδελφοζωΐα, ἡ,** living together as brother and sister*; ref. *subintroductae,* Pall.*v.Chrys.*5(p.31.18; M.47.20).

***ἀδελφοθεΐα, ἡ,** fraternal relationship in the Godhead,* ref. futile questionings about Trin. *ἆρα ἂν ἀ. ... ἐν τῇ τριάδι;* ‡Gr.Nyss.*imag.* (M.44.1340D); *ἀ. ἔχουσιν ὁ υἱὸς καὶ τὸ πνεῦμα* Anast.S.*hod.*22(M.89. 288B).

***ἀδελφόθεος, ὁ,** brother of God* (i.e. of Christ); esp. of S. James, ‡Hipp.*disc.*1(M.10.953C); Cyr.*Ps.*68:28(M.69.1173C); Dion.Ar.*d.n.* 3.2(M.3.681D); *τὸ τοῦ ἀ. δι' ἐνόμου διαδοχῆς ἐπέχοντες* [sc. patriarchs of Jerusalem] *πρόσωπον* Thdr.Stud.*epp.*2.121(M.99.1396C); of other brethren of Christ, Sophr.H.*or.*9(M.87.3364C); Hipp.Th. *fr.*6.6(p.32.7).

***ἀδελφοκοιτία, ἡ,** incest of brother and sister*; ref. Zeus, Thphl. Ant.*Autol.*1.9(M.6.1037B); said to have been advocated by Epicurus and Stoics, *ib.*3.6(1129A).

ἀδελφοκτονέω, *murder a brother* or *sister*; of Cain, Thphl.Ant. *Autol.*2.30(M.6.1100B); of Devil inciting to fratricide, Pall.*h.Laus.*6 (p.22.15; M.34.1018B).

ἀδελφοκτονία, ἡ, *murder of a brother* or *sister*; esp. ref. Cain, *1Clem.*4.7; Epiph.*haer.*1(p.172.19; M.41.180A); *ib.*38.5(p.68.15; 661A).

ἀδελφοκτόνος, *murdering a brother* or *sister*; esp. of Cain, *Lit.*ap.*Const.App.*8.12.21; Chrys.*hom.7.6 in Rom.*(9.491E).

***ἀδελφομητρότεκνον, τό,** daughter who is a* spiritual *sister and mother* (as an abbess), Thdr.Stud.*epp.*2.113(M.99.1380C).

***ἀδελφόμιξ,** incestuous with brother* or *sister,* ‡Caes.Naz.*dial.*177 (M.38.1145).

ἀδελφομιξία, ἡ, *marriage of brother and sister*; ref. first generations of mankind, Meth.*symp.*1.2(p.10.19; M.18.41A); Diod.*Gen.*5:4 (M.33.1569C); severely punished by Church *ἀ. τὸν τοῦ φονέως χρόνον ἐξομολογηθήσεται* Bas.*ep.*217 *can.*67(3.327C; M.32.800B).

ἀδελφοπάτηρ, ὁ, = sq., Thdr.Stud.*epp.*2.61(M.99.1277C).

***ἀδελφοπάτωρ, ὁ,** both brother and priest*; met., of an archbishop, Thdr.Stud.*epp.*1.37(M.99.1040A).

***ἀδελφοποι-έω,** adopt as a brother* or *sister,* ‡Chrys.*Zacch.*1.4 (8.126C); met. *χρὴ ~ῆσαι τὸν Χριστόν ib.*(126E); *~εῖν ἀλλήλοις ἡμᾶς εἰδὼς τὴν ἀγάπησιν* Sophr.H.*or.*8.4(M.87.3360C).

***ἀδελφοποίησις, ἡ,** adoption as brother* or *sister*; met., of men by Christ, Ath.*Ar.*2.62(M.26.280A).

***ἀδελφοποιία, ἡ,** concluding of* spiritual *brotherhood*; forbidden to monks, Thdr.Stud.*test.*(M.99.1820B).

ἀδελφοποιός, *producing brothers,* Melet.*nat.hom.*synops.(M.64. 1085A).

ἀδελφός, ὁ, *brother*; **1.** of one's fellow Christian; **a.** in address, *1Clem.*1.1; Clem.*paed.*3.12(p.287.19; M.8.673A); et freq.; so used by Const. when addressing Christians, Const.ap.Eus.*v.C.*2.46(p.60.26; M.20.1024A); Eus.*v.C.*3.24(p.89.8; 1085A); **b.** normal designation of baptized members of Church *μετὰ τὸ οὕτως λοῦσαι* [i.e. being baptized] *τὸν πεπεισμένον...ἐπὶ τοὺς λεγομένους ἀ. ἄγομεν* Just.*1apol.*65.1(M.6.428A); Clem.*str.*2.9(p.134.22; M.8.976C); and only of these *ὁ μὲν κατηχούμενος, κἂν μοναχὸς ᾖ, οὐκ ἀ.· ὁ δὲ πιστός, κἂν κοσμικὸς ᾖ, ἀ. ἐστιν* Chrys.*hom.25.3 in Heb.*(12.233B); *ἀ. γὰρ τὸ βάπτισμα ἐργάζεται, καὶ ἡ τῶν θείων μυστηρίων κοινωνία* id.*hom. 79.1 in Mt.*(7.759C); of Christians as Christ's spiritual brethren through baptism *μάθετε οὖν...διὰ τῆς ἐν ἐμοὶ ἀναγεννήσεως...ἵνα χρηματίσητε υἱοὶ θεοῦ, ἀ. δὲ ἐμοῦ* Or.*or.*15.4(p.335.27; M.11.467B); Gr.Nyss.*Eun.*2(2 p.327.24; M.45.501C); **c.** also applied to those fallen into heresy, *Chron.Pasch.*p.272(M.92.673A); **2.** in wider sense, including all men *ὑπὲρ τῶν ἄλλων δὲ ἀνθρώπων...προσεύχεσθε ...ἀ. αὐτῶν εὑρεθῶμεν τῇ ἐπιεικείᾳ* Ign.*Eph.*10.3; both Jews and gentiles, Just.*dial.*96.2(M.6.704A); as being possible future converts, Clem.*str.*7.14(p.61.19; M.9.520B); and believers in one God, *ib.*5.14(p.390.19; 145A); **3.** partic. of members of a religious community, *PLond.*1914.4; Bas.*reg.br.*104(2.452A; M.31.1153C); Thdt. *h.rel.*25(3.1264); *οἱ ἀ. ὀφείλουσιν ἐν ἀγάπῃ πολλῇ συνεῖναι ἀλλήλοις* Mac.Aeg.*hom.*3.1(M.34.468C); **4.** of Christ; **a.** as men's brother through Inc. *ὁ ὑπὸ ἀνθρώπων ἁμαρτωλῶν φωνούμενος ὡς ἀ. A. Xanthipp.*3(p.59.31); *διὰ τὴν πρὸς τὰ κτίσματα συγκατάβασιν τοῦ λόγου, καθ' ἣν καὶ πολλῶν γέγονεν ἀ. ὁ γάρ τοι μονογενής, οὐκ ὄντων ἄλλων ἀ., μονογενὴς ἐστιν· ὁ δὲ πρωτότοκος διὰ τοὺς ἄλλους ἀ. πρωτότοκος λέγεται* Ath.*Ar.*2.62(M.26.277C); Chrys.*hom.46.3 in Jo.*(8. 373A); id.*hom.3.2 in Col.*(11.344A); ‡Chrys.*Zacch.*1.4(8.126C); Mac. Aeg.*hom.*16.8(M.34.620A); **b.** as brother of Father (Arian *reductio ad absurdum* of homoousion) *εἰ...ἀΐδιός ἐστιν ὁ υἱός, καὶ συνυπάρχει τῷ πατρί, οὐκέτι υἱόν, ἀλλ' ἀ. εἶναι τοῦ πατρὸς λέγετε αὐτόν* Ath.*Ar.* 1.14(M.26.40C); *ib.*(41A), et passim; **5.** the 'brethren of the Lord' (Mt.12:46f.; Ac.1:14; Gal.1:19, etc.), gen. interpreted as sons of Joseph from a former marriage *ἀ. μὲν οὐκ εἶχεν φύσει οὔτε τῆς παρθένου τεκούσης ἕτερον, οὐδ' αὐτὸς ἐκ τοῦ 'Ιωσὴφ τυγχάνων. νόμῳ τοιγαροῦν ἐχρημάτισαν αὐτοῦ ἀ. υἱοὶ 'Ιωσὴφ ὄντες ἐκ προτεθνηκυίας γυναικός* Or.*fr.31 in Jo.*2:11(p.506.21); id.*Cels.*1.47(p.97.11; M.11. 748A); Epiph.*ep.Arab.*ap.*haer.*78.9(p.459.29; M.42.712C); of S. James *ἀ. δὲ τοῦ κυρίου οὗτος καλεῖται διὰ τὸ ὁμότροφον, οὐχὶ κατὰ φύσιν, ἀλλὰ κατὰ χάριν ib.*78.7(p.458.4; 709A); Chrys.*hom.5.3 in Mt.*(7.77C); Cyr.*glaph.Gen.*7(1.221E); Sev.Ant.*res.*(p.846.8ff.; M.46. 648A); Hipp.Th.*fr.*1.6(p.7.5; M.117.1040B); **6.** of a brother-sister (i.e. chaste) relationship *μεθ' ἡμῶν...κοιμηθήσῃ ὡς ἀ. καὶ οὐχ ὡς ἀνήρ* Herm.*sim.*9.11.3; of men in their relations to consecrated virgins *ἀ. ἐν Χριστῷ παρόντων, ἑαυτὴν* [sc. *παρθένος*] *καὶ χιτῶνι... κοσμήσει* †Bas.Anc.*virg.*35(M.30.740B); of men having *virgines subintroductae ἀ. οἱ συνοικοῦντες* Chrys.*subintr.*9(1.241D); **7.** *colleague, associate Παῦλε...ἀ. Πέτρου A.Petr.et Paul.*5(p.180.14); *ib.*21(p.188. 2); *A.Barth.*2(p.132.27); used by kings when addressing each other, Const.ap.Eus.*v.C.*4.11(p.122.11; M.20.1160B); *Chron.Pasch.*p.333(M. 92.864C); Heracl.*ep.*(M.92.1025B).

ἀδελφός, adj. **1.** *as a brother* or *sister,* of Christ's relations to creation *πρωτότοκος...ἐστι τῆς κτίσεως οὐχ ὡς ἀ. ἔχων τὴν κτίσιν ἀλλ' ὡς πρὸ πάσης κτίσεως γεννηθείς· πῶς γὰρ οἷον...ἀ. εἶναι τῆς κτίσεως καὶ δημιουργόν; εἰ γὰρ...κτίσμα ἐστίν, ἀ. ἔχει τὴν κτίσιν· οὐχ οἷον...ἀ. εἶναι καὶ δημιουργόν·...εἰ δὲ δημιουργός, οὐκ ἄρα καὶ ἀ.· εἰ δὲ οὐκ ἀ., οὐ κτίσμα* Thdt.*Col.*1:15(3.477); to men by virtue of his humanity, Gr.Nyss.*Eun.*12(2 p.275.2; M.45.885B); **2.** *cognate,* Serap.*Man.*50(p.71; M.18.1245B); Chrys.*hom.3.2 in Col.*(11.344B).

ἀδελφοσύνη, ἡ, *adoption as brother* or *sister, Nomoc.*512.

***ἀδελφότεκνον, τό,** cousin,* Hipp.Th.*fr.*2.6(p.14.12).

***αἱρεσιλατρεία, ἡ,** *following of heresy, attachment to heresy,* Didym.ap.*cat.Ac.*18:18(p.307.25).

***αἱρεσιομαχέω,** *fight for a heresy,* Didym.*Trin.*3.16(M.39.865A).

αἱρεσιομάχος, ὁ, *fighter for a heresy αἱ. οὐ μετέχουσι τοῦ θεϊκοῦ πνεύματος* Didym.*Trin.*2.21(M.39.741C); *ib.*3.20(897A).

***αἱρεσιούργημα, τό,** *work of heresy, heretical behaviour,* Const. Pogon.*sacr.*3(M.*PL.*96.391D).

***αἱρεσιουργός, ὁ,** *promoter of heresies,* Anast.S.*haer.*(p.258).

αἵρεσις, ἡ, 1. *way of thought,* of the Christian faith *ἀνάγκη...δι' αὐτῶν τῶν γραφῶν ἐκμανθάνειν ἀποδεικτικῶς, ὅπως μὲν ἀπεσφάλησαν αἱ αἱ., ὅπως δὲ ἐν μόνῃ τῇ ἀληθείᾳ καὶ τῇ ἀρχαίᾳ ἐκκλησίᾳ ἥ τε ἀκριβεστάτη γνῶσις καὶ ἡ τῷ ὄντι ἀρίστη αἵ.* Clem.*str.*7.15(p.65.21; M.9.528B); *φαύλως καὶ ἐνδιαστρόφως τινὲς περὶ τῆς...αἱ. τῆς καθολικῆς ἀποδιίστασθαι ἤρξαντο* Const.ap.Eus.*h.e.*10.5.21(M.20.888C); *οἱ Χριστιανοί, οἵτινες τῶν γονέων τῶν ἑαυτῶν καταλελοίπασιν τὴν αἵ.* Maxm.*ib.*8.17.6(793A); *δέδωκα πεῖραν τῆς ἐμαυτοῦ περὶ τὸν θεὸν αἱ.* Bas.*ep.*81.1(3.165B; M.32.437B); **2.** *system of thought* or *those who profess* such *a system, school, sect;* **a.** Jewish or pagan *τοὺς Σαδδουκαίους ἢ τὰς ὁμοίας αἱ.* Just.*dial.*80.4(M.6.665A); *παρ' ὑμῖν τοῖς Ἰουδαίοις καὶ παρὰ τοῖς δοκιμωτάτοις τῶν παρ' Ἕλλησι φιλοσόφων πάμπολλαι γεγόνασιν αἱ., καὶ οὐ δήπου φατὲ δεῖν ὀκνεῖν ἤτοι φιλοσοφεῖν ἢ Ἰουδαΐζειν τῆς διαφωνίας ἕνεκα τῆς πρὸς ἀλλήλας τῶν παρ' ὑμῖν αἱ.* Clem.*str.*7.15(p.63.28; M.9.524B); *αἱ. φιλοσοφουμένων ἐν τοῖς Βραχμάναις* Hipp.*haer.*1.24(p.27.24; M.16.3052A); *προτραπεὶς ἐπὶ φιλοσοφίαν καὶ ἀποκληρωτικῶς ἐπί τινα αἵ. ἑαυτὸν φιλοσόφων ῥίψας...τῷ πιστεύειν τὴν αἵ. ἐκείνην κρείττονα εἶναι* Or.*Cels.*1.10 (p.62.28; M.11.673C); Eus.*h.e.*3.33.6(M.20.284B); Gr.Nyss.*or.catech.*3(p.17.1; M.45.17D); **b.** Christian, acc. Jews or pagans *αἵ. τις ἄθεος καὶ ἄνομος ἐγήγερται ἀπὸ Ἰησοῦ τινος Γαλιλαίου πλάνου* Just.*dial.*108.2(M.6.725C); *τοὺς οὔτε Ἕλληνας οὔτε Ἰουδαίους, ἀλλὰ τῆς Γαλιλαίων ὄντας αἱ.* Juln.Imp.ap.Cyr.*Juln.*2(6².43A); **c.** *faction, party,* ref. 1Cor.11:19, Chrys.*hom.27.2 in 1Cor.*(10.242B) cit. s. *σχίσμα*; Thdt.*1Cor.*11:19(3.236); **d.** *body of people holding false doctrine;* **i.** significance of names *τῶν δὲ αἱ. αἱ μὲν ἀπὸ ὀνόματος προσαγορεύονται...αἱ δὲ ἀπὸ τόπου...αἱ δὲ ἀπὸ ἔθνους...αἱ δὲ ἀπὸ ἐνεργείας...αἱ δὲ ἀπὸ δογμάτων ἰδιαζόντων...αἱ δὲ ἀπὸ ὑποθέσεων ὧν τετιμήκασιν...αἱ δὲ ἀφ' ὧν παρανόμως ἐπετήδευσάν τε καὶ ἐτόλμησαν* Clem.*str.*7.17(p.76.20; M.9.552B); **ii.** dist. from schism, etc. *τὰς μὲν αἱ. ὠνόμασαν, τὰ δὲ σχίσματα, τὰς δὲ παρασυναγωγάς. αἱ. μέν, τοὺς παντελῶς ἀπερρηγμένους, καὶ κατ' αὐτὴν τὴν πίστιν ἀπηλλοτριωμένους· σχίσματα δέ, τοὺς δι' αἰτίας τινὰς ἐκκλησιαστικὰς καὶ ζητήματα ἰάσιμα πρὸς ἀλλήλους διενεχθέντας· παρασυναγωγὰς δὲ τὰς συνάξεις τὰς παρὰ τῶν ἀνυποτάκτων πρεσβυτέρων ἢ ἐπισκόπων καὶ παρὰ τῶν ἀπαιδεύτων λαῶν γινομένας* Bas.*ep.*188 *can.*1(3.268D; M.32.665A); **iii.** in gen. *Δοσίθεός τις...διαδέχεται τὴν αἵ. Hom.Clem.*2.24; *τὰς μὲν αἱ. ὡς μικροτέρας ἑαυτῶν ἀδελφὰς συνεχώρουν βλασφημεῖν εἰς τὸν κύριον, μόνοις δὲ τοῖς Χριστιανοῖς ἐπεβούλευον οὐ φέροντες ἀκούειν περὶ Χριστοῦ λόγων εὐσεβῶν* Ath.*h.Ar.*31(p.200.13; M.25.728D); *ib.*19(p.192.32; 716B); *Const.App.*2.58.1; **3.** *heresy, false teaching* purporting to be Christian *ἐν ὑμῖν οὐδεμία αἵ. κατοικεῖ· ἀλλ' οὐδὲ ἀκούετέ τινος πλέον εἴπερ Ἰησοῦ Χριστοῦ λαλοῦντος ἐν ἀληθείᾳ* Ign. *Eph.*6.2; *μόνῃ τῇ Χριστιανῇ τροφῇ χρῆσθε, ἀλλοτρίας δὲ βοτάνης ἀπέχεσθε, ἥτις ἐστὶν αἵ.* id.*Trall.*6.1; *ὁ εἰς αἵ. ὑποπεσὼν 'διέρχεται δι' ἐρημίας ἀνύδρου'* Clem.*str.*1.19(p.61.23; M.8.812C); *αἱ. ἀθέων* Or. *Cels.*2.3(p.130.14; M.11.800C); *εὐαγγέλιον ἀληθὲς κρύφα διαπεμφθῆναι εἰς ἐπανόρθωσιν τῶν ἐσομένων αἱ. Hom.Clem.*2.17; *τὸ τῆς αἱ. ἰοβόλον* Cyr.H.*catech.*4.4; *τῆς αἱ. βασιλεὺς Κωνστάντιος* Ath.*h.Ar.*45(p.209. 18; M.25.748D); *τὰς μὲν αἱ. ἀναθέματι ἀναθεματίσωμεν* id.*syn.*9 (p.236.26; M.26.696A); id.*Ar.*1.7(M.26.25B); *ὡς ζιζάνιον γέγονεν ἡ κακοῦργος αἵ. τῶν χριστομάχων ib.*2.34(220B); *ib.*1.53(121C); caused by Devil or demons *ἐγὼ Ἀπάτη· ἀπάτην πλέκω καὶ κακίστας αἱ. ἐνθυμίζω T.Sal.*8.5(p.32.8; M.122.1328C); of Devil *ὁ πατὴρ τῆς Ἀρειανῆς αἱ.* Ath.*Ar.*2.73(M.26.301C); *ὁ διάβολος...ἐπεγείρας ὑμῖν ...αἱ. Const.App.*6.55; caused by over-curious speculation, Gr. Nyss.*hom.11 in Cant.*(M.44.1013C); exeg. Ps.1:1 *σοφοῦ...ἀνδρὸς... 'καθέδραν λοιμῶν' τὰς αἱ. ἐκλαμβάνοντος* Clem.*str.*2.15(p.149.7; M.8. 1005B); Jo.16:33 *ἐγὼ νενίκηκα τὸν κόσμον· ἀντὶ τοῦ, πᾶσαν πεπλανημένην αἵ. ἥλεγξα* Ammon.*Jo.*1:5(M.85.1393D); ref. parables of dragnet and tares *καὶ γὰρ ἐκεῖ οἱ μὲν σῴζονται, οἱ δὲ ἀπόλλυνται· ἀλλ' ἐκεῖ διὰ πονηρῶν δογμάτων αἵ. ... οὗτοι δὲ διὰ βίου πονηρίαν* Chrys. *hom.47.2 in Mt.*(7.490A); of Christ's teaching, acc. Jews, *A.Phil.* 15(p.8.14).

αἱρεσιώτης, ὁ, *heretic,* Just.*dial.*80.4(M.6.664C); Eus.*e.th.*1.1(p.63. 13; M.24.832A); *πονηροῖς ἀνθρώποις, μᾶλλον δὲ...θηρίοις ἀνθρωποειδέσιν, ἐθνικοῖς καὶ Ἰουδαϊσταῖς καὶ αἱ. ἀθέοις Const.App.*2.21.2.

αἱρετίζ-ω, [fut. *-ήσω,* Jo.Mosch.*prat.*144(M.87.3005D)]; **1.** *choose ἠρετίσατο τὴν ἀνθρωπίνην ἐνδύσασθαι σάρκα θεὸς ὢν* Meth.*symp.*1.4 (p.13.7; M.18.45A); *ἠρετίσατο ὁ ἀθάνατος σταυρωθῆναι διὰ σέ* Mac. Aeg.*hom.*15.44(M.34.605C); Marc.Er.*opusc.*10.10(M.65.1136C); **2.** *hold* doctrines, of a sect *ταῦτα...οἱ Σαδδουκαῖοι ~ουσιν* Hipp.*haer.*9.29 (p.263.2; M.16.3410A); **3.** intrans., *belong to a sect, be a heretic,* Max.*prol.Dion.*(M.4.20A); *οὐ δέχεσθε τὰς τῶν πατέρων χρήσεις ἀλλ' ἠρετίσασθε* Anast.S.*hod.*10(M.89.180A).

αἱρετικός, 1. adj., *heretical βάπτισμα...αἱ.* Clem.*str.*1.19(p.62.4; M.8.813A); comp. *ἕτεροι...αἱ. τὴν φύσιν, Φρύγες τὸ γένος* Hipp. *haer.*8.19(p.238.4; M.16.3366C); *ἐν αἱ. συναγωγῇ* Or.*sel.in Ex.*(M.12. 285D); *μηδαμοῦ γῆς αἱ. συστήματος μηδὲ σχισματικοῦ λειπομένου* Eus.*v.C.*3.66(p.113.26; M.20.1144B); *τὴν αἱ. πίστιν* Gr.Nyss.*Eun.*1 (1 p.52.18; M.45.281A); **2.** as subst., *heretic,* Iren.*haer.*3.3.4(M.7.852B); *τοῖς πανσόφοις Ἑλλήνων μεριμνηταῖς, οἷς εὔχονται μαθητεύειν οἱ αἱ.* Hipp.*haer.*4.15(p.49.9; M.16.3083A); *μόνον γὰρ αἱ. τινες ἀναβαπτίζονται, ἐπειδὴ τὸ πρότερον οὐκ ἦν βάπτισμα* Cyr.H.*procatech.*7; Juln. Imp.ap.Cyr.*Juln.*6(6².206A); *τρώγλας δὲ οἶμαι καὶ κοίτας ἀσπίδων... τὰς τῶν ἀνοσίων αἱ. οἷον οἰκίας τε καὶ καταδύσεις, ἵνα μὴ λέγωμεν ἐκκλησίας* Cyr.*Is.*2.1(2.201B).

αἱρετικῶς, *heretically αἱ. πυνθάνεσθαι, πῶς οὖν δύναται ἀϊδίως εἶναι ὁ υἱός;* Ath.*Ar.*2.32(M.26.216C).

***αἱρετισμός, ὁ,** *heresy,* Geo.Laod.*ep.dogm.*ap.Epiph.*haer.*73.12 (p.285.5; M.42.428A *ἐρωτισμῷ*); *ib.*73.14(p.287.11; 432A).

αἱρετιστής, ὁ, 1. *member of a sect*; Jewish, Hipp.*haer.*9.18(p.256. 8; M.16.3395A); ref. Greek philosophers *τοὺς ἰδίους μόνον αἱ. ἔπεισαν* Clem.*str.*6.18(p.518.4; M.9.400B); **2.** *partisan ἀπέστειλέ με κύριος... τῆς ἐπαγγελίας αἱ. μηνυτὴν ἑρμηνευτήν* Mont.ap.Epiph.*haer.*48.13 (p.237.11; M.41.876B).

αἱρετός, *to be chosen, desirable οὐαὶ τοῖς ἀκούσασιν τὰ ῥήματα ταῦτα καὶ παρακούσασιν· αἱρετώτερον ἦν αὐτοῖς τὸ μὴ γεννηθῆναι* Herm.*vis.*4.2.6; *ἡ ἀγάπη αὐτὴ δι' αὐτὴν αἱ.* Clem.*str.*7.11(p.48.18; M.9.493A); ref. Jo.15:14 *τί οὖν οὐχ αἱ. παθεῖν ὑπὲρ ταύτης τῆς φιλίας;* Chrys.*hom.23.3 in Heb.*(12.215C).

***αἱρετῶς,** *voluntarily, from choice ἀρετὴ γὰρ θελητή, διὰ τὸ αἱ. καὶ αὐτοθελῶς τὸ ἀγαθὸν ποιεῖν ἡμᾶς, οὐχὶ ἀβουλήτως καὶ ἀναγκαστικῶς* Ephr.3.432F = Jo.D.*virt.*(M.95.96D).

αἱρ-έω, A. act.; **1.** *captivate με ἦρει σφόδρα ἡ τῶν ἀσωμάτων νόησις* Just.*dial.*2.6(M.6.477C); Chrys.*hom.21.3 in Eph.*(11.162C); id.*hom. 15.6 in Phil.*(11.319D); **2.** *befit εὐσεβῶς κατὰ τὸν ~οῦντα Χριστιανισμῷ λόγον διεξάγων* Eus.*m.P.*4.3(p.912.15; M.20.1473A).

B. med.; **1.** *undertake,* of S. Paul *πόλεμον ἄσπονδον πρὸς Ἰουδαίους ἐλόμενος* Chrys.*comm.in Gal.*1:1ff.(10.659D); **2.** *choose,* Herm.*sim.*5.6.6; Just.*Tapol.*28.3(M.6.372C); *ἡ δὲ τοῦ λόγου δύναμις ἔχουσα παρ' ἑαυτῇ τὸ προγνωστικὸν τὸ μέλλον ἀποβαίνειν οὐ καθ' εἱμαρμένην τῇ δὲ τῶν ~ουμένων αὐτεξουσίῳ γνώμῃ* Tat.*orat.*7(p.7.21;

M.6.820C); ~ούμεθα μὲν τὸ καλόν, ἐκκλίνομεν δὲ τὸ αἰσχρόν Or.*princ.* 3.1.3(p.197.14; M.11.252A).

C. pass., *be overcome* ὁ ὠμοτύραννος ἄρχων τῆς ἀκρασίας ἡρέθη Meth.*symp.*10.1(p.122.14; M.18.193A).

αἴρω, v. *ἀείρω.*

αἴσθησις, ἡ, A. *sense perception, sensation*; **1.** def. ἔστι δὲ ἡ αἴ. οὐκ ἀλλοίωσις, ἀλλὰ διάγνωσις ἀλλοιώσεως. ἀλλοιοῦται μὲν γὰρ τὰ αἰσθητήρια, διακρίνει δὲ τὴν ἀλλοίωσιν ἡ αἴ. καλεῖται δὲ πολλάκις αἴ. καὶ τὰ αἰσθητήρια. ἔστι δὲ αἴ. ἀντίληψις τῶν αἰσθητῶν. δοκεῖ δὲ οὗτος ὁ ὅρος οὐκ αὐτῆς εἶναι τῆς αἰ., ἀλλὰ τῶν ἔργων αὐτῆς. διὸ καὶ οὕτως ὁρίζονται τὴν αἴ. πνεῦμα νοερὸν ἀπὸ τοῦ ἡγεμονικοῦ ἐπὶ τὰ ὄργανα τεταμένον...Πλάτων δὲ τὴν αἴ. λέγει ψυχῆς καὶ σώματος κοινωνίαν πρὸς τὰ ἐκτός Nemes.*nat.hom.*6(M.40.636B–637A); dist. from five senses ἔστι δὲ αἰσθητήρια μὲν πέντε· αἴ. δὲ μία, ἡ ψυχική, ἡ γνωρίζουσα διὰ τῶν αἰσθητηρίων τὰ ἐν αὐτοῖς γινόμενα πάθη *ib.* (636A); **2.** in induction κατὰ τὴν αἴ. δὲ ἐκ τοῦ καθ' ἕκαστα κεφαλαιοῦται τὸ καθόλου. ἀρχὴ γὰρ τῆς ἐπαγωγῆς ἡ αἴ. Clem.*str.*8.6(p.90.25f.; M.9.584A); **3.** rel. to νοῦς, ψυχή, etc. τῆς ἡμετέρας ψυχῆς οὐδὲν τοῦ σώματος ἔρημον, ἀλλ' ὅπου αἴ. ἐκεῖ καὶ ψυχή, καὶ ἐπὶ πᾶν φθάνει τὸ σῶμα Or.*fr.18 in Jer.*23:24(p.206.27; M.13.572D); νοῦς...καὶ αἴ., οὕτως ἀπ' ἀλλήλων διακριθέντα, τῶν ἰδίων ὅρων ἐντὸς εἱστήκεισαν Gr. Naz.*or.*45.7(M.36.629D); αἴ. δὲ πένταθλον αὐτῷ χαρισάμενος [sc. God] καὶ νοῦν τὸν τῆς ψυχῆς ἡνίοχον ταῖς αἰ. ἐπιστήσας *Const.App.*7.34.6; Lit.*ib.*8.12.17; τὴν...νοεράν οὐσίαν δεκτικὴν τοῦ πνεύματος...θεὸς ἐδημιούργησεν· τὴν δὲ αἴ. καὶ τὰ αἰσθητά, εἰς χρῆσιν αὐτῆς παρήγαγεν Thal.*cent.*4.13(M.91.1460B); ἡ μὲν αἴ. ἀντιλαμβάνεται τῶν ὄντων κατὰ ἀθρόαν μόρφωσιν· ὁ δὲ νοῦς ἐφάπτεται, τουτέστιν ἀντιλαμβάνεται τῶν ὄντων ἑτέρῳ τρόπῳ, καὶ οὐχ οἵῳ ἡ αἴ. περὶ μὲν οὖν τὸ σωματικὸν ἢ τὸ πνευματικόν, ἢ ἐν τῷ τὰς αἰ. εἶναι καὶ πρώην ἔφημεν, τὸ παθητικὸν καὶ μορφωτικόν ἐστι κίνημα, τὸ δὲ κριτικὸν καὶ ἀντιληπτικόν, τῇ ψυχῇ καὶ τῷ νῷ δοτέον Max.*schol.d.n.*1.5(M.4.201B); **4.** in souls after death εἰ εἰς ἀναισθησίαν ἐχώρει, ἔρμαιον ἂν ἦν τοῖς ἀδίκοις πᾶσιν. ἀλλ'...αἴ. πᾶσι γενομένοις μένει καὶ κόλασις αἰωνία ἀπόκειται Just. *Iapol.*18.2(M.6.356A); νεκρομαντεῖαι...καὶ πάρεδροι καὶ τὰ γινόμενα ὑπὸ τῶν ταῦτα εἰδότων πεισάτωσαν ὑμᾶς, ὅτι καὶ μετὰ θάνατον ἐν αἰ. εἰσὶν αἱ ψυχαί *ib.*18.3(356A); *ib.*20.4(357C); τὰ σώματα...ἀδίκων ἐν αἰ. αἰωνίᾳ μετὰ τῶν...δαιμόνων εἰς τὸ αἰώνιον πῦρ πέμψει *ib.*52.3(405A); τὸ γὰρ κολαζόμενον...ἐν αἰ. ὂν ζῇ, κἂν πάσχειν λέγηται Clem.*str.*5.14 (p.386.9; M.9.133B); **5.** in angels and demons τοὺς ἀγγέλους εἰδέναι... τὰ ἐπὶ τῆς γῆς, οὐ κατ' αἰ. αὐτὰ γινώσκοντας, αἰσθητά γε ὄντα, κατ' οἰκείαν δὲ τοῦ θεοειδοῦς νοῦ δύναμιν Dion.Ar.*d.n.*7.2(M.3.869C); πάσας τὰς τῶν ἀλόγων ζῴων αἰ. τε καὶ πολυμερείας εἰς τὰς ἀΰλους τῶν οὐρανίων οὐσιῶν νοήσεις...ἀνάγοντες id.*c.h.*15.8(M.3.337B); δαίμονες οὐκ ἀθάνατοι οὐδὲ μὴν θνητοί (οὐδὲ γὰρ αἰ., ἵνα καὶ θανάτου, μετειλήφασιν) Clem.*prot.*10(p.74.13; M.8.220A); **6.** in rel. to God and doctrines of faith; **a.** sense perception as basis of faith (Aristotelian influence) Θεόφραστος δὲ τὴν αἴ. ἀρχὴν εἶναι πίστεώς φησιν Clem. *str.*2.2(p.118.2; M.8.940B); ἡ μὲν αἴ. ἐπιβάθρα τῆς ἐπιστήμης, ἡ πίστις δὲ διὰ τῶν αἰσθητῶν ὁδεύσασα ἀπολείπει τὴν ὑπάληψιν, πρὸς δὲ τὰ ἀψευδῆ σπεύδει καὶ εἰς τὴν ἀλήθειαν καταμένει *ib.*2.4(p.119.24; 944C); sensations echoes of divine wisdom, Dion.Ar.*d.n.*7.2(M.3. 868C); **b.** theol. truths beyond sense perception, Ath.*decr.*24(p.19. 32; M.25.457B); τὸ ὁμοούσιον ἀκούοντες ὑπερβαίνειν ὀφείλομεν πᾶσαν αἴ. id.*syn.*42(p.268.2; M.26.768A); ἀποτιθέντας...πάσας ἁπλῶς τὰς αἰ. ἀνιέναι ἐπὶ τὸν πατέρα *ib.*51(p.275.24; 785B); τὸ μὴ δεῖν τὸν εὐφρονοῦντα τῷ προφανεῖ τῆς αἰ. λόγῳ συμμάχῳ χρῆσθαι κατὰ τῆς πάντων ἀφανοῦς αἰτίας Dion.Ar.*d.n.*6.2(M.3.857A); hence it has no place in worship, Clem.*str.*5.5(p.344.13; M.9.49B); nor in spiritual life εἴ τις πρὸς τὴν αἴ. βλέποι...ἄγευστος τῆς θείας εὐφροσύνης διαβιώσεται...διὰ τοῦτο ἡ ψυχή, ὅταν μόνῃ τῇ θεωρίᾳ τοῦ ὄντος εὐφραίνηται, πρὸς οὐδὲν ἐγρήγορε τῶν ἐνεργουμένων καθ' ἡδονὴν δι' αἰ. Gr.Nyss.*hom.*10 *in Cant.*(M.44.993cf.); **7.** met. ψυχὴ γὰρ αὐτοῦ [sc. ἐπισκόπου] καὶ αἴ. εἶναι ὀφείλετε [sc. deacons] *Const.App.*3.19.7.

B. *organ of sense perception, one of the senses*; **1.** place of the senses in human life; **a.** before Fall ἦν [sc. ἄνθρωπος] ἐν τρυφῇ τοῦ παραδείσου...ἔχων σώας τὰς αἰ. Dor.*doct.*1.1(M.88.1617B); **b.** after Fall; closely related to sin, Clem.*paed.*2.8(p.197.20; M.8.473B) cit. s. ψυχή; πύλαι δὲ ψυχῆς αἱ αἰ., αἵτινες ἁμαρτανούσης κατακλύζονταί τε πάθεσι καὶ γίνονται γήϊναι Or.*fr.52 in Lam.*2:9(p.257.26; M.13.636B); Meth.*res.*2.7(p.342.5; M.41.1173B); ὑπὸ τῶν αἰ. ... τὰ πάθη κινοῦνται Thal.*cent.*3.34(M.91.1452A); though they are not the only source of sin, Clem.*str.*2.11(p.139.18; M.8.985B); **c.** hence they must be dominated by νοῦς and ψυχή, Ath.*gent.*31(M.25.61C) cit. s. νοῦς; τῶν αἰ. ἐν τῷ σώματι ὡς λύρας ἡρμοσμένων, ὅταν ὁ ἐπιστήμων νοῦς αὐτῶν ἡγεμονεύῃ· τότε διακρίνει ἡ ψυχή, καὶ οἷδεν ὃ ποιεῖ *ib.*(64A); ἀθορύβου γὰρ οὔσης τῆς ψυχῆς, ἀταράχους εἶχε καὶ τὰς ἔξωθεν αἰ. id. *v.Anton.*67(M.26.940A); κρατῶν τῆς αἰ. ἀσφαλίζου καὶ τὴν μνήμην· αἱ γὰρ διὰ τῆς αἰ. προλήψεις διὰ τῆς μνήμης ἀνακινοῦσι τὰ πάθη Thal. *cent.*4.16(M.91.1460C); and calmed by ἡσυχία, *ib.*3.38(1452B); μοναχός ἐστιν...φυλακὴ αἰσθήσεων ἀνελλιπής Jo.Clim.*scal.*1(M.88.633C); **2.** in allegorical exegesis: five senses represented by five husbands of Samaritan woman (Jo.4:17f.), Or.*Jo.*13.9(p.233.20; M.14.412C); by the wise virgins ἡ γὰρ πεντάφωτος ἡμῶν ὡς ἀληθῶς λαμπὰς ἡ σάρξ ἐστιν, ἣν ἡ ψυχὴ βαστάζουσα...παρίσταται Χριστῷ τῇ ἡμέρᾳ τῆς ἀναστάσεως, παραφαίνουσα διὰ πασῶν τῶν αἰ. ... λαμπρὰν τὴν πίστιν Meth.*symp.*6.3(p.67.14; M.18.117Af.); **3.** spiritual senses of soul ἡ ἀπὸ τῶν αἰσθητῶν ἐπὶ τὰς καλουμένας θείας αἰ. ἀνοδος Or.*Jo.*10.40 (24; p.218.7; M.14.385C); ὥσπερ γὰρ ἐπὶ τοῦ σώματος διάφοροι αἰ. εἰσὶν...οὕτως κατὰ τὰς λεγομένας ὑπὸ τοῦ Σολομῶνος θείας αἰ. (cf.Sap. 7.22ff.) ἄλλη μέν τις ἂν εἴη ⟨ἡ⟩ ὁρατικὴ τῆς ψυχῆς δύναμις καὶ θεωρητική, ἄλλη δὲ ἡ γευστικὴ καὶ ἀντιληπτικὴ τῆς ποιότητος τῶν νοητῶν τροφῶν *ib.*20.43(33; p.386.24f.; 676B); id.*Cels.*7.39(p.190.2ff.; M.11. 1476C); cf. ἡ θεία αἴ., καθὼς ὁ Σολομὼν ὀνομάζει, τῶν σωματικῶν ἀρωμάτων τοῦ νόμου, προστίθησι τὴν ἄϋλον...εὐωδίαν Gr.Nyss.*hom.*9 *in Cant.*(M.44.957C); Max.*ambig.*(M.91.1248B); vitiated by sin, Meth. *symp.*4.2(p.47.5; M.18.88C); employed in praising God τῷ τῆς θρησκείας θεῷ διὰ τῶν ἐντὸς αἰ. τῆς ἑκάστου δι' ἐκφωνητηρίων... ὑμνούντων Const.*or.s.c.*1(p.154.8; M.20.1233A); likened to the ten virgins αἱ γὰρ πέντε τῆς ψυχῆς αἰ., σύνεσις, γνῶσις, διάκρισις, ὑπομονή, ἔλεος, ἂν τὴν ἄνωθεν χάριν καὶ τὸν ἁγιασμὸν τοῦ πνεύματος δέξωνται, καὶ φρόνιμοι τῇ ἀληθείᾳ παρθένοι ἔσονται· εἰ δὲ τῇ φύσει ἑαυτῶν ἐγκαταλειφθεῖεν, μωραὶ τῷ ὄντι εὑρίσκονται Mac.Aeg.*elev.*4 (M.34.893A); in ecstasy ἠκουσε τῇ τῆς καρδίας αἰ. Nil.*Magn.*27(M. 79.1004B); **4.** senses in rel. to God; **a.** God above and outside sense, Clem.*str.*7.7(p.28.29; M.9.453A); οἰκεῖον...θεότητος, αἱ νοεραὶ φύσεις...ξένον δὲ παντάπασιν, ὅσαι ὑπὸ τὴν αἴ. Gr.Naz.*or.*45.6(M.36. 629C); being πάσης αἰ. ὑπεριδρυμένος Dion.Ar.*d.n.*7.2(M.3.868D); therefore τῇ περὶ τὰ μυστικὰ θεάματα συντόνῳ διατριβῇ καὶ τὰς αἰ. ἀπόλειπε id.*myst.*1(M.3.997B); **b.** assuming senses in Inc. χωρὶς γάρ τοι γάμου σύλληψις...καὶ αἰωνίου φύσεως ἀρχὴ χρόνιος καὶ νοητῆς οὐσίας αἴσθησις Const.*or.s.c.*11(p.168.26; M.20.1265A); ὁ τοῦ θεοῦ λόγος λαμβάνει ἑαυτῷ σῶμα...καὶ τὰς αἰ. πάντων ἀνθρώπων προσλαμβάνει Ath.*inc.*15.2(M.25.121D); *ib.*16.1(124B); **5.** *sense world*, which Christ entered, Clem.*str.*5.6(p.353.30; M.9.68A).

C. *intellectual perception, understanding*; esp. of understanding what is good or divine, *Ep.Lugd.*ap.Eus.*h.e.*5.1.48(M.20.428A) cit. s. νυμφικός; ἄφρων δὲ ἡ ἀκόλαστος ἄνθρωπος οὔτ' ἂν αἴσθησιν ἀγαθοῦ σχοίη οὔτ' ἂν κτήσεως τύχοι Clem.*paed.*3.6(p.257.20; M.8. 605C); ἡ ἀκοὴ ἐν ἡμῖν...οὐ διὰ τῆς σωματικῆς δυνάμεως ἔχει τὴν ἀντίληψιν, ἀλλὰ διά τινος ψυχικῆς αἰ. id.*str.*7.7(p.28.26; M.9.453A); ὁ δὲ καθαρὰν ἔχων τὴν διανοήν, καὶ διὰ τῆς αἰ. τοῦ θείου λόγου δυνάμενος ὀπίσω αὐτοῦ εἰς ὁσμὴν μύρων αὐτοῦ δραμεῖν Or.*schol. in Cant.*7:5(M.17.281D); Const.ap.Eus.*v.C.*2.48(p.61.25; M.20.1025B); Mac.Aeg.*hom.*14.2(M.34.572A); εὐξώμεθα...ἐν πληροφορίᾳ καὶ αἰ. μεταλαβεῖν τοῦ ἁγίου πνεύματος *ib.*37.7(753D); Chrys.*stat.*4.2(2.52C); βίος ἡσυχαζόντων...κατὰ συνείδησιν καὶ αἴ. γινέσθω Jo.Clim.*scal.*27 (M.88.1113A); spiritual opp. philos. understanding, exeg. Pr.2:3ff. πρὸς ἀντιδιαστολὴν τῆς κατὰ φιλοσοφίαν αἰ. εἴρηκεν ὁ προφήτης, ἵν'... ἐξερευνᾷν διδάσκει εἰς τὴν ἐπὶ τὴν θεοσέβειαν προκοπήν, ἀντέθηκεν οὖν αὐτῇ τὴν ἐν θεοσεβείᾳ αἴ. Clem.*str.*1.4(p.17.24,26; M.8.717B).

D. *right reason, good sense* ἆρα οὐδεμία ἐστὶν αἴ. οὐδὲ κατὰ χάριν τῆς κοινῆς ἁπάντων φύσεως, εἴ γε τῶν τοῦ νόμου προσταγμάτων ἠμελήσαμεν; Const.ap.Ath.*apol.sec.*61(p.141.19; M.25.360C); τῶν κἂν βραχεῖαν αἴ. ἐχόντων id.ap.Ath.*decr.*16(p.13.18; M.25.'449'(441)C); τίς...ὀλίγην αἴ. ἔχων ἀνέξεται τούτων; id.ap.Ath.*syn.*32(p.260.12; M.26.749B).

E. *sense* of scripture κατ' αἴ. πνευματικήν Or.*Cant.*1(p.90.30; M.13.85D); τοιούτους ὄνους, οὓς γράφειν οἶδε τὸ πνεῦμα τὸ ἅγιον· οὐχ οὓς σωματικὴ περιγράφειν πέφυκεν αἴ., ἀλλ' οὓς ὑποδέχεται νοῦς καθαρός Max.*qu.Thal.*55(M.90.557D); id.*cap.*4.76(M.90.1337B).

αἰσθητήριον, τό, 1. *organ of sense* (usu. plur.); role in Christian life πάντα τὰ ὑπάρχοντα αὐτῷ αἰ. δοὺς τῷ θεῷ, ῥύσεται ἑαυτὸν ἐκ τῶν ἡτοιμασμένων τῷ διαβόλῳ...τιμωριῶν Or.*exp.in Pr.*6:30(M.17.180D); περὶ τὴν ἄσκησιν τῆς ἀγνείας...τὰ αἰ. τηρεῖν ἑαυτοῦ καθαρά Meth. *symp.*11(p.130.23; M.18.208A); οὐκοῦν ἀνάγκη τὰ αἰ., ὡς πύλας ἀνοίγειν τῆς πόλεως. ἀνάγκη δὲ μὴ συγχωρεῖν ἐν τῇ τῶν ἀναγκαίων ἀνοίξει, συνεισέρχεσθαι τὰ τοὺς πολεμίους θέλοντα ‡Max.*cap.al.*230 (M.90.1456C); to be closed to external things in prayer εἰσέρχεται εἰς τὸ ἑαυτοῦ 'ταμεῖον',...'τὴν θύραν' τῶν αἰ. ἀποκλείσας, ἵνα μὴ ἕλκηται ὑπὸ τῶν αἰσθήσεων Or.*or.*20.2(p.344.23; M.20.480B); senses hallowed by post-baptismal chrismation, Cyr.H.*catech.*21.3; **2.** *intellectual faculty*; enabling man esp. to distinguish between

truth and error, good and evil, Clem.*str.*7.16(p.66.4; M.9.529A); developed by Christian life διὰ τὴν ἕξιν τὰ αἰ. γυμνάσαντα πρὸς διάκρισιν καλοῦ καὶ κακοῦ Or.*Cels.*4.50(p.323.10; M.11.1109B); τὸ κριτικὸν αἰ. Thdr.Heracl.*Is.*46:12(M.18.1345B); Cyr.H.*catech.*4.3; †Bas.*Is.*172(1.503B; M.30.405A); εἰς ὑπόμνησιν ἐλθὼν τῆς αἰσχρᾶς... πράξεως, τῷ ἐρρῶσθαι αὐτῷ τὸ τῆς ψυχῆς αἰ. †Bas.*hom.in Ps.*37 (1.367A; M.30.93C); ἔχωμεν τὰ αἰ. τῆς ψυχῆς γεγυμνασμένα πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ, πῶς δὲ γεγυμνασμένα...τὰ αἰ.; ἀπὸ τῆς συνεχοῦς ἀκροάσεως, ἀπὸ τῆς τῶν γραφῶν ἐμπειρίας Chrys.*hom.8.4 in Heb.*(12.88E–89A); also capable of distinguishing between true and false doctrine, Alex.Al.*ep.Alex.*12(p.27.20; M.18.865C); **3.** myst., *spiritual organ* of the soul, though not always clearly dist. from 2 supra, development of 'spiritual senses' implying an advanced state of Christian life; exeg. 1Cor.3:2 ὡς οὖν ὁ ἀπόστολος δυνατὸς ἦν διδόναι τὸ βρῶμα...ἐκεῖνοι δὲ ἠδυνάτουν λαβεῖν αὐτό, διὰ τὸ ἀσθενῆ ἔτι καὶ ἀγύμναστα ἔχειν τὰ τῆς ψυχῆς αἰ. τῆς πρὸς θεὸν γυμνασίας Iren.*haer.*4.38.2(M.7.1107A); ὑγιαίνοντος κατὰ τὰ θεῖα αἰ. Or.*dial.*19(p.158.21); needing purification κατατρυφᾷ δὲ τοῦ κυρίου δυνήσεται ὁ τῆς ψυχῆς τὰ αἰ. κεκαθαρισμένος, ὡς δύνασθαι ἐσθίειν τὸν ζῶντα ἄρτον...πίνειν τε τὸ σωτήριον αὐτοῦ αἷμα Eus.*Ps.*36:2ff.(M.23. 325C); may be atrophied by unbelief, Gr.Nyss.*Pss.titl.*B 13(M.44. 565D); but 'sweetened' and developed by the 'fruit' of the Cross, id.*hom.4 in Cant.*(M.44.844A); by practice of virtue τὸ μέλι ποιούμενος, ὅταν ἐν τῷ ἰδίῳ καιρῷ ὁ καρπὸς τῆς ἀρετῆς καταγλυκαίνῃ τὰ τῆς ψυχῆς αἰ. *ib.*10(988D); ἀμπελών ἐστιν...ἡ πρὸς τὸ θεῖον ὁμοίωσις ...καρπὸς ἡ καθαρότης...καταγλυκαίνων ἐν ἀγνείᾳ τὰ τῆς ψυχῆς αἰ. *ib.*2(800C).

αἰσθητικός, A. *of sense perception, sensitive, sentient*; **1.** def. ἄλλο αἰσθητόν, καὶ ἄλλο αἰ. ... αἰσθητὸν δὲ τὸ αἰσθήσει ὑποπίπτον· αἰ. δὲ αὐτὸ τὸ αἰσθανόμενον ζῷον...αἰσθητὸν δὲ ὁ λίθος...αἰ. δὲ ὁ Στέφανος Melet.*nat.hom.*synops.(M.64.1144D–1145B); **2.** in def. of ζῷον and ἄνθρωπος: ἔστι...τὸ ζῷον οὐσία ἔμψυχος αἰ. ... εἰ τοίνυν ἔμψυχον τὸ ζῷον, ἡ ψυχὴ δὲ φύσις αἰ., δῆλον ὡς αἰ. ἦδη τὸ ἔμψυχον Clem.*str.* 8.4(p.86.15ff.; M.9.573B); τρίτη δὲ οὐσία ἔμψυχος αἰ., τὸ ζῷον, ὁ ἵππος· τετάρτη δὲ οὐσία ἔμψυχος αἰ. λογική, ὁ ἄνθρωπος id.*fr.*38(p.219. 28f.; M.9.769C); **3.** opp. λογικός: τῆς αἰ. ἢ τῆς λογικῆς...κρίσεως Athenag.*res.*15(p.66.3; M.6.1004B); Or.*Jo.*1.25(24; p.31.2; M.14.68B); ref. Christ's body λογικῆς δυνάμεως αἰ. οἰκητήριον Eus.*l.C.*14(p.241. 30; M.20.1409A); τὰ λογικὰ τῶν αἰ. ὑπερέχει Max.*schol.d.n.*6.3(M. 4.340A); Dion.Ar.*d.n.*5.3(M.3.817B); *ib.*6.3(857B); opp. νοητικός, Or. *fr.13 in Jo.*1:18(p.494.25); Dion.Ar.*d.n.*5.1(816B); **4.** sinners disciplined through sentient faculty, Clem.*str.*7.2(p.6.10; M.9.409A).

B. *perceptible* to the senses; of glory in the face of Moses, compared with interior glory of S. Stephen, Chrys.*hom.7.5 in 2Cor.* (10.487C).

C. *perceptive* (intellectually) φιλόσοφοι οἱ εἰς τὴν οἰκείαν συναίσθησιν πνεύματι αἰ. συνασκηθέντες Clem.*str.*6.17(p.511.4; M.9.385A).

D. *intelligible* ὁ βασιλεὺς ὁ ἅγιος...οὗ τὸ ὄνομα ἔφθασεν εἰς τὰ θηρία τῆς ἐρήμου καὶ ἡσύχασαν καὶ αἰ. φωνῇ ᾔνεσάν σε *A.Phil.*132 (p.64.1).

αἰσθητικῶς, 1. a. *by means of the senses* οἷον αἰ. καταλαμβανόμενον Clem.*paed.*1.10(p.143.6; M.8.357A); αἰ. τὰ αἰσθητὰ γινώσκειν id. *fr.*48(p.224.18f.)ap.Max.*ambig.*(M.91.1085B); opp. γνωστικῶς, Dion. Ar.*d.n.*1.5(M.3.593D); *ib.*4.4(700B); **b.** *perceptibly* (i.e. to the senses) κατάβασίν...τινος καὶ αἰ. ἔστιν ἰδεῖν, ὅτε σῶμα τυγχάνει Or.*fr.20 in Jo.*(p.500.22); comp., Chrys.*hom.7.5 in 2Cor.*(10.487B); **2.** *with feeling* ὦ πόσον κινεῖ πάθος ἐν τοῖς αἰ. ἐπαίουσιν 'ἀμπελῶνα ἐμὸν οὐκ ἐφύλαξα' Gr.Nyss.*hom.2 in Cant.*(M.44.800B).

αἰσθητός, *sensible, perceived by the senses,* def. ὁ Πλάτων... διδάσκει, τὸ δὲ οὐκ ὄν, τὸ αἰ., [γενητὸν] ἀρχόμενον εἶναι καὶ παυόμενον Athenag.*leg.*19.1(M.6.929A); cf. κάτεισιν ἡμῶν ὁ νοῦς ἐκ τῶν μεριστῶν, τουτέστι τῶν αἰ. Max.*schol.d.n.*7.2(M.4.345A);

A. in gen., Or.*hom.5.14 in Jer.*(p.43.19; M.13.316A); *ib.6.2*(p.48. 15; 324C); αἰ. κόσμος Meth.*symp.*7.2(p.73.6; M.18.128B); ἀρχαὶ πάσης αἰ. οὐσίας Ath.*gent.*42(M.25.84C); γάμοι αἰ. Chrys.*catech.*2.2 (2.237C); id.*hom.26.1 in Jo.*(8.150A); αἰ. εὐωδίαι Dion.Ar.*c.h.*1.3 (M.3.121D).

B. opp. mental and spiritual; **1.** in gen., opp. νοητός, q.v., Athenag.*leg.*19.1(M.6.929A); βοήθειαν καὶ νοητὴν καὶ αἰ. Clem.*str.* 3.1(p.196.10; M.8.1101A); μὴ τοῖς αἰ. προσανέχωμεν, ἐπὶ δὲ τὰ νοητὰ μετίωμεν [acc. teaching of Moses and Pythagoras] *ib.*5.5(p.344.10; M.9.49B); *ib.*6.16(p.501.6; 361A); δυνατὸν δὲ λαβεῖν εἰκονικὸν φῶς τὸ αἰ.... ἀληθινὸν δὲ φῶς τὸ νοητόν Or.*fr.6 in Jo.*(p.488.16); Cyr.H. *catech.*1.4; θεόν...τὸν βασιλέα πάσης αἰ. καὶ νοητῆς φύσεως *Const. App.*7.42.3; *Lit.ib.*8.12.7 al.; Dion.Ar.*c.h.*15.5(M.3.333C); id.*e.h.* 1.1.2(M.3.373B); as title of one of his prob. fictitious treatises περὶ νοητῶν τε καὶ αἰ. *ib.*2.3.2(397C); opp. νοερός, id.*c.h.*2.4(144C); ref. Plato's 'ideas' ὁ Πλάτων ζῴων ἰδέας ἐν τῷ νοητῷ ἀπολείπειν κόσμῳ καὶ τὰ εἴδη τὰ αἰ. κατὰ τὰ γένη δημιουργεῖν τὰ νοητά Clem.*str.*5.14 (p.388.8; 140A); τὰ αἰ. πάντα, εἰκόνες εἰσὶ...τῶν θείων ἰδεῶν Max. *schol.d.n.*7.3(M.4.352A); **2.** ref. OT, opp. spiritual realities of NT; sacrifices αἰ. θυσίαι Or.*Jo.*10.24(16; p.196.8; M.14.349A); id.*fr.8 in Jo.*(p.490.5); μίμημα τῆς ἐκκλησίας ἐκελεύοντο δαιδάλλειν Ἑβραῖοι τὴν σκήνην, ἵν' ἔχοιεν διὰ τῶν αἰ. τὴν εἰκόνα τῶν θείων...πραγμάτων Meth. *symp.*5.7(p.62.1; M.18.109B); μέγα ἐδόκει εἶναι [sc. δόξα Μωυσέως], ἐπειδὴ αἰ. ἦν δόξα...ἡ δὲ τῆς καινῆς νοητή Chrys.*hom.7.1 in 2Cor.* (10.479E); **3.** ref. exeg., lit. sense dist. from spiritual αἰ. εὐαγγέλιον νοητοῦ καὶ πνευματικοῦ τῇ ἐπινοίᾳ διακρίνοντες...πρόκειται τὸ αἰ. εὐαγγέλιον μεταλαβεῖν εἰς πνευματικόν· τίς γὰρ ἡ διήγησις τοῦ αἰ., εἰ μὴ μεταλαμβάνοιτο εἰς πνευματικόν; Or.*Jo.*1.8(10; p.13.12ff.; M.14. 37C); exeg. Jo.13:30 συμβολικῶς τότε ἡ αἰ. νὺξ ἦν *ib.*32.24(16; p.468. 27; 809C); αἱ ἐπαγγελίαι νοηταί εἰσι δι' αἰ. ἐπαγγελλόμεναι id.*princ.* 4.3.6(21; p.333.7; M.11.388A); κατὰ τὸ αἰ. *literally* μὴ ὑπολάβῃ τις ἡμᾶς...λέγειν...ὅτι τὰ περὶ τοῦ σωτῆρος γεγραμμένα κατὰ τὸ αἰ. οὐκ ἀληθεύεται *ib.*4.3.4(p.329.5; 384A); id.*hom.5.14 in Jer.*(p.43.20; M. 13.316A); τὴν Σαμαρεῖτιν ἀφέλκων ὁ κύριος ἀπὸ τῶν αἰ. ... πνευματικῶς διανοεῖσθαι περὶ τοῦ θεοῦ Ath.*ep.Serap.*4.19(M.26.668A); ἔτι τοῖς αἰ. ἐνδιατρίβει ῥήμασι, διὰ τὸ μηδέπω δύνασθαι χωρῆσαι τῶν πνευματικῶν τὴν ἀκρίβειαν Chrys.*hom.32.2 in Jo.*(8.186B); αἰ. μὲν τὰ ῥήματα, πνευματικὰ δὲ τὰ νοήματα *ib.34.2*(197C); *ib.32.1*(185A); ἀκούσασα ὕδωρ ζῶν, ἐνόμισε περὶ αἰ. τοῦτο λέγεσθαι. ὕστερον δὲ μαθοῦσα ὅτι πνευματικὰ ἦν τὰ λεγόμενα *ib.32.2*(185D); **4.** in moral and religious spheres; **a.** ref. turning from sensible things to those of the mind, (Pythagoreo) δοκεῖς κατόψεσθαί τι τῶν εἰς εὐδαιμονίαν συντελούντων, εἰ μὴ ταῦτα πρῶτον διαδραμεῖσης, ἃ τὴν ψυχὴν ἀπὸ τῶν αἰ. περισπάσει; Just.*dial.*2.4(M.6.477B); ref. astronomy ἐπὶ τὰ νοητὰ μετατίθησιν ἀπὸ τῶν αἰ. Clem.*str.*6.11(p.477.19; M.9.312B); ἡ πρὸς τὰ νοητὰ οἰκείωσις...περιαγωγὴ τῷ γνωστικῷ ἀπὸ τῶν αἰ. *ib.*4.23(p.313.26; M.8.1357A); θείας ἐπινοίας κατασκευαζόμεναι...ἐκ τῶν αἰ. εἰς τὰ νοητά, μᾶλλον δὲ ἐκ τῶνδε εἰς τὰ ἅγια καὶ ἁγίων τὰ ἅγια μεταγούσης ἡμᾶς *ib.*6.11(p.474.24; M.9.308B); γυμνὸν αἰσθητῶν πνευματικόν Or. *Jo.*13.40(p.265.29; M.14.469A); ἡ δὲ αὔξησις ἡμῶν οὐκ ἄλλη τίς ἐστιν ἢ τὸ ἀφίστασθαι μὲν τῶν αἰ., εἰς αὐτὸν δὲ τὸν λόγον γενέσθαι Ath.*Ar.*3.52(M.26.432C); **b.** ref. things of sense leading to spiritual things ἡ πίστις δὲ διὰ τῶν αἰ. ὁδεύσασα ἀπολείπει τὴν ὑπόληψιν...καὶ εἰς τὴν ἀλήθειαν καταμένει Clem.*str.*2.4(p.119.25; M.8.944C); οἶμαι πᾶσαν τὴν εἰσαγομένην ψυχὴν εἰς τὴν διὰ τῶν γραφῶν ἐν Χριστῷ θεοσέβειαν ἀπὸ τῶν αἰ. ... ἀρχομένην...μετὰ τὸ ὠμιληκέναι τοῖς αἰ. ἀνακῦψαί τις...ἐπὶ τὰ νοητά Or.*Jo.*13.9(p.233.19,21; M.14.412C); *ib.* 10.40(24; p.218.6; 385C) cit. s. αἴσθησις; id.*Cant.*3(p.220.31; M.13. 181D); *ib.*3(p.230.27; 189D); Dion.Ar.*c.h.*1.3(M.3.124A) cit. s. ἀνάγω; ἡμεῖς δὲ αἰ. εἰκόσιν ἐπὶ τὰς θείας...ἀναγόμεθα θεωρίας id.*e.h.*1.1.2 (M.3.373B); φιλανθρωπίας αἰσθητοῖς τὰ νοητὰ...περιτιθείσης id.*d.n.*1.4 (M.3.592B); *ib.*4.11(708D) cit. s. νοῦς; **c.** esp. through liturgy and sacraments καὶ τὸ βάπτισμα οὖν διπλοῦν ἀναλόγως, τὸ μὲν αἰ. δι' ὕδατος, τοῦ αἰ. πυρὸς σβεστήριον, τὸ δὲ νοητὸν διὰ πνεύματος Clem.*exc.Thdot.*81.2(p.132.3ff.; M.9.696B); rejected by Ascodrutae οἱ τὰ αἰ. πάντῃ ἀναιροῦντες καὶ μήτε βαπτίσματι μήτε εὐχαριστίᾳ χρώμενοι Or.*or.*5.1(p.308.19; M.11.429B); Thdt.*haer.*1.10 (4.302); τῇ μὲν [sc. ἱεραρχίᾳ] κοινωνοῦσα ταῖς νοεραῖς θεωρίαις, τῇ δὲ ὅτι καὶ συμβόλοις αἰ. ποικίλλεται Dion.Ar.*e.h.*5.1.2(M.3.501D); θεώμεθα...αὐτὰ [sc. divine mysteries] διὰ τῶν...αἰ. συμβόλων id.*ep.* 9.1(M.3.1104B).

C. ref. God and Christ; **1.** God without qualities perceptible to senses, Clem.*prot.*4(p.40.10f.; M.8.145A); ἡ πάντων αἰτία...οὔτε ἐπαφὴν αἰ. ἔχει...οὔτε αἰ. ἐστιν...οὔτε...αἰ. ὑποκειμένη συμπτώμασιν... οὔτε ἄλλο τι τῶν αἰ. οὔτε ἐστίν, οὔτε ἔχει Dion.Ar.*myst.*4(M.3.1040D); **2.** of Christ's human birth γενέσει αὐτοῦ τῇ αἰ. Clem.*str.*6.15(p.493. 9; M.9.345A); γεγέννηται τὸ αἰ. αὐτοῦ σαρκίον *ib.*(p.496.6; 352A); **3.** of incarnate body opp. body of Church ὥσπερ δὲ ἐκεῖνο τὸ αἰ. τοῦ Ἰησοῦ σῶμα ἐσταύρωται...οὕτως τὸ ὅλον τῶν ἁγίων Χριστοῦ σῶμα Χριστῷ συνεσταύρωται καὶ νῦν οὐκέτι ζῇ Or.*Jo.*10.35(20; p.210. 1; M.14.372B).

αἰσθητῶς, 1. *with the senses, sensibly* αἰ. τὰ πάντα καταλήψεσθαι Clem.*str.*5.1(p.330.5; M.9.17A); οὐ γὰρ θεμιτὸν νομίζειν αἰ. ὁρᾶσθαι τὸ πνεῦμα Or.*fr.20 in Jo.*1:31(p.500.6); id.*princ.*4.2.1(8; p.306.4; M.11.357A); opp. νοητῶς, id.*hom.16.9 in Jer.*(p.141.13; M.13.449C); **2.** *in a literal sense, literally* οὐκ αἰ. βεβοηκότα Or.*Jo.*6.18(10; p.127. 18; M.14.232C); οὐκ ἔστιν τι παράδοξον γενόμενον ἐν τῇ γραφῇ, ὃ μή ἐστι σημεῖον...ἑτέρου παρὰ τὸ αἰ. γεγενημένον *ib.*13.64(60; p.296.31; 521C); Meth.*symp.*3.1(p.27.16; M.18.61B); Eus.*d.e.*7.1(p.317.16; M. 22.520A); **3.** *as accommodated to sense, so as to be grasped by the*

senses αἰ. εἰπεῖν Dion.Ar.*c.h.*7.4(M.3.212B); id.*e.h.*4.3.5(M.3.480C); τὰ μὲν αἰ. ἱερὰ τῶν νοητῶν ἀπεικονίσματα *ib.*2.3.2(397C); liturg. διαγράφει γὰρ ἐν τούτοις αἰ., ὑπ' ὄψιν ἄγων Ἰησοῦν τὸν Χριστόν, τὴν νοητὴν ἡμῶν ὡς ἐν εἰκόσι ζωήν *ib.*3.3.12(444C).

αἴσιος, *auspicious,* hence *fitting, meet* ἄξιος εἶ ἐν πᾶσι καιροῖς ὑμνεῖσθαι φωναῖς αἰ. *Hymn.*10(*AGC* p.40.10, v.l. ὁσίαις).

***αἰσχημοσύνη, ἡ,** *indecency,* Clem.*paed.*2.6(M.8.453B; ἀσχ- p.188.15); Sophr.H.*v.Anast.*(M.92.1684B).

***αἰσχραίνω,** s.v.l., *defile* ἵνα μὴ αἰ. τὸ σῶμα *T.Aser* 4.4 (v.l. χράνῃ).

***αἰσχρόβιος,** *living shamefully, shameful, Orac.Sib.*3.189; *Hom. Clem.*11.13.

***αἰσχρογενής,** *basely born*; of Nest., †Cyr.*hom.div.*11(5².383A).

[*]αἰσχροεργία, ἡ, = αἰσχρουργία, *shameless conduct,* †Jo.Jej. *poenit.*(M.88.1904B).

αἰσχροκερδής, *sordidly greedy of gain* αἰ. ἐστιν οὐχ...ὁ καὶ τῶν μικρῶν κερδῶν ἐφιέμενος· ἀλλ' ὁ ἐκ πραγμάτων αἰσχρῶν καὶ λίαν ἀτόπων κέρδη συλλέγειν ἀνεχόμενος Thdt.*1Tim.*3:8(3.656).

***αἰσχροπάθεια, ἡ,** *submission to obscenity,* Pall.*h.Laus.*47(p.139.5; M.34.1201C); Nil.*epp.*2.167(M.79.281B).

***αἰσχροπραγία, ἡ,** *foul conduct,* Nil.*epp.*1.69(M.79.112C).

***αἰσχροπράγος,** *acting basely, foul* δαίμων Nil.*epp.*3.34(M.79.401C).

αἰσχρότης, ἡ, *disgraceful conduct,* Nil.*epp.*1.129(M.79.137C); of shameful thoughts ἐὰν αἰ. σπαρῇ ἐν τῇ καρδίᾳ σου καθημένου ἐν τῷ κελλίῳ σου Esaias *or.*6.7(p.24; cf.M.40.1116C).

***αἰσχρούργημα, τό,** *obscene action*; of Gnostics, Epiph.*haer.* 26.4(p.281.2; M.41.337C); *ib.*26.15(p.295.25; 357A); in Eleusinian mysteries, id.*exp.fid.*10(p.510.14; M.42.800B).

αἰτ-έω, 1. *ask, beg*; of petitionary prayer, exeg. Mt.7:8 ἀληθεύεται τό, πᾶς ὁ ~ῶν λαμβάνει, μὴ ἀριθμουμένων εἰς πάντας τοὺς ~ουμένους τῶν κακῶς ~ούντων (ὁ γὰρ κακῶς ~ῶν οὐκ ~εῖται) Didym.*Ac.*2:21(M.39.1656C); **2.** *inquire* ~οῦμαι...πόθεν ἦκεν; *T. Abr.*A 2(p.78.26).

αἴτημα, τό, *thing demanded, prey* δαιμόνων αἰτήματα ἐγένεσθε *Hom.Clem.*10.6.

αἴτησις, ἡ, *request, demand,* of petitionary prayer following praise, thanksgiving, and confession τὴν περὶ τῶν μεγάλων καὶ ἐπουρανίων αἴ., ἰδίων τε καὶ καθολικῶν, καὶ περί τε οἰκείων καὶ φιλτάτων Or.*or.*33.1(p.401.23; M.11.560A); in def. of prayer, v. εὐχή.

αἰτία, ἡ, A. *guilt, blame,* physical *taint,* of blisters caused by a magician but healed by baptism εὑρέθη τὰ σώματα αὐτῶν ὁλόκληρα ἐκ πάσης αἰ. *Pers.*(p.25.1).

B. *cause*; **1.** God; **a.** Father ὅταν δὲ [sc. ἀκούσωμεν ὅτι] ὁ θεὸς πατήρ, ἐπὶ τὴν ἀπαθῆ αἰ. τοῖς λογισμοῖς ἀνατρέχομεν Bas.*Eun.*2.23 (1.258D; M.29.621B); ἐφίεται μὲν πᾶσα λογικὴ φύσις θεοῦ καὶ τῆς πρώτης αἰ. Gr.Naz.*or.*28.13(p.43.7; M.36.44A); πάντων...αἰ. Dion. Ar.*d.n.*1.3(M.3.589B); of Father as first cause, opp. Son and H. Ghost διὰ τοῦ υἱοῦ δημιουργεῖν τὸν πατέρα...ὥστε ἡ 'δι' οὗ' φωνὴ ὁμολογίαν τῆς προκαταρκτικῆς αἰ. ἔχει, οὐκ ἐπὶ κατηγορίᾳ τοῦ ποιητικοῦ αἰτίου παραλαμβάνεται Bas.*Spir.*21(3.18D; M.32.105C); ἐν δὲ τούτων κτίσει ἐννόησόν μοι τὴν προκαταρκτικὴν αἰ. τῶν γινομένων, τὸν πατέρα· τὴν δημιουργικήν, τὸν υἱόν· τὴν τελειωτικήν, τὸ πνεῦμα *ib.*38(31D; M. 136B); τὸ ἄνευ αἰ. εἶναι, μόνου τοῦ πατρὸς ὄν, τῷ υἱῷ καὶ τῷ πνεύματι ἐφαρμοσθῆναι οὐ δύναται·...τὸ ἐξ αἰ. εἶναι...ἴδιόν ἐστιν τοῦ υἱοῦ καὶ τοῦ πνεύματος Gr.Nyss.*or.dom.*3(p.64.3; M.46.1109B); αἰ. ἐστὶν ἡ τοῦ θεοῦ φύσις καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος καὶ τῆς κτίσεως πάσης· ἀλλὰ τοῦ μὲν υἱοῦ ὡς λόγου, τοῦ δὲ πνεύματος ὡς πνοῆς...τῆς δὲ κτίσεως ὡς ποιήματος ‡Ath.*dial.Trin.*2.23(M.28.1193A); **b.** Son ἀρχὴν τῆς κτίσεως...οὐχ ὡς κτίσμα πρῶτον κτίσεως ἀρχὴ ἐστιν αὐτῆς, ἀλλ' ὡς αἰ. τοῦ ὑπάρχειν αὐτὴν οἷα δημιουργός Or.*Apoc.*22(p.30.12); ref. Col.1:15 τὸ δὲ 'πρωτότοκος' συμπεπλεγμένην ἔχει...τὴν τῆς κτίσεως αἰ. Ath.*Ar.*2.62(M.26.280B); **c.** H. Ghost ἓν πνεῦμα ἅγιον...ζωὴ ζώντων αἰτία Gr.Thaum.*symb.*(p.3.8; M.10.985A); **2.** Satan, exeg. 2Reg.24:1 ἀδίκως...κολάσει ἡ αἰ. τῆς ἁμαρτίας τὸν ἡμαρτηκότα Or. *Apoc.*30(p.6); **3.** in gen., *that which makes a thing what it is,* hence *essence* οὐ δύναται τὸ πεφυκὸς γλυκαίνειν τῷ γλυκὺ τυγχάνειν πικράζειν παρὰ τὴν αὐτοῦ μόνην αἰ. Or.*Cels.*3.70(p.262.30; M.11. 1012D); id.*or.*29.13(p.388.1; M.11.540A) al.; ἡ τῶν μυστηρίων μετάδοσις...ὁμοίους τῷ κατ' αἰ. ἀγαθῷ...ἀποφαίνουσα τοὺς ἀξίως μεταλαμβάνοντας ‡Bas.*h.myst.*62(p.397.19).

C. *question, dispute* διά τινας αἰ. (Lat. *quaestiones*) τοῦ πάσχα Hier. *vir.ill.*(tr.Sophr.Pal.)17(p.20.3; M.*PL.*23.636B); *ib.*35(p.27.16; 650A).

αἰτίαμα, τό, *ground of accusation, fault,* Cyr.*Ps.*94:1(M.69.1240C).

αἰτιατέον, *one must regard as responsible,* Synes.*ep.*122(M.66. 1501C).

***αἰτιατέος,** *to be held responsible* οὐδὲ οἱ πονηροὶ ἄρα, κατὰ τὴν οἰκείαν φύσιν ζῶντες, αἰ. παρὰ δικαίῳ κριτῇ Meth.*symp.*8.16(p.110. 9; M.18.173A).

αἰτιατικός, *accusatory,* Gennad.*fr.Rom.*11:30ff.(p.402.11f.; M.85. 1720A).

αἰτιατικῶς, *causatively,* Dion.Ar.*d.n.*11.6(M.3.956A).

αἰτιατός, *produced by a cause*; of Son, Const.*or.s.c.*11.8(p.168.18; M.20.1264C); αἴτιός ἐστι μόνος ὁ πατήρ· τὰ δὲ αἰ. δύο, ὁ υἱὸς καὶ τὸ πνεῦμα ‡Ath.*qu.al.*11(M.28.784C).

***αἰτιολόγημα, τό,** *thing which can be accounted for,* Bas.*hom.* 23.4(2.188C; M.31.597B).

αἰτιολογικός, *assignable to a cause, explicable,* Dion.Ar.*d.n.*2.3 (M.3.640B).

αἴτιος, A. *causing,* subst., *cause*; **1.** God; **a.** as first cause v. εἰμί; Just.*dial.*3.5(M.6.481B); Clem.*str.*6.9(p.470.26; M.9.297C); οὐσία θεία...τῶν ὄντων αἴ. id.*fr.*37(p.219.17; M.9.749D); Or.*Jo.*2.2(p.54.17; M.14.108B); Gr.Nyss.*Eun.*12(1 p.255.4; M.45.957A); ἔξεστι γὰρ ἀντὶ τοῦ εἰπεῖν ἀγέννητον, πρῶτον αἴ. αὐτὸν προσειπεῖν *ib.*7(2 p.169.22; 760D); Max.*schol.d.n.*5.8(M.4.325B); πάντων αἰτιώτατον Thdt.*rect. conf.*2(M.6.1208B); **b.** of Father as causative principle of Son τὸ αἴ. ὡς οὐ πάντως πρεσβύτερον τῶν ὧν αἴ. οὐδὲ γὰρ τοῦ φωτὸς ἥλιος Gr.Naz.*or.*29.3(p.77.8; M.36.77B); Chrys.*hom.2.2 in Heb.*(12.15D); exeg. 1Cor.11:3 ὁ δὲ Χριστὸς τοῦ θεοῦ, ὡς αὐτὸν αἴ. ἔχων κατὰ τὸ πατέρα εἶναι id.*hom.10.2 in 1Cor.*(10.82E); Thdt.*1Cor.*11:3(3.233); αἴ. μὲν φυσικόν, ὁ πατήρ· αἰτιατὸν δέ, ὁ υἱός Jo.D.*imag.*1.9(M.94. 1204C); id.*f.o.*1.8(M.94.820B); of Son and H. Ghost τῆς πρώτης γεννήσεως τοῦ υἱοῦ καὶ τῆς πρώτης τοῦ πνεύματος ἐκπορεύσεως, ὁ πατὴρ μόνος αἴ. ...τῆς δὲ ἄλλης γεννήσεως τῆς ὑπὸ χρόνον, καὶ τῆς ἄλλης προχύσεως τῆς μεταδοτικῆς, οὐ μόνος αἴ. ὁ πατήρ, ἀλλὰ καὶ ὁ υἱὸς καὶ τὸ πνεῦμα ‡Ath.*Lat.*3(M.28.832B); of H. Ghost τὸ πνεῦμα... πατέρα οὐκ ἔχει...αἴ. δὲ ἔχει τὸν θεὸν...παρ' οὗ ἐκπορεύεται ‡Ath.*dial. Trin.*1.19(M.28.1145C); *ib.*2.28(1200B); **c.** of Logos as cause of union of natures in Inc., Leont.H.*Nest.*1.11(M.86.1445D); **d.** of Logos as creative cause αἴ. ὁ λόγος, ὁ Χριστός, καὶ τοῦ εἶναι...ἡμᾶς ...καὶ τοῦ εὖ εἶναι...ἁπάντων ἡμῖν αἴ. ἀγαθῶν Clem.*prot.*1(p.17.17; M.8.61B); τὸν δεύτερον μετὰ τὸν πατέρα τῶν ὅλων αἴ. Eus.*h.e.*1.2.3 (M.20.56A); as cause of gifts of H. Ghost, Gr.Nyss.*diff.ess.*4(M.32. 329B); **e.** refutation of Platonic theory that God is not cause of matter, Ath.*inc.*2.4(M.25.100B); **f.** denial that God is cause of evil, ref. problem of hardening of Pharaoh's heart, Or.*princ.*3.1.7(p.204. 16; M.11.260A); Meth.*arbitr.*11(p.173.3); a view implicit in astrological theory of destiny, id.*symp.*8.16(p.105.14; M.18.168D); **2.** angels not a cause of creative activity, belonging to created order of which οὐδὲν...ποιητικὸν αἴ. ἐστιν Ath.*Ar.*3.14(M.26.349C).

B. *blameworthy* αἴ. οὐδὲν ἐν ἄνερι...δοκεύω Nonn.*par.Jo.*18:38 (M.43.897A).

***αἰφνιδιάζω,** *attack suddenly*; met., of abolishing idolatry, Marc. Diac.*v.Porph.*41.

αἰχμάζω, *fight with a spear*; met., *conquer* κόρον Gr.Naz.*carm.* 1.2.17.63(M.37.786A); χόλον *ib.*2.1.17.83(1268A); γλῶσσαν *ib.*2.1.34.46 (1310A).

αἰχμαλωσία, ἡ, 1. *captivity,* met. Ἰησοῦ, ὃν...ὁ κλαυθμὸς τῶν ἐν αἰ. ἐπὶ γῆς σε ἐλθεῖν ἐποίησεν *A.Xanthipp.*24(p.75.17); αἰ. ... ἐστιν ἡ ἀπὸ τῆς προηγουμένης ζωῆς κατάπτωσις †Bas.*Is.*166(1.497E; M.30. 392C); **2.** *body of captives,* met. καὶ τὴν αἰ. λήψεται ἀπὸ τοῦ Βελιάρ [τὰς ψυχὰς τῶν ἁγίων] *T.Dan* 5.11; ref. Ps.23:9 τῆς δόξης ὁ βασιλεὺς...ἐλεύσεται τὴν ἄπειρον ἀπαγόμενος τοῦ ᾅδου αἰ. Germ.CP *or.*2 (M.95.281A); **3.** s.v.l., *being led away* τὰς ἐν ταῖς εὐχαῖς ἀμελείας καὶ τὰς αἰ. τὰς ἐν ταῖς ψαλμῳδίαις *Apophth.Patr.*(M.65.197A).

***αἰχμάλωσις, ἡ,** ‡Epiph.*v.proph.Azariae* A(M.43.396B) for αἰχμαλωσίαν (p.31).

***αἰχμαλώτευμα, τό,** *prize of war,* ‡Bas.*Lac.*7(2.592D; M.31. 1449C).

αἰχμαλωτεύ-ω, = αἰχμαλωτίζω, *take prisoner,* Clem.*paed.*3.2 (p.243.19; M.8.573A); met. οἱ δαίμονες τέχνῃ τοὺς ἀνθρώπους ~ουσι Tat.*orat.*18(p.20.15; M.6.848A); Χριστέ...ὁ ~σας τὸν θάνατον καὶ σκυλεύσας τὸν ᾅδην *M.Thdot.*3(p.135.12).

αἰχμαλωτίζ-ω, *take prisoner, capture*; met., of women ~ουσιν [sc. τοὺς ἄνδρας] *T.Reub.*5.3; of false teachers ~ουσιν ἀπὸ τῆς ἀληθείας τοὺς μὴ ἑδραίαν τὴν πίστιν...διαφυλάσσοντας Iren.*haer.*1.3.6 (M.7.477B); for good ἐπὶ σωτηρίᾳ αἰχμαλωτισθέντος ὑπὸ Χριστοῦ Or. *Jo.*2.7(4; p.61.11; M.14.120D); of Satan ~οντι τὰς ψυχάς id.*hom.1.4 in Jer.*(p.3.11; M.13.257C); Ath.*v.Anton.*42(M.26.905B); ‡Ath.*Apoll.* 2.6(M.26.1141A); τοῦ νοῦ...~ομένου Chrys.*hom.20.3 in Mt.*(7.264A); of insincere Christians ἑτέρους ~ουσι προσάγοντες τῷ πονηρῷ *Const. App.*3.6.5.

αἰχμαλωτισμός, ὁ, = αἰχμαλωσία q.v., Mac.Aeg.*hom.*11.1(M.34.545A); met. *οἱ πονηρὰ βουλευόμενοι ἐν ταῖς καρδίαις αὐτῶν...αἰ. ἑαυτοῖς ἐπισπῶνται* Herm.*vis.*1.1.8.

αἰχμαλωτιστής, ὁ, *captor*; ref. Ps.136:3, Meth.*symp.*4.4(p.49.24; M.18.92B).

αἰχμάλωτος, ὁ, 1. *one taken by the spear, prisoner,* met. *οἱ Βραχμᾶνες...πάντας ἀνθρώπους λέγουσιν αἰ. εἶναι τῶν ἰδίων συγγενῶν πολεμίων, ναστρὸς...χαρᾶς λύπης...καὶ τῶν ὁμοίων* Hipp.*haer.*1.24 (p.29.9; M.16.3052C); *Ναασσηνοὶ...φάσκουσι...τρεῖς εἶναι ἐκκλησίας, ἀγγελικήν, ψυχικήν, χοϊκήν· ὀνόματα δὲ αὐταῖς ἐκλεκτή, κλητή, αἰ. ib.*10.9(p.268.21; 3419B); *βάπτισμα αἰ. λύτρον* Cyr.H.*procatech.*16; **2.** *exile,* of Judas *παραδείσου αἰ. καὶ γεέννης κληρονόμος* Eus.Al. *serm.*14(M.86.533A).

***αἰῶλος,** ? f.l. for *αἰόλος, shifty, slippery,* or *ἔωλος, stale, out-of-date αἰ. ... σοφιστείας* Didym.*Trin.*2.6(M.39.521A).

αἰών, ὁ, *age, aeon, eternity,* def. *αἰ. γὰρ οὔτε χρόνος, οὔτε χρόνου τι μέρος...ἀλλ' ὅπερ ἡμῖν ὁ χρόνος...τοῦτο τοῖς ἀϊδίοις αἰ., τὸ συμπαρεκτεινόμενον τοῖς οὖσιν* Gr.Naz.*or.*38.8(M.36.320B); *αἰ. ... ἐστιν οὐ φύσις ἐν ὑποστάσει γνωριζομένη ἀλλὰ διάστημα, ὅπως ποτὲ ἐπινοούμενον χρόνου εἴτε μικρὸν εἴτε μέγα* Thdr.Mops.*Gal.*1:4(p.5.18; M.66.897D); *ὁ αἰ. ... ἀνυπόστατον χρῆμα, συμπαραμαρτοῦν τοῖς γενητὴν ἔχουσι φύσιν* Thdt.*Heb.*1:2(3.546); *ὁ αἰ. ... διάστημά τι χρόνου δηλωτικόν, ποτὲ μὲν ἀπείρου, ὅταν περὶ θεοῦ λέγηται, ποτὲ δὲ τῇ κτίσει συμμέτρου, ἄλλοτε δὲ τῇ ἀνθρωπίνῃ ζωῇ* id.*haer.*5.6(4.399); *τὸ τοῦ αἰ. ὄνομα πολύσημόν ἐστι...αἰ. γὰρ λέγεται...ἡ ἑκάστου τῶν ἀνθρώπων ζωή·...πάλιν...ὁ χιλίων ἐτῶν χρόνος· πάλιν...ὅλος ὁ παρὼν βίος, καὶ αἰ. ὁ μέλλων, ὁ μετὰ τὴν ἀνάστασιν ἀτελεύτητος...πάλιν...οὐ χρόνος, οὐδὲ χρόνου τι μέρος...ἀλλὰ τὸ συμπαρεκτεινόμενον τοῖς ἀϊδίοις...ὅπερ γὰρ τοῖς ὑπὸ χρόνον ὁ χρόνος, τοῦτο τοῖς ἀϊδίοις ἐστὶν αἰ.* Jo.D.*f.o.*2.1 (M.94.861B).

A. *lifetime, LS*; of duration of existence of angel *οὐδὲ τοῖς αἰ. εἰσιν ἀπερίληπτοι· 'ὁ ποιῶν' γάρ φησι 'τοὺς ἀγγέλους αὐτοῦ πνεύματα'* Didym.*Trin.*2.4(M.39.481C).

B. *time ὑμεῖς* [sc. *Ἕλληνες*] *οὐ γινώσκετε παρατρέχοντας μὲν ὑμᾶς, ἑστῶτα δὲ τὸν αἰ. μέχρις ἂν αὐτὸν ὁ ποιήσας εἶναι θελήσῃ* Tat. *orat.*26(p.27.27; M.6.861B); *ἔοικεν οἷόν τι μέτρον καὶ ὅρος τῆς τῶν ἀνθρωπίνων λογισμῶν κινήσεως καὶ ἐνεργείας ὁ αἰ. καὶ τὰ ἐντὸς τούτων εἶναι, τὰ δὲ ὑπερκείμενα τούτων ἄληπτα...λογισμοῖς μένει* Gr.Nyss.*Eun.*1(1 p.129.16; M.45.365C); *ἡ κτίσις πᾶσα...τῷ τῶν αἰ. διαστήματι παραμετρεῖται ib.*(p.128.1; 364D); *τί ποτέ ἐστιν αἰ.;... χρόνος ἐν ἡμέραις καὶ ὥραις* Chrys.*comm.in Gal.*1:4(10.663D); *οὐδὲν τῶν κτισμάτων προγενεστέραν τοῦ αἰ. ἔχει τὴν γένεσιν, ἀλλ' ἐν χρόνῳ πεποίηται* Cyr.*thes.*32(5[1].290A); *λέγουσι* [sc. *οἱ Ὠριγενισταί*]*...ὅτι τὸ τοῦ αἰ. ὄνομα ἐπὶ ὡρισμένου χρόνου λαμβάνεται, καὶ ὅταν εἴπῃ ἡ γραφὴ ὅτι αἰωνία ἐστὶν ἡ κόλασις, οὐ λέγει εἰ μὴ ἐπὶ ὡρισμένου χρόνου* †Leont.B.*sect.*10.6(M.86.1265D).

C. a long but definite period, *age, era, epoch*; **1.** a thousand years, one of the seven ages of the world *τοὺς ἑπτὰ αἰ. ἐγὼ* [sc. *θάνατος*] *λυμαίνω τὸν κόσμον T.Abr.*A 19(p.101.18); *τὸ σῶμά σου μενεῖ ἐπὶ τῆς γῆς ἕως ἂν πληρωθῶσιν ἑπτακισχίλιοι αἰ. ib.*B 7(p.112.3); *ἑβδόμῃ ἡμέρᾳ λέγεται ὁ αἰ. οὗτος πληροῦσθαι* ‡Bas.*struct.hom.*2.8 (1.342C; M.30.49D); †Andr.Cr.*cycl.*(M.19.1329C); *λέγονται...ἑπτὰ αἰ. τοῦ κόσμου τούτου...ἀπὸ τῆς οὐρανοῦ καὶ γῆς κτίσεως μέχρι τῆς κοινῆς τῶν ἀνθρώπων συντελείας τε καὶ ἀναστάσεως* Jo.D.*f.o.*2.1(M. 94.861C); **2.** with idea of dispensation; **a.** from Creation to final judgement *μέχρις ἡμέρας τελειώσεως...ἐν ᾗ ὁ αἰὼν ὁ μέγας τελεσθήσεται Apoc.En.*16.1; **b.** from Creation to Inc. *ὁ μακρὸς αἰ. τοῦ βίου πρὸ τῆς τοῦ σωτῆρος θεοφανείας* Eus.*theoph.fr.*6(p.20*.3; M.24.628B); id.*d.e.*2.3(p.92.7; M.22.161D); Proc.G.*Jos.*6:4(M.87.1013B); **c.** the present *world* or *age*; **i.** in gen. *αἰ. ἐστιν ὅλος τὸ μικρὸν τοῦ θεοῦ* Or.*hom.12.10 in Jer.*(p.97.3; M.13.392D); *οἱ αἰ. οἱ ἐν τῷδε τῷ κόσμῳ ἐκ τῆς περιόδου τῆς ἡμέρας καὶ τῆς νυκτὸς τὴν σύστασιν ἔχουσι, τὸ δὲ προϋπάρξαι τῆς ἡμέρας καὶ τῆς νυκτὸς προϋπάρξαι ἐστὶ τοῦ αἰ. τούτου* Gel.Cyz.*h.e.*2.17.28(M.85.1272A); *πολλάκις τὰ ἀρχαιότατα τῇ τοῦ αἰ. ἐπωνυμίᾳ χαρακτηρίζει καὶ τὴν ὅλην...τοῦ καθ' ἡμᾶς χρόνου παράτασιν αἰ. προσαγορεύει* Dion.Ar.*d.n.*10.3(M.3.937C); with prepositions *τῇ* [sc. *ἐκκλησίᾳ*] *προωρισμένῃ πρὸ αἰώνων εἶναι...εἰς δόξαν* Ign.*Eph.*proem.; from *the beginning of the world ἡ γῆ...ποιήσει ἀθέμιτα, ἃ οὐδέποτε γέγονεν ἐξ αἰῶνος Did.*16.4; *τὴν κληρονομίαν τῶν πατέρων αὐτῶν τὴν ἀπ' αἰ. Apoc.En.*99.14; *τὰ ἀπ' αἰ. ἐν κρυπτῷ ἀξίοις παραδιδόμενα κηρύσσων Hom.Clem.*3.19; *ἀναστήσει ἡμᾶς σὺν πᾶσι τοῖς ἀπ' αἰ. κοιμηθεῖσιν Const.App.*5.7.1; *φθορὰ...ὅσην οὐδεὶς χρόνος ἐξ αἰ. ἔγνω* Philost.*h.e.*11.7(M.65.601A); **ii.** = the human race *Μωϋσῆς...ὁ παντὶ τῷ αἰ. τὸν τοῦ θεοῦ νόμον προφητεύσας Hom. Clem.*2.52; **iii.** with idea of imperfection and conflict *οὐδέν με ὠφελήσει τὰ πέρατα τοῦ κόσμου, οὐδὲ αἱ βασιλεῖαι τοῦ αἰ. τούτου* Ign.*Rom.*6.1; *ὁ αἰ. οὗτος τοῖς δικαίοις χειμών ἐστι* Herm.*sim.*3.2; *ὁ πᾶς ἐνεστηκὼς αἰ. νὺξ ὀνομάζεται κατὰ τὴν ἐπίνοιαν, ὡς δηλοῖ ἡ παραβολὴ τῶν ι' παρθένων* Or.*Apoc.*9(p.24); *ὁ τὸν παρόντα αἰ. στάδιον δικαιοσύνης ἐνστησάμενος Const.App.*7.33.3; exeg. Gal.1:4 *ὅταν ἀκούσῃς πονηρὸν αἰ., τὰς πράξεις νόει τὰς πονηράς* Chrys.*comm. in Gal.*1:4(10.664B); **iv.** ruled by Devil *τοῦ ἄρχοντος τοῦ αἰῶνος τούτου* Ign.*Eph.*17.1; *ὁ νομισθεὶς εἶναι θεὸς τοῦ αἰ. τούτου καὶ τῆς ἀνωτάτω δόξης κλοπεύς* Cyr.*Juln.*1(6[2].6B); and by evil powers *τῶν ἀρχόντων τούτου τοῦ αἰ.* Or.*Jo.*13.59(58; p.290.27; M.14.512B); acc. Ebionites *τὸν μὲν Χριστὸν...τοῦ μέλλοντος αἰ. εἰληφέναι τὸν κλῆρον, τὸν δὲ διάβολον τοῦτον πεπιστεῦσθαι τὸν αἰ.* Epiph.*haer.*30.16(p.353. 14; M.41.432C); Manich. *'ὁ θεὸς τοῦ αἰ. τούτου'...τὸν διάβολον ἐνταῦθα λέγεσθαι* Chrys.*hom.8.2 in 2Cor.*(10.493D); **v.** of the end of the world *'ἕως τῆς σήμερον ἡμέρας' ὅπερ ἐν τῇ γραφῇ μέχρι τῆς συντελείας τοῦ παρόντος αἰ. δηλοῖ* Or.*hom.21.1 in Jos.*(p.428.23; M.87.1033A); *ἡ ἀνάστασις, τοῦ μέλλοντος μὲν ἀρχὴ αἰ. ὑπάρχουσα, τούτου δὲ τέλος* Meth.*res.*2.25(p.382.9; M.18.329B); *Symb.Ant.*(341)4 ap.Ath.*syn.*25(p.251.9; M.26.725C) cit. s. *συντέλεια; τοῦτο...ἔστω νόμμιον αἰώνιον ἕως τῆς συντελείας τοῦ αἰ., μέχρις ἂν ἔλθῃ ὁ κύριος Const.App.*5.19.7; **d.** the *world* or *age* to come; **i.** in gen. *τὴν ἐκκλησίαν...πολίτας τῶν μακαρίων ἐκείνων αἰ. ἐργάζεσθαι* Meth. *symp.*8.6(p.88.16; M.18.148B); *τὸν ἐσόμενον ἀΐδιον αἰ. Hom.Clem.*15.7; *ζωὴν τοῦ μέλλοντος αἰ. Symb.*ap.*Const.App.*7.41.8; *Symb.Nic.-CP* (p.80.16; H.2.288B); Didym.*Trin.*3.20(M.39.296B); *ὁ μέλλων αἰ., ἐν ᾧ μετὰ ψυχῶν συγκλειόμεθα καὶ σωμάτων* Max.*ambig.*(M.91.1368D); **ii.** opp. present age *ὁ δίκαιος καὶ ἐν τούτῳ τῷ κόσμῳ περιπατεῖ καὶ τὸν ἅγιον αἰ. ἐκδέχεται Barn.*10.11; *ὁ...αἰ. ὁ ἐρχόμενος θέρος ἐστὶ τοῖς δικαίοις, τοῖς δὲ ἁμαρτωλοῖς χειμών* Herm.*sim.*4.2; *παραδοθησόμεθα...ἀγγέλοις...μεταβιβάζουσιν ἡμᾶς ἀπὸ τοῦ αἰ. τούτου ἐπὶ τὸν μέλλοντα* Or.*hom.10.7 in Jer.*(p.78.24; M.13.368B); *ὁ θεὸς...δύο αἰῶνας συνεστήσατο, κρίνας τῷ πονηρῷ δεδόσθαι τὸν παρόντα κόσμον...τῷ δὲ ἀγαθῷ δώσειν ὑπέσχετο τὸν μέλλοντα αἰ. Hom.Clem.*20.2; *ἐπὶ...τοῦ μέλλοντος αἰ. οὐδὲ διατάξεως χρεία ἡμῖν τινος, ἐπείπερ ἔξω πάσης ἁμαρτίας...φυλαττόμεθα* Thdr.Mops.*Gal.*1:4(p.7.28; M.66.900B); **e.** of worlds beyond heaven, Tat.*orat.*20(p.22.21; M.6.852B); one of several future ages through which the soul passes in the course of its purification, Or.*princ.*3.1.2(p.241.2; M.11.300A).

D. *period* of indefinite duration; **1.** in gen. *ὁ θεὸς τῶν αἰ. Ἰησοῦ Χριστέ A.Jo.*82(p.191.25); Or.*fr.79 in Lc.*19:22(p.272); *ὁ θεὸς οἱονεὶ ἐνιαυτούς τινας...οἰκονομεῖ ὅλους τοὺς αἰῶνας* id.*Cels.*4.69 (p.339.14; M.11.1137D); Meth.*res.*1.37(p.279.15; M.41.1104C); *τοῦτον* [sc. *τὸν θεόν*] *αἰ. ἄχρονοι πρὸ οὐρανοῦ τοῦδε καὶ πρὸ κόσμου ἄλλοι τε... ἄπειροι αἰ. αἰώνων πρὸ πάσης τῆς τῶν ὁρατῶν ὑποστάσεως...κύριον ἐπιγράφονται* Eus.*l.C.*1.5(p.198.19; M.20.1324A); *Hom.Clem.*17.10; **2.** opp. *χρόνος: ὅπερ ἐν τοῖς αἰσθητοῖς ὁ χρόνος, τοῦτο ἐν τοῖς ὑπερκοσμίοις ἡ τοῦ αἰ. φύσις ἐστίν* Bas.*Eun.*2.13(1.248A; M.29.596B); opp. *τὸ ἀΐδιον, ib.*2.17(253B; M.608C) cit. s. *ἀΐδιος; τοῖς λογίοις...ἐσθ' ὅτε καὶ ἔγχρονος αἰ. δοξάζεται, καὶ αἰώνιος χρόνος* Dion.Ar.*d.n.*10.3(M. 3.937D); **3.** ref. eternity of Son; **a.** in gen. *ὁ παντοκράτωρ θεὸς λόγος, ὁ πρὸ πάντων αἰ. ὑποστάς A.Andr.*A 12(p.53.14); *ἐξ ἀπείρων καὶ ἀνάρχων αἰ. ἦν ὁ υἱός* Eus.*d.e.*5.1(p.212.13; M.22.352D); *τὸν πρὸ πάντων τῶν αἰ. ἐκ τοῦ πατρὸς γεννηθέντα Symb.Ant.*(341)4(p.251.3; M.26.725B); *Symb.Sirm.*1(p.254.19; M.26.736A); *πᾶν διάστημα ἐν τοῖς αἰ. μετρεῖται, πάντων δὲ τῶν αἰ. βασιλεύς ἐστι καὶ ποιητὴς ὁ λόγος* Ath.*Ar.*1.12(M.26.37B); *αἰ. πάντες κάτω που τῆς γενέσεως τοῦ μονογενοῦς νοοῦνται* Bas.*Eun.*2.17(1.252E; M.29.608B); Gr.Nyss.*Eun.* 2(2 p.349.20; M.45.525D) cit. s. *ἀΐδιος; Symb.Nic.-CP*(p.80.5; H.2. 288B); *παρὰ τίνος ἔχεις μαθεῖν* [sc. *πῶς γεγέννηται*]*; ἀλλὰ παρὰ αἰώνων; πρὸ αἰ. ὁ μονογενής* Gel.Cyz.*h.e.*2.19.14(M.85.1277D); **b.** exeg. Jo.1:1 *πρὸ παντὸς χρόνου καὶ αἰ. 'ἐν ἀρχῇ ἦν ὁ λόγος'* Or.*Jo.*2.1(p.53. 23; M.14.105C); Jo.1:3 *πᾶς αἰ. καὶ χρόνος καὶ διαστήματα καὶ τὸ ποτέ, ἐν οἷς τὸ 'οὐκ ἦν' εὑρίσκεται, δι' αὐτοῦ ἐγένετο* Alex.Al.*ep. Alex.*6(p.23.15; M.18.556C); *πάντα δι' αὐτοῦ ἐγένετο τοῖς πᾶσι δηλονότι ἐμπεριειλημμένοις καὶ τῶν αἰ.* Bas.*Eun.*2.13(1.247E; M.29. 596A); Ac.2:36 *οὐδὲ ἡ τοῦ ἀποστόλου διάνοια τὴν πρὸ αἰ. ὑπόστασιν τοῦ μονογενοῦς ἡμῖν παρίστησι ib.*2.3(239E; M.576D); Heb.1:2 *εἴπερ ἀληθὲς πάντας αἰ. καὶ πᾶν διάστημα χρονικὸν μετὰ τὸν υἱὸν καὶ διὰ τοῦ υἱοῦ γεγενῆσθαι λέγειν* Gr.Nyss.*Eun.*1(1 p.122.18; M.45.357C); Cyr.*thes.*4(5[1].20A); *τῶν αἰ. ... ποιητὴν εἴρηκε τὸν υἱόν, ἀΐδιον αὐτὸν εἶναι διδάσκων, καὶ παιδεύων ἡμᾶς, ὡς ἀεὶ ἦν παντὸς οὐτινοσοῦν ὑπερκείμενος χρονικοῦ διαστήματος* Thdt.*Heb.*1:2(3.546); Heb.11:3 *ἀλλ' οὐδὲν κοινὸν τῷ λόγῳ πρὸς τοὺς αἰ.· αὐτὸς γάρ ἐστιν ὁ προϋπάρχων πρὸ τῶν αἰ., δι' οὗ καὶ οἱ αἰ. γεγόνασιν* Ath.*decr.*18(p.15.18; M.25. 448A); *ἀνάγκη προϋπάρχειν αὐτὸν καὶ τῶν αἰ. ὁμολογεῖν. ὧν γὰρ... πρότερον αὐτὸς τοὺς οὐκ ὄντας αἰ. ποτε πρὸς τὸ εἶναι παράγει* Cyr. *thes.*32(5[1].293C); **c.** denied by Paul. Sam. *πρὸ αἰ. μὲν προορισθέντα, ἐκ*

δὲ Μαρίας τὴν ἀρχὴν τῆς ὑπάρξεως ἐσχηκότα ‡Ath.*Apoll.*1.20(M.26.1128A); by Marcell. of Son, opp. impersonal Logos, ref. Pr.8:23 'πρὸ τοῦ αἰ.', ἑνὸς...αἰ. ἐνταῦθα μέμνηται...καίτοι πολλῶν παρελημθότων αἰ. Marcell.*fr.*14 ap.Eus.*Marcell.*2.3(p.46.32; M.24.804A); υἱὸν ...ἐξ αὐτοῦ πρὸ τῶν αἰώνων γεννηθέντα *Symb.Sirm.*2(p.256.29; M.26.741A) shows that 'πρὸ τῶν αἰ.' does not properly mean 'from all eternity'; **4.** of life hereafter εὐφροσύνην ἀκόρεστον καρπουμένας [sc. ψυχάς] εἰς τοὺς ἀτελευτήτους αἰ. Clem.*str.*7.3(p.10.15; M.9.416C); ref. Is.9:6 ὁ Χριστός, ὁ 'πατὴρ τοῦ μέλλοντος αἰ.' ᾧ ἐποικοδομεῖται ἡ τῶν ἀτελευτήτων αἰ. ζωή Gr.Nyss.*Eun.*3(2 p.20.16; M.45.585A); ἀπέραντοι...τῆς ἀναπαύσεώς σοι αἰ. Hyper.*mon.*(M.79.1477B); **5.** of purgatorial punishment ὡς τῆς ἐμμιχθείσης αὐτοῖς κακίας ἀποτακείσης μακροῖς ὕστερον αἰ. καθαρὰν ἀποσωθῆναι τῷ θεῷ τὴν φύσιν Gr.Nyss.*or.catech.*35(p.139.2; M.45.92C).

E. *eternity*; **1.** in gen. ὁ γοῦν αἰ. τοῦ χρόνου τὸ μέλλον καὶ τὸ ἐνεστός, ἀτὰρ δὴ καὶ τὸ παρῳχηκὸς ἀκαριαίως συνίστησι Clem.*str.*1.13(p.36.14; M.8.756A); ὅταν...περάσωμεν εἰς τὸν αἰ. καὶ φθάσωμεν εἰς ἀπάθειαν †Cyr.*coll.VT*(6[4].38D; M.77.1232D); Max.*ambig.*(M.91.1164B) cit. s. χρόνος; **2.** of eternal life τοῦ...αἰ. ἐστιν ἀρχὴ τὸ ἡμέτερον τέλος Clem.*paed.*1.13(p.151.17; M.8.373B); ψυχὴν...μακαρίου αἰ. ἀθανασίᾳ τετιμημένην *Eus.v.C.*1.2(p.8.4; M.20.913A); Dion.Ar. *d.n.*10.3(M.3.937D); of eternal punishment ἐν πυρὶ ἀσβέστῳ ῥιφθείσας [sc. τὰς ψυχάς] τὸν αἰ. κολασθήσεσθαι *Hom.Clem.*1.7; **3.** name for or description of God ὁ θεὸς βασιλεὺς λέγεται τῶν αἰ. ... αὐτὸς...ἐστιν ὁ αἰ. τῶν αἰ. Dion.Ar.*d.n.*5.4(817D); **4.** in phrase *from everlasting to everlasting* ὁ μέν [sc. θεός] ἐστιν κύριος ἀπὸ αἰ. καὶ εἰς τοὺς αἰ. ὁ δὲ [sc. διάβολος] ἄρχων καιροῦ τοῦ νῦν τῆς ἀνομίας *Barn.*18.2; θεὸς ἐξ αἰ. εἰς αἰ. σῴζων διὰ υἱοῦ Clem.*str.*7.2(p.9.25; M.9.416A).

B. pre-Christian foreshadowings; **1.** in pagan myths and philosophy *Ζωροάστρην...Πλάτων...ἀναβιῶναι λέγει· τάχα...τὴν ἀ. ... αἰνίσσεται* Clem.*str.*5.14(p.395.23; M.9.157A); ref. multiplication of loaves and fishes *φιλοσοφίαν Ἑλληνικὴν οἱ ἰχθύες ἐμήνυον...τῆς δὲ τοῦ κυρίου μεταλαβόντες εὐλογίας τὴν ἀ. τῆς θειότητος διὰ τῆς τοῦ λόγου δυνάμεως ἐνεπνεύσθησαν ib.*6.11(p.479.10; 316A); *ἐπεὶ δὲ τὸ περὶ τῆς ἀ. Ἰησοῦ Χριστοῦ χλευάζουσιν οἱ ἄπιστοι, παραθησόμεθα μὲν καὶ Πλάτωνα* [sc. *Rep.*614Bff.] Or.*Cels.*2.16(p.145.16; M.11.828B); but no true resurrection in paganism *τίς δὲ ἄλλος περὶ ἀθανασίας οὕτως ἐπιστώσατο τοὺς ἀνθρώπους, ὡς ὁ τοῦ Χριστοῦ σταυρός, καὶ ἡ τοῦ σώματος ἀ. αὐτοῦ; καίπερ γὰρ τὰ πάντα ψευσάμενοι Ἕλληνες, ὅμως οὐκ ἠδυνήθησαν ἀ. τῶν ἑαυτῶν εἰδώλων πλάσασθαι* Ath.*inc.*50.5,6 (M.25.185C); **2.** in OT *κἂν ὁ σωτὴρ λέγῃ· 'πόθεν ἰαθήσομαι'* [Jer.5:18] *τὴν ἀ. τὴν ἐκ νεκρῶν προφητεύει* Or.*hom.14.18 in Jer.*(p.124.13; M.13.428B); *ἀ. ἔδειξεν εἰς τοῦτον φθάνειν τὰ γεγραμμένα* Ath.*Ar.*2.16 (M.26.180B); *τὸ μυστήριον τῆς ἀ. ἤδη ἐνεργεῖσθαι εὔχεται ὁ προφήτης* Bas.*hom.in Ps.*7:7(1.100D; M.29.236B).

C. the historical event; **1.** wrought in the flesh *ἐγὼ γὰρ καὶ μετὰ τὴν ἀ. ἐν σαρκὶ αὐτὸν οἶδα καὶ πιστεύω ὄντα* Ign.*Smyrn.*3.1; *μετὰ δὲ τὴν ἀ.* [καὶ] *συνέφαγεν αὐτοῖς καὶ συνέπιεν ὡς σαρκικός, καίπερ πνευματικῶς ἡνωμένος τῷ πατρί ib.*3.3; *Ἰησοῦ Χριστοῦ...ἀ. σαρκικῇ τε καὶ πνευματικῇ ib.*12.2; *τί τοῦτο πρὸς τὰ περὶ τοῦ σώματος αὐτοῦ ὑφ' ἡμῶν λεγόμενα; σαφῶς δὲ φαίνεται ἰχθύος μετὰ τὴν ἀ. βεβρωκώς* Or.*Cels.*1.70(p.124.12; M.11.789C); but resurrection body different from mortal body *ἦν γε κατὰ τὴν ἀ. αὐτοῦ ὡσπερεὶ ἐν μεθορίῳ τινὶ τῆς παχύτητος τῆς πρὸ τοῦ πάθους σώματος καὶ τοῦ γυμνὴν τοιούτου σώματος φαίνεσθαι ψυχήν ib.*2.62(p.184.11; 893B); *Χριστὸς...τισὶ μὲν ἐφαίνετο μετὰ τὴν ἀ., τισὶ δὲ ἄδηλος ἦν· ἀληθῶς ἀνέστη ἐκ νεκρῶν... λεπτομεριστέρας δηλονότι τῆς σαρκὸς γενομένης διὰ τὴν ἀφθαρσίαν, ὅπερ...σῶμα, ὅταν ἤθελεν, ἀπέκρυπτε, καὶ ὅταν ἤθελεν, ἐμφανὲς καθίστη* Nil.*epp.*3.120(M.79.440A); *μετὰ δὲ τὴν ἀ. αὐτοῦ...οὐκέτι ὑποπίπτει ταῖς τοῦ σώματος ἀσθενείαις, καὶ χρείαις ἀναγκαίαις ib.*1.149 (144D); **2.** by his own power *τὴν ἐκ νεκρῶν ἀ. πεποιημένος θεϊκῇ δυνάμει* Eus.*qu.Marin.suppl.*1.1(M.22.984C); *ἀπέθανε μὲν ὡς θνητόν· ἀνέζησε δὲ διὰ τὴν ἐν αὐτῷ ζωήν, καὶ τῆς ἀ. ἐστι γνώρισμα τὰ ἔργα* Ath.*inc.*31.4(M.25.149D); which is proof of divinity, id.*Ar.*1.44(M. 26.104A); distinguishing it from other resurrections *καινός τις... ἀναστάσεως ἐδείχθη τύπος. πολλοὶ...πρὸ ἐκείνου...ἀνέστησαν νεκροί, οὕτω δὲ οὐδὲ εἷς· οἱ...ἄλλοι πάντες ἀναστάντες πάλιν εἰς τὴν γῆν ὑπέστρεφον,...τὸ δὲ σῶμα δεσποτικὸν ἀναστὰν...εἰς τοὺς οὐρανοὺς ἀνέβη* Chrys.*incomprehens.*2.6(1.460C); *οἱ ἀπόστολοι κηρύττοντες τὸ εὐαγγέλιον, ἔλεγον τὸν Χριστὸν ἐγηγέρθαι ὑπὸ τοῦ πατρός, διὰ τὸ τῶν ἀκουόντων ἀσθενές...ὁ δὲ ἄγγελος τὴν εὐαγγελιζομένην τὴν ἀ. ῥήξας φωνήν, γυμνὴν ἐκφαίνων τὴν θεοπρεπεστάτην ἐξουσίαν τοῦ ἀναστάντος* Sev. Ant.*res.*(p.802.4; M.46.629C); this used as argument against monophysites *εἰ δὲ ἄμφω μία ἦν φύσις αὐτὴ ἡ ἐνεργοῦσα καὶ τὸ ἐνεργούμενον τὴν ἀ., τίς ἡ ἐνεργουμένη καὶ τίς ἡ ἐνεργοῦσα καὶ ἐγείρουσα αὐτὴν φύσις;...εἴπερ οὖν...τὴν ἀ. αὐτοῦ δοξάζομεν, ἐξ ἑτέρας αὐτοῦ φύσεως τὴν ἑτέραν ἑαυτοῦ φύσιν ἀνιστᾶν αὐτὴν Χριστὸν ὁμολογήσομεν* Leont.H.*monoph.*39(M.86.1793A); **3.** various stages *ἀναστάσεως γὰρ ἦν καὶ τὸ ἐν τῇ πρώτῃ ἡμέρᾳ γενέσθαι ἐν τῷ παραδείσῳ τοῦ θεοῦ, ἀ. δὲ ὅτε φαινόμενός φησι· 'μή μου ἅπτου'...τὸ δὲ τέλειον τῆς ἀ. ἦν, ὅτε γίνεται πρὸς τὸν πατέρα* Or.*Jo.*10.37(21; p.212.4ff.; M.14.376A); *ἵνα ἐν αὐτῇ καὶ τὴν ὑπὲρ ἡμῶν ἁρμόσηται ἀ., ἐξ ᾅδου μὲν τὴν ψυχήν, ἐκ τάφου δὲ τὸ σῶμα ἐπιδεικνύμενος* ‡Ath.*Apoll.*2.17(M.26.1161B); *ἀνάγκη γάρ τινα ἐξ ᾅδου τὴν ἀρχὴν τῆς ἀ. εἰληφέναι, ἵνα τελεία ᾖ ἡ ἀ. ib.*2.16(1160B); **4.** time: of year (April), Mac.Aeg.*hom.*5.9(M.34. 513C,D); of day *πρωΐ, τῆς ἀ. εὐφροσύνη* Cyr.H.*catech.*14.4; *'ὀψὲ σαββάτων' Ματθαῖος βοᾷ. αὕτη τοι ἡ ὥρα τῆς ἀ. κατὰ τὴν τοῦ ἀγγέλου φωνήν...Ματθαῖος μόνος...τὸν καιρὸν δι' ἀκριβείας ἐπεσημήνατο, εἰπὼν τὴν ἑσπέραν εἶναι τοῦ σαββάτου, τὴν ὥραν τῆς ἀ.* Gr.Nyss.*res.*1 (M.46.613A,B); discrepancy between Mt. and Jo. discussed *τίνι γὰρ πιστευτέον; Ματθαίῳ γράφοντι τὴν ἀ. ὀψὲ γεγενῆσθαι σαββάτων, ἢ 'Ιωάννῃ ταὐτὸ τοῦτο συμβεβηκέναι πρωΐ ἔτι σκοτίας οὔσης ἱστορηκότι, ἢ Λουκᾷ καὶ Μάρκῳ; τῷ μὲν ὄρθρον βαθύ, τῷ δὲ ἀνατολὴν ἡλίου τὸν αὐτὸν καιρὸν ὀνομάσαντι;* Sev.Ant.*res.*(p.796.1; M.46.628C); *κατ' ἐκείνην μὲν ὁμολογουμένως...τὴν θείαν νύκτα τῆς ἀ. γενομένης· μηδενὸς δὲ τὴν ὥραν ἐπισημηναμένου ib.*(p.798.6; 629A); cf. *τὴν ἐκ νεκρῶν ἀ. ... καθ' ἣν ὥραν οὐδεὶς ἔγνω, καὶ καθ' ὃν οὐδεὶς ἐπεσημήνατο τῶν εὐαγγελιστῶν καιρόν* Eus.*qu.Marin.suppl.*1.1(M.22.984C); **5.** witnesses; not all men, but only apostles and certain other disciples, Or.*Cels.*2.63(p.185.3; M.11.896A); truth enforced by death in public *μύθους μὲν ἂν ἔδοξε λέγειν παρὰ πᾶσιν, ἠπιστήθη δὲ πολλῷ πλέον καὶ περὶ τῆς ἀ. λέγων, οὐκ ὄντος ὅλως τοῦ μαρτυροῦντος περὶ τοῦ θανάτου αὐτοῦ. τῆς δὲ ἀ. προηγεῖσθαι δεῖ θάνατον, ἐπεὶ οὐκ ἂν εἴη ἀ. μὴ προηγουμένου θανάτου. ὅθεν εἰ κρύφα που ἐγεγόνει τοῦ σώματος ὁ θάνατος...ἀφανὴς καὶ ἀμάρτυρος καὶ ἡ τούτου ἀ. ἦ διὰ τί τὴν μὲν ἀ. ἐκήρυττεν ἀναστάς, τὸν δὲ θάνατον ἀφανῶς ἐποίει γενέσθαι;...πῶς... μαθηταὶ παρρησίαν εἶχον περὶ τοῦ τῆς ἀ. λόγου, οὐκ ἔχοντες εἰπεῖν, ὅτι πρῶτον ἀπέθανεν; ἢ πῶς ἂν ἐπιστεύθησαν λέγοντες γεγονέναι πρῶτον θάνατον, εἶτα τὴν ἀ., εἰ μὴ παρ' οἷς ἐπαρρησιάζοντο, εἶχον τούτους μάρτυρας τοῦ θανάτου;* Ath.*inc.*23.1–3(M.25.136C,D); *δώδεκα δὲ τῇ ἀ. τοῦ Χριστοῦ μαρτυροῦσι, καὶ ἄρα ἔτι πρὸς τὴν ἀ. ἀπιστεῖς;* Cyr.H.*catech.*4.12; testimony of nature and angels, *ib.*14.22,23.

D. proof from its effects *μείζονα εἰργάσατο ἡ τούτου ἀ. τῆς ἐκείνων* [sc. Elijah and Elisha] *ἀ. τί γὰρ τηλικοῦτον τῷ κόσμῳ ἀπὸ τῶν ἀναστάντων παιδαρίων δι' Ἠλίου καὶ Ἐλισσαίου γεγένηται, οἱοῖον διὰ τῆς κηρυσσομένης ἀ. Ἰησοῦ;* Or.*Cels.*2.58(p.182.2,4; M.11.889A); id. *hom.10.3 in Jer.*(p.73.21; M.13.1361A); *ὁ δὲ θάνατος ἐλέγχεται καθ' ἡμέραν αὐτὸς ἐξασθενήσας, καὶ τὰ εἴδωλα καὶ οἱ δαίμονες μᾶλλον νεκροὶ τυγχάνοντες, ὡς ἐκ τούτου μηδένα διστάζειν ἔτι περὶ τῆς τοῦ σώματος ἀ. αὐτοῦ. ἔοικε δὲ ὁ περὶ τῆς ἀ. τοῦ κυριακοῦ σώματος ἀπιστῶν ἀγνοεῖν δύναμιν θεοῦ λόγου καὶ σοφίας* Ath.*inc.*31.3,4(M.25.149C); *μεγίστη...ἀναστάσεως ἀπόδειξις τὸ τὸν σφαγέντα Χριστὸν τοσαύτην μετὰ θάνατον ἐπιδείξασθαι δύναμιν, ὡς τοὺς ζῶντας ἀνθρώπους πεῖσαι καὶ πατρίδος, καὶ οἰκίας...καὶ αὐτῆς ὑπεριδεῖν τῆς ζωῆς...ταῦτα γὰρ οὐχὶ νεκροῦ τινος...ἀλλ' ἀναστάντος...ἦν τὰ κατορθώματα* Chrys.*pan. Ign.*4(2.599B); miracles done by apostles, id.*hom.4.6 in Ac.princ.* (3.90D); *ib.*4.7(92D); S. Peter's change of heart and S. Paul's conversion, id.*hom.1.5 in Ac.*9:1(3.105A,B); id.*hom.89.1 in Mt.*(7.833A).

E. as being Christ himself (cf. Jo.11:25) *Χριστὸς κύριος, ὁ τῆς ἀ. ἥλιος* Clem.*prot.*8(p.63.19; M.8.196A); *ὁ λόγος σὰρξ ἐγένετο...καὶ ἐγένετο ἀ.* Ath.*Ar.*1.64(M.26.145B); *Symb.Ant.*(341)2(p.249.16; M.26. 721C); *ἀ. δέ, ὡς...ἡμᾶς ἀπανιστάς, καὶ πρὸς τὴν ζωὴν ἐπανάγων* Gr. Naz.*or.*30.20(p.141.10; M.36.132A); Mod.*dorm.*12(M.86.3308A).

F. other aspects; **1.** cause of joy to Christians *Ἰγνάτιος...ἐκκλησίᾳ...ἀγαλλιωμένῃ ἐν τῷ πάθει τοῦ κυρίου...καὶ ἐν τῇ ἀ. αὐτοῦ* Ign. *Philad.*proem.; Cyr.H.*catech.*14.1; Gr.Nyss.*res.*5(M.46.684D); **2.** ridiculed by pagans, Or.*Cels.*6.36(p.105.30f.; M.11.1352B); **3.** Resurrection and circumcision *περιτέμνεται γὰρ τὸ παιδίον τῇ ὀγδόῃ, ἐπειδὴ ἔμελλε τῇ ὀγδόῃ ἡ ἀ. ... εἴ τις οὖν μὴ πιστεύει τῇ ἀ., ἀπερίτμητός ἐστι τῇ καρδίᾳ* ‡Chrys.*occurs.*(2.812B); **4.** etym. of name Eliakim *ὃς ἑρμηνεύεται θεοῦ ἀ.* Cyr.*Is.*2.5(2.325C).

G. feast of Resurrection; ref. bishop *τίς αὐτοῖς* [sc. his flock] *τὴν ἡμέραν ἀναγγελεῖ τῆς ἀ., κρυπτομένου σου;* Ath.*ep.Drac.*10(M.25. 533B); *τὴν τῆς ἀ. ἑορτὴν* ‡Chrys.*pasch.*7.5(8.283B); *ἐκκλησία οὐ μόνον τὸ πάθος καὶ θάνατον τοῦ Χριστοῦ, ἀλλὰ καὶ τὴν ἀ. αὐτοῦ πάσχα ὀνομάζει...εἰ καὶ ἐν οἱῳδήποτε ἡμέρᾳ τῶν ἑπτὰ ἡμερῶν τῶν μετὰ τὴν ιδ' τοῦ πρώτου μηνὸς τῆς σελήνης εὑρεθείη αὕτη, λέγω δὲ ἡ ἀ., ἑορταζομένη Chron.Pasch.*p.228(M.92.553A).

H. dedications to Resurrection; church in Jerusalem, built by Constantine, Eus.*v.C.*3.25(p.89.14; M.20.1085A); *ib.*3.28(p.91.1; 1088D); *βασιλεῖς δι' εὐσέβειαν, ἀργυρένδυτον καὶ χρυσοκόλλητον τὴν ἁγίαν ἐκκλησίαν ταύτην ἐν ᾗ πάρεσμεν, τῆς τοῦ σωτῆρος θεοῦ ἀ., ἐξειργάσαντο* Cyr.H.*catech.*14.14; cf.*ib.*14.22; situated on Golgotha, *ib.*13.4; Marc.Diac.*v.Porph.*5; *ὅπου ἐτάφη καὶ κατῴκησεν ὁ Ναζωραῖος τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας· καὶ ἀνέστη ἐκεῖθεν, καὶ εὐθέως ᾠκοδομήθη ἐπάνω τοῦ τάφου ναός, καὶ προσαγορεύεται ἡ ἁγία ἀ.* †Gregent.*disp.*(M.86.729C); *πατριάρχης Ἠλίας ᾠκοδόμησεν μοναστήριον πλησίον τοῦ ἐπισκοπείου καὶ ἐν αὐτῷ περισυνήγαγεν τοὺς τῆς ἁγίας ἀ. σπουδαίους εἰς τοὺς περὶ τὸν πύργον τοῦ Δαυὶδ τόπους διεσπαρμένους* Cyr.S.*v.Sab.*31(p.116.6); id.*v.Thds.*(p.236.13); Evagr.*h.e.*2.5 (p.52.6; M.86.2513A); cave of Resurrection, dist. from the church, Cyr.H.*catech.*18.33; cf.Alex.Sal.*cruc.*(M.87.4037B); church of Resurrection as synonym of see of Jerusalem *τὴν μὲν ἁγίαν τοῦ Χριστοῦ*

ἀ. τὰς τρεῖς Παλαιστίνας ἔχειν CChalc.*act.*7(*ACO* 2.1.3 p.5:23;H.2. 492E).

I. heret.; acc. Gnostics, Christ conversed with disciples for 18 months after Resurrection, Iren.*haer.*1.3.2(M.7.469A); allegorized, v. ἀλληγορέω; true Resurrection denied by Manicheans, Cyr.H.*catech.*14.21.

II. of biblical characters raised from dead;

A. Lazarus ἐξῆλθεν τῆς σοροῦ, ὁ νεκρός, οἷος ἦν πρὶν ἢ παθεῖν, μελετήσας τὴν ἀ. Clem.*paed.*1:2(p.93.23; M.8.256B); τὴν τοῦ Λαζάρου ἐκ νεκρῶν ἀ. κοινὸν ἔργον γεγονέναι υἱοῦ τοῦ εὐξαμένου καὶ πατρὸς τοῦ ἐπακούσαντος Or.*Jo.*28.9(8; p.400.8; M.14.700B); Cyr.H.*catech.*18.16; as proof of doctrine of Resurrection, Gr.Nyss.*hom.opif.*25.11(M.44. 221B).

B. of others πολλοὶ νεκροὶ ἦσαν ἐν ταῖς ἡμέραις Ἰησοῦ, ἀλλὰ μόνοι ἀνέστησαν, οὓς ἔγνω ὁ λόγος ἐπιτηδείους πρὸς τὴν ἀ. Or.*Cels.*2.48 (p.170.11; M.11.872B); of widow's son at Nain, *cat.Lc.*7:12ff.(p.56. 15); raisings of dead in gospels contrasted with τελεία ἀ. of Christ, ‡Chrys.*serm.pasch.*82.

III. of men, in the body;

A. Christ the cause of resurrection; **1.** in gen. ἀ. ἡμῶν ἐν αὐτῷ ἀπόκειται Ath.*Ar.*1.43(M.26.100C); *ib.*2.63(281B); Proc.G.*Is.*66:5ff.(M. 87.2708A); Cosm.Ind.*top.*2(M.88.121B) cit. s. ἀνάκτισις; **2.** through his death and Resurrection ὁ δεσπότης ἐπιδείκνυται διηνεκῶς ἡμῖν τὴν μέλλουσαν ἀ. ἔσεσθαι, ἧς τὴν ἀπαρχὴν ἐποιήσατο τὸν κύριον *1Clem.*24.1; τὴν γενομένην ἀ. τοῦ Χριστοῦ ἀπὸ τοῦ κατὰ τὸν σταυρὸν πάθους περιέχειν μυστήριον τῆς ἀ. τοῦ παντὸς Χριστοῦ σώματος Or.*Jo.*10.35(20; p.209.31f.; M.14.372B); affirmed against allegorizing Manicheans σαφής ἐστιν ἡ τοῦ Χριστοῦ ἀ. μεθ' ἧς εἶχε σαρκὸς γεγουνῖα ἐκ τοῦ προκειμένου ῥητοῦ, οἱ δέ, οἱ ἑτερόδοξοι, ἀλληγορεῖν θέλουσιν τὴν τῶν ἀνθρώπων ἀ. ἀλληγορήτωσαν καὶ τὴν τοῦ σωτῆρος κακῶς τῷ ἑαυτῶν ἀθετοῦντες τὸ ῥητόν Or.*comm.in 1Cor.*15:12f.(*JTS* 10 pp.44f.); τούτου ἕνεκεν τὸ δυνάμενον ἀποθανεῖν ἑαυτῷ λαμβάνει σῶμα, ἵνα τοῦτο τοῦ ἐπὶ πάντων λόγου μεταλαβόν, ἀντὶ πάντων ἱκανὸν γένηται τῷ θανάτῳ, καὶ διὰ τὸν ἐνοικήσαντα λόγον ἄφθαρτον διαμείνῃ, καὶ λοιπὸν ἀπὸ πάντων ἡ φθορὰ παύσηται τῇ τῆς ἀ. χάριτι Ath.*inc.*9.1(M.25. 112A); σωτῆρος ἀποθανόντος ὑπὲρ ἡμῶν...τῆς φθορᾶς παυομένης...ἐν τῇ τῆς ἀ. χάριτι...ἵνα κρείττονος ἀ. τυχεῖν δυνηθῶμεν *ib.*24.1(132C); id.*Ar.*1.8(M.26.28A); *ib.*2.67(289A); ἡ ταφὴ αὐτοῦ, ἡμῶν ἀ. id.*inc.et c. Ar.*5(M.26.992A); θεοῦ, τοῦ μὴ μόνον ἐπαγγελλομένου ποιεῖν τῶν νεκρῶν τὴν ἀ., ἀλλὰ καὶ διὰ τῆς ἤδη ἠργμένης ἀ. τοῦ...Χριστοῦ βεβαίαν παρεσχηκότος ἡμῖν ταύτης τὴν πίστιν ‡Just.*qu.Gr.*10.1(M.6.1477C); *ib.*10.14(1481C); ἡ ἀρχὴ τῆς ἀ. δι' ἑνὸς ἐπὶ πᾶσαν διατείνει τὴν ἀνθρωπότητα Gr.Nyss.*or.catech.*16(p.71.12; M.45.52C); id.*Apoll.*55(M.45. 1260A); ἔστι σωμάτων ἀ. τοῦτο ὁ τάφος δηλοῖ ὁ ἐν Ἱεροσολύμοις Chrys.*hom.2.5 in Ac.*(9.22C); ‡Nil.*fr.pasch.*1(M.79.1489D); **3.** through H. Ghost μεγάλη τοῦ πνεύματος ἡ ἐνέργεια, τοῦ οἰκονομοῦντος ἡμῖν τὸν ἐξ ἀ. βίον Bas.*Spir.*49(3.41D; M.32.157B); Gr.Naz.*or.*31.29(p.184. 2; M.36.165C) cit. s. ἀνακτίζω.

B. def. and general statements σωμάτων ἀ. ἔσεσθαι πεπιστεύκαμεν μετὰ τὴν τῶν ὅλων συντέλειαν, οὐχ ὡς Στωϊκοὶ δογματίζουσι κατά τινας κύκλων περιόδους γινομένων ἀεί...ἅπαξ δὲ τῶν καθ' ἡμᾶς αἰώνων πεπερασμένων [καὶ] εἰς τὸ παντελὲς διὰ μόνων τῶν ἀνθρώπων τὴν σύστασιν [ἔσεσθαι] χάριν κρίσεως Tat.*orat.*6(p.6.15; M.6.817B); ἡμεῖς...σώματα ἀνίστασθαι πεπιστεύκαμεν. εἰ γὰρ καὶ φθείρεται, ἀλλ' οὐκ ἀπόλλυται· τούτων γὰρ τὰ λείψανα γῆ ὑποδεξαμένη τηρεῖ δίκην σπόρου πιαινομένου καὶ τῷ γῆς λιπαρωτέρῳ συμπλεκομένου. αὖθις ὥσπερ κόκκος γυμνὸς σπείρεται, καὶ...ἡμφιεσμένος καὶ ἔνδοξος ἐγείρεται, οὐ πρότερον εἰ μὴ ἀποθανὼν λυθῇ, καὶ γῇ συμμιγῇ· ὥστε τὴν ἀ. τοῦ σώματος οὐ μάτην πεπιστεύκαμεν Iren.*fr.*12(M.7.1236A); οὐχ ὡς οἴεται Κέλσος, τῆς μετενσωματώσεως παρακούσαντες τὰ περὶ ἀ. φαμεν ἀλλ' εἰδότες ὅτι ἡ τῇ ἑαυτῆς φύσει ἀσώματος...ψυχὴ ἐν παντὶ σωματικῷ τόπῳ τυγχάνουσα δέεται σώματος οἰκείου...ὅπερ ὅπου μὲν φορεῖ ἀπεκδυσαμένη ⟨τὸ⟩ πρότερον ἀναγκαῖον μὲν περισσὸν δὲ ὡς πρὸς τὰ δεύτερα, ὅπου δὲ ἐπενδυσαμένη ᾧ πρότερον εἶχε, δεομένη κρείττονος ἐνδύματος εἰς τοὺς καθαρωτέρους...τόπους Or.*Cels.*7.32(p.182.31; M. 11.1465B); οὐδὲ γὰρ ἄλλο τί ἐστιν ἡ ἀ., εἰ μὴ πάντως ἡ εἰς τὸ ἀρχαῖον ἀποκατάστασις Gr.Nyss.*hom.1 in Eccl.*(M.44.633C); id.*anim.et res.* (M.46.148A); id.*Pulch.*(M.46.877A) cit. s. ἀναπλάσσω; τοῦτό ἐστι τὸ μυστήριον...τῆς ἐκ νεκρῶν ἀ., τὸ διαλυθῆναι μὲν τῷ θανάτῳ τοῦ σώματος τὴν ψυχήν...εἰς ἄλληλα δὲ ἐπαναγαγεῖν διὰ τῆς ἀ., ὡς ἂν αὐτὸς γένοιτο μεθόριον ἀμφοτέρων, θανάτου τε καὶ ζωῆς id.*or.catech.*16 (p.72.8,11; M.45.52D); τί γὰρ κοινὸν ἔχει ἡ ῥικνότης καὶ πολυσαρκία...πρὸς τὴν ζωὴν ἐκείνην, ἢ τῆς ῥοώδους τε καὶ παροδικῆς τοῦ βίου διαγωγῆς ἡλλοτρίωται; ἓν ζητεῖ μόνον ὁ τῆς ἀ. λόγος, τὸ φυῆναι διὰ γενέσεως ἄνθρωπον· μᾶλλον δὲ...εἰ ἐγενήθη ἄνθρωπος εἰς τὸν κόσμον, τὸ δὲ μακρόβιον ἢ ὠκύμορον...μάταιον τῷ τῆς ἀ. λόγῳ συνεξετάζειν... οὔτε δυσκολίας, οὔτε ῥαστώνης ἐκ τῆς τοιαύτης διαφορᾶς περὶ τὴν ἀ. οὔσης. τὸν γὰρ τοῦ ζῆν ἀρξάμενον, ζῆσαι χρὴ πάντως, τῆς ἐν τῷ μέσῳ διὰ τοῦ θανάτου συμβάσης αὐτῷ διαλύσεως ἐν τῇ ἀ. διορθωθείσης. τὸ δὲ πῶς ἢ πότε ἡ διάλυσις γίνεται, τί τοῦτο πρὸς τὴν ἀ.; id.*anim.et res.*(M.46.149B,C); ὅτι δὲ δυνατὸν καὶ ἐξ ἀτελῶν καὶ ἐκ τελείων, τὸ αὐτὸ γενέσθαι ἀποτέλεσμα, μαρτυροῦσιν οἱ ὑπὸ Χριστοῦ καὶ τῶν ἁγίων ἀναστάντες νεκροί· τοιούτους γὰρ αὐτούς, καίτοι τελείους ὄντας κατὰ τὰ μέρη ἡ διὰ τῆς ἀ. ἕνωσις ἀπειργάσατο, ὁποίους καὶ ἐν τῇ μήτρᾳ ἡ φύσις διαπλάττουσα συνῆψε· τὸ δ' αὐτὸ καὶ ἐν τῇ προσδοκωμένῃ κοινῇ ἀ., συμβήσεσθαι πεπιστεύκαμεν· τῶν τε γὰρ προδιαλυθέντων καὶ διεφθαρμένων ἤδη σωμάτων, καὶ τῶν ἀρτιτότε ζώντων...τὴν αὐτὴν ἐκ τῆς ἀ. σύστασιν γενήσεσθαι πεπιστεύκαμεν Leont.B.*arg.Sev.*(M.86. 1941D).

C. pre-Christian foreshadowings; **1.** pagan τὴν διὰ πυρὸς κάθαρσιν τῶν κακῶς βεβιωκότων, ἣν...ἐκπύρωσιν ἐκάλεσαν οἱ Στωϊκοί· καθ' ὃν καὶ τὸν ἰδίως ποιὸν ἀναστήσεσθαι δογματίζουσι, τοῦτ' ἐκεῖνο τὴν ἀ. περιέποντες Clem.*str.*5.1(p.332.3; M.9.21A); κἂν μὴ ὀνομάζωσιν οὕτω τῆς ἀ. ὄνομα, τὸ πρᾶγμά γε δηλοῦσιν, ὅτι Σωκράτης...ἀναστήσεται... καὶ ἀνατραφεὶς Ἀθήνῃσι φιλοσοφεῖ Or.*Cels.*5.20(p.22.2; M.11.1212A); mistaken pagan ideas about it, Gr.Nyss.*anim.et res.*(M.46.108B); **2.** OT; exeg. Ps.150:3ff. τὴν ἐκκλησίαν λέγει τὴν μελετήσασαν τῆς σαρκὸς τὴν ἀ. ἐν ἠχοῦντι τῷ δέρματι Clem.*paed.*2.4(p.182.25; M.8. 441B); Or.*hom.1.16 in Jer.*(p.15.4f.; M.13.276A); Ἐνὼχ μετέθηκε καὶ τὸν Ἠλίαν ἀνήρπασεν, αἰνιττόμενος ἡμῖν τὸ περὶ τῆς ἀ. δόγμα Chrys. *res.mort.*8(2.435C); id.*exp.in Ps.*117:17(5.323C,D).

D. defence of doctrine; **1.** statement of its difficulties τὸν περὶ τῆς ἀ. λόγον (πολὺν ὄντα καὶ δυσερμήνευτον καὶ δεόμενον σοφοῦ εἴπερ τι ἄλλο τῶν δογμάτων καὶ ἐπὶ πλεῖον διαβεβηκότος...) Or.*Cels.* 7.32(p.182.20; M.11.1465A); μέγα...τὸ τῆς ἀ. καὶ δυσθεώρητον τοῖς πολλοῖς ἡμῶν μυστήριον id.*Jo.*10.36(20; p.210.14; M.14.372C); partic. objections χρὴ καὶ τοὺς περὶ τῆς ἀ. ἀπιστοῦντας...ἢ μηδεμιᾶς αἰτίας ἐξάπτειν τὴν τῶν ἀνθρώπων γένεσιν...ἢ τῷ θεῷ τὴν τῶν ὄντων ἀνατιθέντας αἰτίαν εἰς τὴν τοῦδε τοῦ δόγματος ἀποβλέπειν ὑπόθεσιν καὶ διὰ ταύτης δεικνύναι τὴν ἀ. οὐδαμόθεν ἔχουσαν τὸ πιστόν. τοῦτο δὲ ποιήσουσιν, ἐὰν δεῖξαι δυνηθῶσιν ἢ ἀδύνατον ὂν τῷ θεῷ ἢ ἀβούλητον τὰ νεκρωθέντα τῶν σωμάτων ἢ καὶ πάντῃ διαλυθέντα πάλιν ἑνῶσαι καὶ συναγαγεῖν πρὸς τὴν τῶν αὐτῶν ἀνθρώπων σύστασιν. ἐὰν δὲ τοῦτο μὴ δύνωνται, παυσάσθωσαν τῆς ἀθέου ταύτης ἀπιστίας Athenag.*res.*2 (pp.49.31–50.6; M.6.977B); difficulty caused by eating of bodies by animals eaten in turn by men, *ib.*4(p.52.24; 981C); διὰ δύο πράγματα χρὴ ἀπιστεῖν τῶν νεκρῶν τὴν ἀ. ἢ διὰ τὸ μὴ δύνασθαι τὸν θεὸν ἐγείρειν τοὺς νεκρούς, ἢ διὰ τὸ μὴ λυσιτελεῖν τοῖς ἀνισταμένοις...τούτων δὲ τὸ μὲν ἔστιν ἀσεβές, τὸ δὲ γελοῖον ‡Just.*qu.Gr.*10.3(M.6.1480A); disbelieved by some of S. Paul's Corinthian converts, Chrys.*hom.in 1Cor.*procem.(10.2D); and by some of Chrys.'s own flock, *ib.*1.6(32A); **2.** condemnation of its denial ὃς...λέγει μήτε ἀ. μήτε κρίσιν, οὗτος πρωτότοκός ἐστι τοῦ σατανᾶ Polyc.*ep.*7.1; βλασφημεῖν τολμῶσι τὸν θεὸν Ἀβραὰμ...οἳ καὶ λέγουσι μὴ εἶναι νεκρῶν ἀ. Just.*dial.*80.4(M.6. 665A); **3.** arguments in defence; **a.** from God's omnipotence εἰ, ὥσπερ ἀπίστοις ἀνθρώποις ἀδύνατον φαίνεται γενέσθαι τὴν ἀ., οὕτως ἀδύνατόν ἐστι τῷ θεῷ τὸ ποιεῖν τὴν ἀ. οὐδὲν ἄρα κατὰ τοῦτο διαφέρει θεὸς ἀνθρώπου. εἰ δὲ ἀπειράκις διαφέρει, ὥσπερ οὖν καὶ διαφέρει, πῶς οὐκ ἔστιν ἄτοπον τὸ ἀπιστεῖν θεῷ τὴν ποίησιν ὧν ἔχει τοῦ ποιεῖν τὴν δύναμιν; ‡Just.*qu.Gr.*10.35(M.6.1488B); which raised Lazarus, Gr.Nyss.*res.*3(M.46.668A); εἰ γὰρ τέκτονος ἔργον οὐ καταλαμβάνεις, πολλῷ μᾶλλον τοῦ ἀριστοτέχνου θεοῦ. μὴ ἀπιστεῖτε τοίνυν τῇ ἀ. Chrys.*hom.17.3 in 1Cor.*(10.148B); **b.** from man's nature and end δεικτέον ἀληθῆ τὸν περὶ τῆς ἀ. λόγον ἀπό τε τῆς αἰτίας αὐτῆς, καθ' ἣν καὶ δι' ἣν ὁ πρῶτος γέγονεν ἄνθρωπος οἵ τε μετ' ἐκείνου,... ἀπό τε τῆς κοινῆς πάντων ἀνθρώπων ὡς ἀνθρώπων φύσεως, ἔτι δὲ ἀπὸ τῆς τοῦ ποιήσαντος ἐπὶ τούτοις κρίσεως Athenag.*res.*11(p.60.24; M.6.996A); τῆς μὲν ψυχῆς οὔσης τε καὶ διαμενούσης ὁμαλῶς ἐν ᾗ γέγονεν φύσει...τοῦ δὲ σώματος κινουμένου κατὰ φύσιν πρὸς ἃ πέφυκεν καὶ τὰς ἀποκληρωθείσας αὐτῷ δεχομένου μεταβολάς, μετὰ δὲ τῶν ἄλλων τῶν κατὰ τὰς ἡλικίας ἢ κατ' εἴδος ἢ μέγεθος τὴν ἀ. εἴδος γάρ τι μεταβολῆς καὶ πάντων ὕστατον ἡ ἀ. *ib.*12(p.63.8; 1000A); εὔδηλον ὡς τῇ τῆς γενέσεως αἰτίᾳ καὶ τῇ γνώμῃ τοῦ ποιήσαντος δείκνυται σαφῶς ἡ ἀ. *ib.*13(p.63.28,30; 1000C); ἡ δὲ τῶν αὐτῶν ἀνθρώπων σύστασις ἐξ ἀνάγκης ἑπομένην δείκνυσιν τὴν τῶν νεκρωθέντων... σωμάτων ἀ. ... ἀ. γὰρ μὴ γινομένης, οὐκ ἂν ἡ τῶν ἀνθρώπων ὡς ἀνθρώπων διαμένοι φύσις *ib.*15(p.66.18,29; 1004C–1005A); **c.** from justice; judgement believed by many to be chief cause of resurrection τοῦτο...δείκνυται ψεῦδος ἐκ τοῦ πάντας μὲν ἀνίστασθαι...μὴ πάντας δὲ κρίνεσθαι...εἰ γὰρ μόνον τὸ κατὰ τὴν κρίσιν δίκαιον τῆς ἀ. ἦν αἴτιον, ἐχρῆν δήπου τοὺς μηδὲν ἡμαρτηκότας...μηδ' ἀνίστασθαι *ib.*14(p.65.5ff.; 1001C); but δεῖ...τὸ φθαρτὸν...ἐνδύσασθαι ἀφθαρσίαν,

ἵνα ζωοποιηθέντων ἐξ ἀ. τῶν νεκρωθέντων καὶ πάλιν ἑνωθέντων τῶν κεχωρισμένων...ἕκαστος κομίσηται δικαίως ἃ διὰ τοῦ σώματος ἔπραξεν εἴτε ἀγαθὰ εἴτε κακά *ib.*18(p.71.17; 1012B); εἰ γὰρ οὐ γίνεται τῶν νεκρῶν ἡ ἀ., πῶς οὐκ ἔσονται ἴσοι ἀλλήλοις οἵ τε δρῶντες τοὺς μαρτυρικοὺς ἀγῶνας καὶ οἱ ὑπομένοντες; ‡Just.*qu.Gr.*10.38(M.6.1488C); Chrys.*hom.66.3 in Jo.*(8.398A,B); εἰ γὰρ μὴ ἐβούλετο τὰς θύρας ἡμῖν ἐξ ἀρχῆς τῆς ἀ. ἀνοῖξαι, οὐκ ἂν ἀφῆκε Ἄβελ...φίλον αὐτῷ [sc. θεῷ] γεγενημένον παθεῖν id.*res.mort.*8(2.435C); **d.** from natural phenomena ἴδωμεν...τὴν κατὰ καιρὸν γινομένην ἀ. ἡμέρα καὶ νύξ ἀ. ἡμῖν δηλοῦσιν *1Clem.*24.3; ταῦτα δὲ πάντα [sc. growth of seeds in ground, etc.] ἐνεργεῖ ἡ τοῦ θεοῦ σοφία, εἰς τὸ ἐπιδεῖξαι διὰ τούτων, ὅτι δυνατός ἐστιν ὁ θεὸς ποιῆσαι τὴν καθολικὴν ἀ. ἀπάντων ἀνθρώπων. εἰ δὲ καὶ θαυμασιώτερον θέαμα θέλεις θεάσασθαι γινόμενον πρὸς ἀπόδειξιν ἀ. οὐ μόνον τῶν ἐπιγείων πραγμάτων, ἀλλὰ καὶ τῶν ἐν οὐρανῷ, κατανόησον τὴν ἀ. τῆς σελήνης τὴν κατὰ μῆνα γενομένην Thphl.Ant.*Autol.*1.13(M.6.1044A); τί φατε...ὁρῶντες πολλὰ τῶν ἀερίων τὰς μορφὰς μεταβάλλοντα; ὁποῖα καὶ περὶ τοῦ Ἰνδικοῦ σκώληκος ἱστορεῖται τοῦ κερασφόρου· ὃς εἰς κάμπην τὰ πρῶτα μεταβαλών, εἶτα προϊὼν βομβυλιὸς γίνεται, καὶ οὐδὲ ἐπὶ ταύτης ἵσταται τῆς μορφῆς...μεμνημένοι τῆς κατὰ τὸ ζῶον τοῦτο μεταβολῆς, ἐναργῆ λαμβάνετε τῆς ἀ. ἔννοιαν Bas.*hex.*8.8(1.78E–79A; M.29.184D–185A); from myth of phoenix, Cyr.H.*catech.*18.8; from phases of moon, *ib.*18.10; from plants, Chrys.*hom.66.3 in Jo.*(8.397D); **e.** other arguments εἰ δὲ ἀ. νεκρῶν οὐκ ἔστι κατά σε, διὰ τί τοὺς τυμβωρύχους καταδικάζεις; εἰ γὰρ ἀπόλωλε τὸ σῶμα, καὶ ἀνέλπιστος ἡ ἀ., διὰ τί τιμωρίαν ὑπομένει ὁ τυμβωρύχος; Cyr.H.*catech.*18.5; εἰ δυνατόν [l. ἀδύνατόν] τινι ὑπὲρ τοῦ μὴ ὄντος πράγματος τῆς ἑαυτοῦ ζωῆς προτιμῆσαι τὸν θάνατον, πῶς, εἰ καθ' ὑμᾶς οὐκ ὄντος ἀληθοῦς τοῦ περὶ τῆς ἀ. δόγματος, ὑπὲρ τούτου τῆς ἑαυτῶν ζωῆς προετίμησαν οἱ μάρτυρες τὸν ἑαυτῶν θάνατον; ποίας δὲ ἄλλης θρησκείας πολυτρόποις βασάνοις τε καὶ θανάτοις ἐβεβαιώθη τὸ δόγμα τῆς ἑαυτῶν θρησκείας, λέγω δὴ τῶν Χριστιανῶν περὶ τῆς τῶν νεκρῶν ἀ.; ‡Just.*qu.Gr.*10.12(M.6.1481B); οὐδεὶς...λέγοι ἂν ὡς ἀπολογούμενος περὶ τῶν κατὰ τὴν ἀ. τὸ πῶς αἰσθήσεσι μὴ καταλαμβανόμενοι γνώσονται τὸν θεόν; Or.*Cels.*7.37(p.187.29; M.11.1473A); **4.** nature of resurrection body; **a.** Methodius' attack on Origen; Origen's view τὴν ἀ. τῶν νεκρῶν ἀποδεχόμενοι μεταβολάς φαμεν γίνεσθαι ποιοτήτων τῶν ἐν σώμασιν Or.*Cels.*4.57(p.330.2; M.11.1124A); *reductio ad absurdum* of opinion of those who hold that resurrection body is materially same as present body ἐὰν δ' οὖν πυνθανώμεθα αὐτῶν, τίνος ἡ ἀ. γίνεται, ἀποκρίνονται ὅτι τῶν σωμάτων ὧν νῦν περικείμεθα. εἶτα προσεπερωτησάντων ἡμῶν· πότερον τῆς οὐσίας αὐτῶν ὅλης, ἢ οὐχί; κτλ. Meth.*res.*1.20(pp.242–6ff.; M.41.1088C); τοῦτο τὸ εἶδος...τὸ σωματικόν, ὃ ἐν τῇ ἀ. περιτίθεται πάλιν τῇ ψυχῇ, ἐπὶ τὸ κρεῖττον μεταβάλλον, οὐ πάντως δὲ τόδε τὸ ἐντεταγμένον τὸ κατὰ τὴν πρώτην ὑποκείμενον *ib.*1.22(p.245.10; M.41.1092A); *ib.*1.23(p.247.1; M.41.1092C); Or.'s opinions summarized ἀκριβῶς νοεῖν, εἴσεται τὴν ἀ. ἐπὶ τούτου μὴ χρῆναι παραλαμβάνεσθαι τοῦ σώματος, ἅτε ἀδυνατοῦντος ἀτρέπτου δι' αἰῶνος μένειν, ἀλλὰ ἐπὶ τοῦ πνευματικοῦ, ἐν ᾧ ὁ αὐτὸς ὁ καὶ νῦν ἐν τούτῳ διασωζόμενος χαρακτὴρ τηρηθήσεται, ἵν' ἕκαστος ἡμῶν καὶ κατὰ τὴν μορφὴν ὁ αὐτὸς ᾖ, καθάπερ ἐλέχθη καὶ Ὠριγένει, οὕτω γὰρ ἐκεῖνος ἔσεσθαι τίθεται τὴν ἀ. *ib.*1.25(p.251.3ff.; M.41.1096C); *ib.*3.3(p.391.5; M.18.317B); Meth.'s attack οὐ...ἀνέξομαι φληναφώντων τινῶν...τὴν γραφήν, ἵνα αὐτοῖς δὴ σαρκὸς μὴ εἶναι προχωρήσῃ ἡ ἀ., ὀστᾶ νοητὰ καὶ σάρκας ὑποτιθεμένων Meth.*res.*1.39(p.282.13; M.18.268B); exeg. Mt. 22:23 Χριστός, εἰ μὴ ἦν ἀ. σαρκός, ἀλλὰ μόνον ἐσώζετο ἡ ψυχή, συνέθετο ἂν αὐτοῖς [sc. Sadducees] ὡς...ὀρθῶς φρονοῦσι. νυνὶ δὲ ἀποκρούεται λέγων· ἐν τῇ ἀ. οὔτε γαμοῦσιν οὔτε γαμίσκονται...οὐ τῷ σάρκα μὴ ἔχειν, ἀλλὰ τῷ μὴ γαμεῖν *ib.*1.51(p.305.5ff.; 281A); *ib.*(p.306.9f.; 281C); σῶμα λέγεται πνευματικόν, οὐ τὸ λεπτομερὲς καὶ ἀερῶδες, καθὼς λέγουσί τινες ὅτι τοιοῦτον αἱ ψυχαὶ ἐν τῇ ἀ. λήψονται σῶμα, ὧν ἐστιν εἷς καὶ Ὠριγένης, ἀλλὰ πνευματικὸν λέγεται τὸ χωροῦν πᾶσαν τοῦ ἁγίου πνεύματος τὴν ἐνέργειαν καὶ κοινωνίαν *ib.*3.16(p.413.7); ἀ. can be predicated only of body, not of immortal soul ἀ. γὰρ οὐκ ἐπὶ τοῦ μὴ πεπτωκότος ἀλλ' ἐπὶ τοῦ πεπτωκότος λέγεται καὶ ἀνισταμένου *ib.*1.51(p.306.14; M.18.281C); *ib.*1.52(p.308.1,4; M.41.1128A); Chrys.*res.mort.*7(2.434C); **b.** splendour of resurrection body Μωϋσῆς...ὑπέδειξε τὸν τύπον διὰ τῆς τοῦ προσώπου αὐτοῦ ἐπικειμένης τοῦ πνεύματος δόξης...πῶς ἐν τῇ ἀ. τῶν δικαίων δοξασθήσεται τὰ σώματα τῶν ἁγίων Mac.Aeg.*hom.*5.10(M.34.516A); endowed with spiritual wings, *ib.*5.11(516C); ἐν τῇ ἀ. ὅλα τὰ μέλη ἀνίστανται ...καὶ ὅλα γίγνονται φωτοειδῆ...ἕκαστος ἐν τῇ ἰδίᾳ φύσει καὶ ὑποστάσει μένει πεπληρωμένος τοῦ πνεύματος *ib.*15.10(581C); acc. practice of virtue in earthly life, Chrys.*hom.86.6 in Jo.*(8.512D); Proc.G.*Is.*16:15ff.(M.87.2713A); **c.** its incorruptibility, Ath.*inc.*27.2(M.25.144A); ἐγὼ γὰρ ἐν τῇ ἀ. τῶν νεκρῶν ἀπολήψομαι παρὰ τοῦ σωτῆρος ἄφθαρτον αὐτό [sc. σῶμα] id.*v.Anton.*91(M.26.972B); ἐν τῇ ἀ. ἀπολαβεῖν τὴν σάρκα, μήτε ὑπόδικον θανάτῳ, μήτε ὑπεύθυνον ἁμαρτίᾳ Bas.*ep.*261.3(3.403B; M.32.972B); ἐν τῷ τέλει τοῦ παρόντος αἰῶνος ἐκ τῆς σποδιᾶς γενήσεται ἡ ἀ. τοῦ ἐφθαρμένου σώματος, καὶ ἐξαναστήσεται ὁ ἄνθρωπος ζωοποιηθείς τε καὶ ψυχωθείς, τὴν μὲν προλαβοῦσαν φθορὰν ἀποτιναξάμενος, καὶ ἐπενδυσάμενος δὲ τὴν θείαν ἀφθαρσίαν Nil.*epp.*1.111(M.79.132A); δωρουμένου [sc. κυρίου] πᾶσιν ἐν τῇ ἀ. τὸ τῆς προαιρέσεως καὶ τὸ τῆς φύσεως ἄφθαρτον· ὡς κακίας καὶ θανάτου μηκέτι ἐνεργουμένων· κἂν ἕκαστος ἀναλόγως ἀπολαμβάνῃ τοῖς πεπραγμένοις ἐν τῇ αὐτοῦ βιοτῇ ‡Proc.G.*Pr.*16:11(M.87.1384C).

E. discussion whether resurrection is universal; **1.** resurrection of wicked denied, *Did.*16.6; οἱ ἁπλούστεροι τῶν πεπιστευκότων...νομίζουσι τοὺς ἀσεβεῖς τῆς ἀ. μὴ τεύξεσθαι Meth.*res.*1.20(p.242.3; M.41.1088B); πολλοί εἰσι καὶ νῦν λέγοντες, ὅτι ἐνίων μέν ἐστιν ἀ., ἐνίων δὲ οὔ Chrys.*hom.19.1 in Heb.*(12.181C); implied, when resurrection of OT saints is discussed or admitted οἱ ζήσαντες κατὰ τὸν νόμον τὸν διαταχθέντα διὰ Μωυσέως ζήσονται ὁμοίως τῷ Ἰακὼβ καὶ τῷ Ἐνὼχ...ἐν τῇ τῶν νεκρῶν ἀ. ἢ οὔ;...ἐπεὶ οἳ τὰ...καλὰ ἐποίουν εὐάρεστοί εἰσι τῷ θεῷ, καὶ διὰ τοῦ Χριστοῦ τούτου ἐν τῇ ἀ. ... σωθήσονται Just.*dial.*45.2,4(M.6.572B,C); **2.** universal resurrection affirmed τῆς κοινῆς ἀ., ἧς καὶ ἀσεβεῖς μετέχουσιν Chrys.*hom.45.2 in Jo.*(8.264E); ἀ. ... πάντες ἀπολαύσονται...ἐν δόξῃ δὲ οὐ πάντες ἔσονται id.*hom.7.1 in 1Thess.*(11.473D); id.*hom.5.3 in Rom.*(9.464B); id.*exp.in Ps.*48:11(5.212B); **3.** double resurrection, first of righteous only (millennium), then of all men Ἰωάννης...ἐν ἀποκαλύψει γενομένῃ αὐτῷ χίλια ἔτη ποιήσειν ἐν Ἱερουσαλὴμ τοὺς τῷ ἡμετέρῳ Χριστῷ πιστεύσαντας προεφήτευσε, καὶ μετὰ ταῦτα τὴν καθολικὴν καὶ... αἰωνίαν ὁμοθυμαδὸν ἅμα πάντων ἀ. γενήσεσθαι Just.*dial.*81.4(M.6.669A); *ib.*113.4(736D); Or.*hom.2.3 in Jer.*(pp.19.21–20.1; M.13.281A, B); Meth.*symp.*9.3(p.117.19; M.18.184B).

F. doctrine in creeds and liturgy, *Symb.App.*(p.30); πιστεύομεν ...εἰς ἀ. νεκρῶν ‡Ath.*interpr.*(p.66.26; M.26.1232B); ἀναθεματίζομεν πάντας τοὺς μὴ ὁμολογοῦντας ἀ. σαρκός *ib.*(p.66.33; 1232C); πιστεύομεν καὶ περὶ σαρκὸς ἀναστάσεως *Symb.Ant.*(341)1(p.249.8; M.26.721B); προσδοκῶμεν ἀ. νεκρῶν *Symb.*ap.Epiph.*anc.*118(p.147.15; M.43.232D); *Symb.*ap.Epiph.*anc.*119(p.149.9; 236B); ὁμολογοῦμεν... ἀ. νεκρῶν *Symb.Nic.-CP*(p.80.15; H.2.288B); ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ τῆς ἀ. *Symb.Sirm.*3(p.236.5; M.26.693B); *Symb.CP*(360)(p.259.9; M.26.748B); πιστεύω καὶ εἰς νεκρῶν ἀ. ἁπάντων *Lit.Jac.*(*NBP* 10[2] p.38).

G. other aspects; **1.** as recompense of virtue, *Barn.*21.1; οἱ τούτοις ὑπακούοντες τοῖς προστάγμασιν...τῆς ἀ. καρπὸν τρυγήσουσιν *2Clem.*19.3; ποθοῦμεν πάντα ὅσα θεὸς τοῖς δικαίοις ἐπαγγέλλεται. οὕτως...τὴν τῶν δικαίων ἀ. ποθοῦμεν Or.*Cels.*8.50(p.265.10; M.11.1589C); οὐδεὶς τῶν ὀρθῶς βεβιωκότων τῇ ἀ. διαπιστεῖ...τίνες οὖν εἰσιν οἱ τῇ ἀ. διαπιστοῦντες; οἱ βεβήλους ἔχοντες τὰς ὁδούς Chrys.*hom.45.4 in Jo.*(8.268C); τὸ τῆς ἀ. δόγμα λυμαίνεται ἡ τοῦ βίου φαυλότης id.*hom.47.4 in Ac.*(9.356D); **2.** resurrection and baptism γνώρισμα παλιγγενεσίας, τρόπαιον ἀναστάσεως Clem.*q.d.s.*42(p.190.19; M.9.649D); τῷ μυστικῷ ὕδατι διὰ τοῦ βαπτίσματος ἐνθαπτόμενοι...ἵνα τῇ μιμήσει τοῦ θανάτου ἐπακολουθήσῃ καὶ ἡ τῆς ἀ. μίμησις Gr.Nyss.*Apoll.*55(M.45.1260C); τὸ δὲ βάπτισμα δύναμίς ἐστι πρὸς τὴν ἀ. Bas.*hom.*13.1(2.114A; M.31.424D); **3.** resurrection and chastity παρέλαβεν ὁ λόγος τὴν ἁγνείαν, διδάσκων ὅσον διαπρεπὴς...ἔσται τῇ ἀ. καὶ ὅτι χωρὶς αὐτῆς οὐδεὶς τεύξεται τῶν ἐπαγγελμάτων Meth.*symp.*9.4(p.119.15; M.18.188A); εἰκών τις εἶναι τῆς ἐν τῷ μέλλοντι αἰῶνι μακαριότητος ὁ ἐν παρθενίᾳ βίος...εἶτα ὅ τι ἐξαίρετον τῶν ἐν τῇ ἀ. καλῶν, καὶ ἐν τῷ παρόντι καρποῦται βίῳ. εἰ γὰρ ἰσάγγελος ἡ ζωὴ ἡ μετὰ τὴν ἀ. παρὰ τοῦ κυρίου τοῖς δικαίοις ἐπήγγελται· τῆς δὲ ἀγγελικῆς φύσεως ἴδιον τὸ ἀπηλλάχθαι τοῦ γάμου ἐστίν... Gr.Nyss.*virg.*13(p.309.9; M.46.381A); **4.** relation between immortality of soul and resurrection of body τῶν δὲ ἀνθρώπων κατὰ μὲν τὴν ψυχὴν ἀπὸ γενέσεως ἐχόντων τὴν ἀμετάβλητον διαμονήν, κατὰ δὲ τὸ σῶμα προσλαμβανόντων ἐκ μεταβολῆς τὴν ἀφθαρσίαν· ὅπερ ὁ τῆς ἀ. βούλεται λόγος Athenag.*res.*16(p.67.22; M.6.1005C); ἀ. τῶν νεκρῶν ψυχῶν ἀπὸ τοῦ νῦν γίνεται. ἀ. δὲ τῶν σωμάτων ἐν ἐκείνῃ τῇ ἡμέρᾳ Mac.Aeg.*hom.*36.1(M.34.749A); **5.** resurrection from Hades διαρρήξῃ τὰ δεσμὰ ψυχῶν τῶν ἐν ᾅδῃ κατεχομένων, τὸν τῆς ἀ. διαπηξάμενος ὅρον ‡Ath.*Apoll.*1.14(M.26.1117B); ἀνάγκη γάρ τινα ἐξ ᾅδου τὴν ἀρχὴν τῆς ἀ. εἰληφέναι, ἵνα τελεία ᾖ ἡ ἀ. *ib.*1.16(1160D); ᾅδης...ὁ ἀφανὴς τόπος ἐν ᾧ μετὰ διάξυξιν τὴν ἀπὸ τῶν σωμάτων διάγουσιν αἱ ψυχαὶ πρὸ τῆς ἀ. ‡Proc.G.*Pr.*15:11(M.87.1373B); **6.** compared with feast of Tabernacles ἐξεταζομένη τῇ πρώτῃ τῆς ἀ. ἡμέρᾳ εἰσφέρω τὰ προσταγμένα, εἰ κεκόσμηται τοῖς τῆς ἀρετῆς καρποῖς, εἰ τοῖς κλάδοις τῆς ἀγνείας κατασκιάζομαι. νόει γάρ μοι τὴν ἀ. εἶναι τὴν σκηνοπηγίαν...καὶ τὰ εἰς τὴν σύνθεσιν παραλαμβανόμενα τῆς σκηνῆς τὰς πράξεις εἶναι τῆς δικαιοσύνης Meth.

*symp.*9.3(p.116.25; M.18.181B); *ἐξελθοῦσα κἀγὼ τῆς Αἰγύπτου τούτου τοῦ βίου, ἔρχομαι πρῶτον εἰς τὴν ἀ., τὴν ἀληθινὴν σκηνοπηγίαν, κἀκεῖ τοῖς καρποῖς τῆς ἀρετῆς πήξασα τὴν σκηνήν μου...τῇ πρώτῃ τῆς ἑορτῆς ἀ. ἡμέρᾳ, τῇ κρίσει, συνεορτάζω τῷ Χριστῷ τὴν χιλιονταετηρίδα...εἶτα...ἔρχομαι...εἰς τὴν γῆν τῆς ἐπαγγελίας, τοὺς οὐρανούς ib.*9.5(p.120.11ff.; 189A); id.*res.*2.21(p.375.5; M.18.285C); *ib.*(p.376.4; 316A); **7.** effects of resurrection and belief in it on men and other creatures *χάρισμα τοῦ θεοῦ ὑπερπαίει τὴν χρείαν, ὥσπερ καὶ τὸ εἶναι ἐν δόξῃ ἡλίου ἢ σελήνης...ἐν τῇ ἱερᾷ τῶν νεκρῶν ἀ.* Or.*Jo.*32.9(6; p.441.5; M.14.765B); *ἡ κτίσις...χαίρουσα ἐπὶ τοῖς τέκνοις τοῦ θεοῦ τῇ ἀ.* Meth.*res.*1.47(p.299.1; M.18.273C); Bas.*hom. in Ps.*44:1(1.159C; M.29.389A); *ῥίζα πάσης τῆς ἀγαθοεργίας, ἡ τῆς ἀ. ἐλπίς...πᾶσα ψυχὴ πιστεύουσα μὲν εἰς ἀ., φείδεται ἑαυτῆς εἰκότως· ἀπιστοῦσα δὲ τῇ ἀ., γίνεται ἔκδοτος εἰς ἀπώλειαν* Cyr.H.*catech.*18.1; **8.** description of gen. resurrection *ὅτε δὲ γίνεται αὕτη ἡ ἀ. τοῦ ἀληθινοῦ...Χριστοῦ σώματος, τότε τὰ μέλη τοῦ Χριστοῦ τὰ νῦν, ὡς πρὸς τὸ μέλλον, ξηρὰ ὁστᾶ συναχθήσεται, ὀστοῦν πρὸς ὀστοῦν καὶ ἁρμονία πρὸς ἁρμονίαν* Or.*Jo.*10.36(p.210.31; M.14.375A); in a certain place, *Apoc.Paul.*14 (p.44); instantaneous, Gr.Nyss.*res.*3(M.46.660C); *μετὰ τὴν τῶν σωμάτων ἀ. τῆς βασιλείας ἡμῖν τὴν ἀπόλαυσιν δωρεῖσθαι ὑπέσχετο, καὶ τὴν μετὰ τῶν ἁγίων διαγωγήν, καὶ τὴν ἐν διηνεκεῖ αἰῶνι ἀπόλαυσιν* Chrys.*hom.36.5 in Gen.*(4.371A); **9.** various aspects; **a.** question whether men will know one another *τοῖς μὲν δικαίοις γνωρισμὸς γίνεται, τοῖς δὲ ἁμαρτωλοῖς οὐδαμῶς, οὔτε ἐν τῇ ἀ. δύνανται γνωρίσαι ἀλλήλους 1 Apoc.Jo.*12(p.79); **b.** ref. 1Cor.15:49 *ἡ δὲ εἰκὼν τοῦ ἐπουρανίου ἡ ἐκ νεκρῶν ἀ.* Meth.*res.*2.18(p.369.11; M.18.284B); **c.** resurrection promises in Liturgy of Dead *λειτουργοὶ τὰς ἐν τοῖς θείοις λογίοις ἐμφερομένας...ἐπαγγελίας περὶ τῆς ἱερᾶς ἡμῶν ἀ. ἀναγνόντες, ...ἄδουσι τὰς...τῶν ψαλμικῶν λογίων ᾠδάς* Dion.Ar.*e.h.*7.2(M.3.556C); *τῶν ἱερῶν ἡ θεσμοθεσία...τὸν ὅλον ἄνθρωπον ἁγιάζουσα...τὴν ἀ. ἔσεσθαι διαγγέλλουσα ib.*7.3.9(565C); **d.** myst. interprn. of three days *ἐν τρισὶν ἡ ἀ. ἐνεργεῖται ἡμέραις...τὴν τρίτην φησὶ τὴν πνευματικὴν ἡμέραν, ἐν ᾗ οἴονται δηλοῦσθαι τὴν τῆς ἐκκλησίας ἀ. ... πρώτην λέγειν εἶναι τὴν χοϊκὴν ἡμέραν καὶ τὴν δευτέραν τὴν ψυχικήν, οὐ γεγενημένης τῆς ἐκκλησίας τῆς ἀ. ἐν αὐταῖς* Heracleon ap.Or.*Jo.*10.37(21; p.212.27–32; M.14.376C).

H. heret.; **1.** resurrection only of initiated (Gnost.) *ἀναγεννηθέντες πνευματικοί, οὐ σαρκικοί. αὕτη, φησίν, ἐστὶν ἡ ἀ. ἡ διὰ τῆς πύλης γινομένη τῶν οὐρανῶν, δι' ἧς οἱ μὴ εἰσελθόντες, φησί, πάντες μένουσι νεκροί* Hipp.*haer.*5.8(p.93.18; M.16.3146C); **2.** resurrection in earthly flesh *λέγει* [sc. Heraclitus]*...σαρκὸς ἀ. ταύτης* ⟨*τῆς*⟩ *φανερᾶς ἐν ᾗ γεγενήμεθα, καὶ τὸν θεὸν οἶδε ταύτης τῆς ἀ. αἴτιον* Hipp.*haer.* 9.10(p.243.19f.; M.16.3375B); *ἀ. δὲ νεκρῶν ὁρίζονται* [sc. Severians] *εἶναι τὴν τοῦ σώματος τούτου πρὸς τὴν λογικὴν ψυχὴν δευτέραν ἕνωσιν ἀδιάλυτον* Tim.CP *haer.*(M.86.64A); to ordinary carnal life, taught by certain monks *φασὶ γὰρ...φλέγματι πάλιν καὶ αἵματι...καὶ τροφῇ αἰσθητῇ πρὸς τὸ ζῆν συνέχεσθαι μέλλειν τὰ σώματα κατὰ τὴν ἀ., οὐδενὸς τὸ σύνολον ξένου παρὰ τὴν παροῦσαν ζωὴν διὰ τῆς ἀ. ἀναφανησομένου, πλὴν τὸ μὴ δύνασθαι πάλιν ἀποθανεῖν* Max.*ep.*7(M.91.433B,C); **3.** of heretics repudiating marriage *εἰ γοῦν τὴν ἀ. ἀπειλήφασιν, ὡς αὐτοὶ λέγουσι, καὶ διὰ τοῦτο ἀθετοῦσι τὸν γάμον, μηδὲ ἐσθιέτωσαν μηδὲ πινέτωσαν. καταργεῖσθαι γὰρ ἔφη τὴν κοιλίαν...ὁ ἀπόστολος ἐν τῇ ἀ.* Clem.*str.*3.6(p.218.8ff.; M.8.1152A); **4.** of Origenists *εὑρηκότες γὰρ οἱ Φιλοπονιακοὶ τὸν Ὠριγένην λέγοντα ὅτι ἡ αὐτὴ ὕλη ἐν τῷ μέλλοντι αἰῶνι ἀναμορφοῦται, καὶ διὰ τοῦτο τῶν αὐτῶν σωμάτων γίνεται ἡ ἀ., ἐκάλεσαν τοὺς Κονωνίτας Ὠριγενιαστάς* Tim.CP *haer.* (M.86.64C); **5.** denied altogether, Just.*dial.*80.4(M.6.665A) cit. s. *ἀναλαμβάνω.*

IV. met., of spiritual resurrection of man; possible already on earth *ἀ. ἔδειξε τοῖς διορᾶν δυναμένοις τὴν ἔτι ἐν σαρκὶ* Clem.*str.*4.16 (p.292.20; M.8.1308A); *ὁ κύριος εἰκόνα τῆς πνευματικῆς ἀ. ποιήσας τοὺς νεκροὺς οὓς ἤγειρεν, οὐκ ἀφθάρτους τὴν σάρκα, ἀλλ' ὡς αὖθις ἀποθανουμένους ἤγειρεν* id.*exc.Thdot.*7(p.108.18; M.9.657C); *ἡμᾶς... ἤδη εἶναι ἐν τοῖς παλιγγενεσίας καὶ ἀ. ἀγαθοῖς* Or.*or.*25.3(p.359.15; M.11.500A); id.*schol.in Cant.*3:1ff.(M.17.268D); through repentance, baptism, and mortification, Ign.*Smyrn.*5.3; Gr.Nyss.*hom.12 in Cant.*(M.44.1016D); *ib.*(1017A); in myst. life *ἀ. λέγῳν* [Jo.6:40] *τὴν ἀπὸ τῆς ἐνύλου γνώσεως ἐπὶ τὴν ἄυλον θεωρίαν μετάβασιν* Evagr. Pont.*ep.*7(3.85E; M.32.257B).

V. *rising again* (after a fall); *restoration,* Clem.*prot.*8(p.61.19; M.8.192A); Proc.G.*Gen.*9:4(M.87.296C); Hier.*vir.ill.*(tr.Sophr.Pal.) 63(p.41.1; M.*PL.*23.676A).

VI. *uprising, insurrection,* Cyr.*thes.*34(5¹.354B).

VII. = *elevation,* prob. f.l. for *ἀνάτασις: τῆς δὲ τῶν πτερῶν ἐξαπλῆς ἱεροπλαστίας τὴν ἐπὶ τὸ θεῖον...ἀ.* Dion.Ar.*c.h.*13.4(M.3. 304D); id.*d.n.*4.12(M.3.709C).

ἀναστατέω, *stir up, unsettle Σίμων...ἀ. τοὺς ὄχλους Hom.Clem.*2. 25; Cyr.*Am.*50(3.304C, vv.ll. *ἀναστήσας, ἀνασπάσας*).

ἀναστάτωσις, ἡ, *destruction, overthrow, Apoc.Dan.*C(p.123).

ἀναταυρ-όω, 1. *crucify*; of Christ *τὸ θνητὸν...προσηλοῦτο ~ούμενον, ὡς ἂν τοῖς πᾶσιν ἡ τοῦ θνητοῦ γνωρισθείη φύσις* Eus. *theoph.fr.*3(p.13*.22; M.24.617C); met., of Christ destroying death *τὴν δύσιν εἰς ἀνατολὴν μετήγαγεν καὶ τὸν θάνατον εἰς ζωὴν ἀ.* Clem. *prot.*11(p.80.26; M.8.232C); *ἠττήθη τε τελέως ὁ θάνατος εἰς ἀφθαρσίας ἐκτύπωμα ~ωθείσης τῆς σαρκός* Meth.*Porph.*3(p.507.6; M.18.401C); **2.** *crucify* Christ *again, afresh*; ref. Heb.6:6, Or.*Jo.*20.12(p.341.33; M.14.600A); by a second baptism, Ephr.3.202C; Chrys.*hom.9.3 in Heb.*(12.96C); Nil.*epp.*1.204(M.79.160A); Jo.D.*f.o.*4.9(M.94.1120A) citt. s. *ἀναβαπτίζω.*

ἀνασταχυόομαι, *rise up, Orac.Sib.*3.382; *ib.*11.200; *ib.*12.194.

ἀναστέλλ-ω, 1. *send up, raise*; *gird up,* fig. *τὸν...διακεχυμένον ταῖς ἐπιθυμίαις καὶ χαμαὶ τοὺς λογισμοὺς ἔχοντα συρομένους ἀ. διὰ τῆς ζώνης* Chrys.*hom.23.1 in Eph.*(11.175A); med., *expose ἀ. τὰ αἰδοῖα* Clem.*prot.*2(p.16.7; M.8.84A); **2.** *draw back ὁ πατήρ, ὅταν βούληται, ...δύναμιν αὐτοῦ προπηδᾷν ποιεῖ, καὶ ὅταν βούληται, πάλιν ἀ. εἰς ἑαυτόν* Just.*dial.*128.3(M.6.776B); *ἀποθανόντος γὰρ τοῦ σώματος...ἀ. τὴν ἐπελθοῦσαν ἀκτῖνα τῆς δυνάμεως ὁ σωτὴρ ἀπώλεσε μὲν τὸν θάνατον, τὸ δὲ θνητὸν σῶμα ἀποβαλὼν πάθη ἀνέστησεν* Clem.*exc.Thdot.*61 (p.127.21; M.9.688D); **3.** *keep back, restrain,* id.*str.*4.18(p.300.24; M. 8.1329A); id.*paed.*2.8(p.197.26; M.8.473B); Chrys.*hom.9.4 in Rom.* (9.516D); *φραγμὸς ὁ νόμος...τὰς πρὸς τοὺς πονηροὺς ~ων συνουσίας* id.*exp.in Ps.*138:20(5.417B); id.*hom.12.4 in Mt.*(7.166B); **4.** *remove, make away with,* ref. Nah.1:5 *ἡ γῆ ἀνασταλήσεται, τουτέστι, χωρήσει πρὸς τὸ μὴ ὄν* Cyr.*Nah.*6(3.482B); *ἀ. τὸν χρυσάργυρον καὶ τὰ κυνήγια* Thphn.*chron.*p.123(M.108.344B).

***ἀναστεναγμός, ὁ,** *groaning, lamentation,* Jo.Mal.*chron.*3 p.63(M. 97.141B).

ἀνάστεμα, τό, v. *ἀνάστημα.*

ἀναστέφ-ω, *crown, wreathe,* Clem.*paed.*2.8(p.202.26; M.8.485B); *ἐπειδὴ ἐπαύσατο τῆς νομοθεσίας...ὁ κύριος μυστικῶς αὖθις ~εται ἀκάνθῃ...ὅπως ὁ διὰ βάτου τὸ πρῶτον ὀφθείς, ὁ λόγος, διὰ τῆς ἀκάνθης ὕστερον ἀναληφθεὶς μιᾶς ἔργον τὰ πάντα δείξῃ δυνάμεως ib.*(p.203.19; 488A).

***ἀναστηλιτεύω,** *proclaim* by public notice, Eus.*h.e.*9.7.15(M.20. 813D); *ib.*9.11.2(837B).

ἀνάστημα (-εμα), τό, 1. *height, majesty*; **2.** *erection, structure*; hence *work of creation εἶπεν ὁ παντοκράτωρ....κοινὸν ἀνάστεμα δῶμεν Orac.Sib.*8.268; *ἢ γὰρ ἴδῃ* [sc. *Ἀβραάμ*] *πάντας τοὺς ἐν ἁμαρτίᾳ διάγοντας, ἀπολέσει πᾶν τὸ ἀ. T.Abr.*A 10(p.88.19); *κύριος...ἐπήγαγεν ...τὸν κατακλυσμόν, ἵνα ἐξαλείψῃ πᾶν τὸ ἀ. A.Andr.et Mt.*20(p.92.8); **3.** *restoration εἰ μὴ τὸ τοῦ Ἀδὰμ σύμπτωμα εἰς ἀσύγκριτον ἀ. Χριστὸς ἀνεστήσατο* ‡Ath.*Apoll.*1.7(M.26.1104C).

ἀναστηρίζω, *set up firmly,* †Apoll.*met.Ps.*67:10(M.33.1404D).

ἀναστοιχει-όω, 1. *resolve into original elements ἐστι ζητεῖν* ⟨*εἴ τι*⟩ *ἔστι μεταξὺ τοῦ 'ὁ λόγος σὰρξ ἐγένετο' καὶ 'θεὸς ἦν ὁ λόγος' ἐν τοῖς ἀνθρωπίνοις ἰδεῖν, οἷον ~ουμένου τοῦ λόγου ἀπὸ τοῦ γεγονέναι αὐτὸν σάρκα καὶ κατὰ βραχὺ λεπτυνομένου ἕως γένηται ὅπερ ἦν ἐν ἀρχῇ* Or.*Jo.*1.37(42; p.48.32; M.14.97D); of man at death *παρεληλυθότα τὴν ἐντολὴν...εἰς θάνατον ~ωθέντα* Meth.*symp.*3.6(p.32.19; M.18.69A); of world at Flood, Chrys.*Laz.*6.7(1.782D); **2.** recombine elements in original form, hence *reform, restore*; **a.** lit. *οὔτε γὰρ εἰς...τοιαύτην ἔτι κατάστασιν, οἵα καὶ πρὸ τῆς διακοσμήσεως ἦν, διαλυθὲν ~ωθήσεται τὸ πᾶν οὔτ' αὖ εἰς ἀπώλειαν παντελῆ καὶ φθοράν* Meth.*res.*1.47(p.300. 3; M.41.1120C); id.*symp.*3.2(p.29.10; M.18.64B); **b.** spiritually; by God, Or.*princ.*3.1.13(p.218.9; M.11.273A); by Christ *δεύτερος Ἀδὰμ ~ὢν τὸ γένος...εἰς καινότητα ζωῆς* Cyr.*ador.*17(1.600A); in resurrection *ὁ τοῦ ἡμετέρου σκεύους πλάστης...διὰ τῆς ἀναστάσεως ἀναπλάσας, πρὸς τὸ ἐξ ἀρχῆς κάλλος ~ώσει τὸ σκεῦος* Gr.Nyss.*or.catech.*8 (p.45.11; M.45.36B); in eucharist *δεχόμεθα ἡμεῖς* [sc. *Χριστόν*] *ἐν ἑαυτοῖς διὰ τῆς ἁγίας αὐτοῦ σαρκός τε καὶ αἵματος, ἵνα πρὸς καινότητα ζωῆς ~ούμενοι δι' αὐτοῦ καὶ ἐν αὐτῷ, τὸν παλαιὸν ἄνθρωπον ἀποσκευαζώμεθα* Cyr.*ador.*12(1.419D); by H. Ghost, id.*Is.*5.2(2.770D); in baptism *εἰ...τὸ ἅγιον πνεῦμα διὰ τοῦ βαπτίσματος ἀ. ἡμᾶς εἰς εἰκόνα τὴν πρώτην* Didym.*Trin.*3.2(M.39.801D); of Christians *ταῖς εἰς τὴν ἀμείνω ῥοπαῖς ~οῦντες τρόπον τινὰ τὸν νοῦν* Or.*adnot.in Dt.*23:14 (M.17.32D); **3.** *transform Χάλεβ...ἑρμηνεύεται ὡς καρδία...ὁ πάντα προσέχων τοῖς νοήμασιν...καὶ ὅλος ~ωθεὶς εἰς ἡγεμονικόν* Or.*hom. 18.2 in Jos.*(p.407.21; M.87.1028B); *ἀνεστοιχειοῦτο* [sc. Helena] *γοῦν αὐτῇ ψυχῇ ἐπὶ τὴν ἄφθαρτον καὶ ἀγγελικὴν οὐσίαν* Eus.*v.C.*3.46(p.97. 9; M.20.1105D); *τὸ αἰσθητὸν ὕδωρ* [sc. of baptism] *πρὸς θείαν ~οῦται δύναμιν, καὶ ἁγιάζει τοὺς ἐν οἷς ἂν γένηται* Ammon.*Jo.*3:5(M.85. 1408D); cf.Cyr.*Jo.*2.1(4.147D).

ἀναστοιχείωσις, ἡ, 1. *dissolution τοῦ οὐρανοῦ ἅμα τῇ γῇ πάλιν ἀ. ἔσται* Didym.*Ps.*101:28(M.39.1520A); **2.** *restoration,* of world *τελεσθείσης τῆς τῶν ἀνθρώπων γενέσεως, τῷ τέλει ταύτης συγκαταλῆξαι τὸν χρόνον, καὶ οὕτω τὴν τοῦ παντὸς ἀ. γενέσθαι, καὶ τῇ μεταβολῇ τοῦ ὅλου συναμειφθῆναι καὶ τὸ ἀνθρώπινον, ἀπὸ τοῦ φθαρτοῦ καὶ γεώδους ἐπὶ τὸ ἀπαθὲς καὶ ἄϊδιον* Gr.Nyss.*hom.opif.*22.5(M.44.205C); *ib.*25.11 (221B); id.*Pulch.*(M.46.877A) cit. s. *ἀναπλάσσω.*

***ἀναστολέομαι,** med., s.v.l., ‡Chrys.*pasch.*6.5(p.187.18) v. *ἀναστολίζω.*

ἀναστολή, ἡ, 1. *repression, restraint,* Clem.*str.*2.23(p.193.19; M.8.1096C); Eus.*p.e.*6.6(244D; M.21.416D); †Nil.*vit.*2(M.79.1141B); **2.** *clothing*; of angels at Resurrection, Eus.*fr.Lc.*24:4(M.24.605B).

ἀναστολίζω, *put on τὸν παλαιὸν ἄνθρωπον ἀναστολισάμενος* ‡Chrys.*pasch.*6.5(8.273C; p.187.18 *ἀναστολησάμενος*).

***ἀναστομίζω,** *open up ὁ προχέων τὸ ὕδωρ ἐκ τῆς πλευρᾶς, τοῦ σιδήρου τὴν φλέβα ταύτην ἀ.* Or.*exc.in Ps.*77:31(M.17.141D).

ἀναστομ-όω, 1. *furnish with a mouth* or *outlet τὴν πέτραν ᾗ ποτε τῷ ξύλῳ ἀνεστομώθη τὸ ὕδωρ* Gr.Nyss.*laud.Bas.*(M.46.809D); hence *open up,* id.*hom.2 in Cant.*(M.44.801B); cf. *ἀναστομίζω*; ref. Cant. 4:12 *διὰ τῆς χειροτονίας...~ωθέντος τοῦ τῆς πηγῆς ὕδατος κοινὸν γένηται κτῆμα τῆς καθόλου ἐκκλησίας ἡ ἐν ἐκείνῳ χάρις* id.*ep.*17 (M.46.1065C); pass., *find an opening, burst forth*; of an underground river, Proc.G.*Gen.*2:8f.(M.87.160A); *open up again πηγὴν ...συγκεχωσμένην ἀ.* Gr.Naz.*or.*36.2(M.36.265C); **2.** *rein in, curb,* fig. and met. *ἀ. ἅμα καὶ ἐπιστρέφων...πρὸς σωτηρίαν τὸν λαόν* Clem. *paed.*1.9(p.135.25; M.8.344A); *ἀ. ἐπεχείρει...καθάπερ χαλινῷ* Gr.Nyss. *anim.et res.*(M.46.12A); **3.** *baulk τοσαῦτα ~ωθεὶς τῆς ἐλπίδος ταύτης* †Gregent.*disp.*(M.86.721B).

ἀναστράπτω, *shine forth,* of BMV *πολυφάτους χάριτας ἀ.* Thdr. Stud.*nativ.BMV* 7(M.96.692A).

ἀναστρεπτέον, 1. *one must behave πῶς περὶ τὰς τροφὰς ἀ.*; Clem. *paed.*2.1(p.153.5; M.8.377A); *ἀεὶ ὡς παρόντος τοῦ κυρίου κοσμίως ἀ. ib.*2.2(p.176.35; 429C); *ib.*2.7(p.189.30; 456C); **2.** *one must pay attention* to *οὐ τοίνυν περὶ τὴν λέξιν ἀλλὰ περὶ τὰ σημαινόμενα ἀ.* id.*str.*6. 17(p.510.3; M.9.381C).

ἀναστρέφ-ω, 1. *turn upside down*; met., *upset,* Hipp.*haer.*6.41 (p.172.22; M.16.3259B); **2.** *turn back*; hence *repeat αἱρετικοὶ ἀ. πολλάκις τὰ αὐτὰ ῥήματα* Didym.*Trin.*2.5(M.39.492A); *turn over* in the mind, *ponder,* Chrys.*hom.53.5 in Mt.*(7.545D); **3.** *behave Κορινθίους...πιστεύσαντας μὲν ἤδη, τῆς δὲ πίστεως ~οντες οὐκ ἀξίως* Euthal.Diac.*epp.Paul.*(M.85.701B).

ἀναστροφή, ἡ, 1. *reversal, inversion*; **2.** *dwelling*; of man with God, Just.*1apol.*10.2(M.6.341A) cit. s. *ἄφθαρτος*; of Christ's life on earth, Clem.*paed.*2.8(p.194.27; M.8.468A); of millennium *τὴν τοῦ κυρίου ἐπὶ γῆς ἀ.* Oecum.*Apoc.*20:4(p.219); **3.** *mode of life,* Hipp. *Dan.*1.1(M.10.637A); *μηδὲ ἔννοιαν φόβου θεοῦ σχόντες ἀλλὰ καὶ διὰ τῆς ἀ. αὐτῶν βλασφημοῦντες τὴν ὁδὸν Ep.Lugd.*ap.Eus.*h.e.*5.1.48 (M.20.428A); *διὰ τῆς διδαχῆς αὐτοῦ καὶ τῆς ἀ.* ‡Pall.*h.mon.*8(p.38.7; M.34.1139C); **4.** *mode* of speech, ref. Pr.9:1 *οὐχ ἑτέρως δυνατὰ νοεῖσθαι...εἰ μὴ κατὰ μόνην μεταφορὰν καὶ ἀ. τῆς λέξεως* Eus.*Marcell.* 1.3(p.17.11; M.24.749B).

***ἀναστυλόω,** *set up εἰκὼν ἀνεστυλώθη* Areth.*Apoc.*37(M.106.680B).

***ἀνασυνδέω,** *bind up again,* ‡Bas.*const.*18.3(2.562C; M.31.1385A).

***ἀνασυράζω,** *draw up,* Cyr.*glaph.Dt.*(1.419C).

ἀνασύρομαι, *rage, rave οἱ Ἀρειανοὶ ἀ., τὴν οἰκίαν...ἐνέπρησαν τοῦ ἐπισκόπου* Thphn.*chron.*p.60(M.108.201C).

***ἀνασφαιρίζω,** *shoot up, lift up,* Thdt.*Ps.*52:2(1.951); *ψυχὴν σὺν τῇ προσευχῇ εἰς οὐρανοὺς ἀ.* Gr.Mag.*dial.*(tr.Zach.)2.37(M.*PL.*66. 201B).

***ἀνασφαλής, 1.** *uncertain,* Cyr.*Ps.*67:7(M.69.1145C); neut. as subst. *τὸ ἀ. τῶν ἐτῶν* Didym.*Trin.*2.14(M.39.708B); Cyr.*Nest.*2.8 (p.45.4; 6.49A); **2.** *unstable ἐπ' ἄμφω βαίνειν εἰδώς, ὁ ἀ.* id.*Os.*58 (3.90E); id.*Nah.*14(3.491E).

***ἀνασφαλίζω,** *recover*; of Magi recovering themselves from past errors through the sight of Christ, ‡Caes.Naz.*dial.*107(M.38.973).

***ἀνασφάλιστος,** *unfortified, unstable,* †Polyb.*v.Epiph.*64(M.41. 108D).

***ἀνασφετερίζω,** *appropriate,* Leont.B.*parasc.*(M.86.1997C).

ἀνασφίγγ-ω, *bind up tightly τριχὸς...ποικίλως ἀνεσφιγμένης* Cyr. *Is.*4.3(2.634C); met. *εἰς ἕνα θεότητος λόγον ἡ ἁγία τριὰς ~εται* id. *Jo.*10.2(4.911B).

***ἀνασφραγίζω,** *seal anew, rebaptize τὸν ναύκληρον κατηχήσατε καὶ ἀ.* (*ἔστιν γὰρ τῆς Ἀρείου μυσαρᾶς αἱρέσεως*) Marc.Diac.*v.Porph.*56; *ib.*57.

ἀνασώζω, 1. *recover what is lost, rescue Ἰησοῦς...τὴν ἐκκλησίαν ἀναλαβών,...ἀ. καὶ ἀνήνεγκεν ἅπερ ἀνέλαβεν* Clem.*exc.Thdot.*58(p.126. 13; M.9.688A); *ὁ ἐνανθρωπήσας...ἵνα ἀνασώσηται τὴν εἰκόνα καὶ ἀναπλάσῃ τὸν ἄνθρωπον* Gr.Naz.*or.*7.23(M.35.785C); **2.** *preserve ἵνα... ἀνασώσῃ πόνους τοῦ προλεχθέντος χρόνου* Ephr.1.318F; **3.** *preserve in memory ἀγαπῶντες, εἰ...ἀποστόλων τὰς διαδόχας κατὰ τὰς διαπρεπούσας...ἐκκλησίας ἀνασωσαίμεθα* Eus.*h.e.*1.1.4(M.20.52A); **4.** *rescind* a capital sentence *τὴν ἐπ' αὐτοὺς θανατηφόρον ἀνασωσάμενος ψῆφον* Philost.*h.e.*9.6(M.65.573A).

ἀνάταξις, ἡ, *arrangement, pattern, T.Sal.*D 8.5.

ἀνατάσσω, 1. *arrange, appoint τὸν κύκλον τῶν φλβ' ἐτῶν ἀ. Chron.Pasch.*p.10(M.92.88C); med., *set forth in order, compose, compile Εὐνομίου...ἐγκώμιον ἀ.* Philost.*h.e.*3.21(M.65.509C); Andr.Caes. *Apoc.*67(M.106.773B); **2.** *lift up* [φω]νὰς *ἀπὸ ψυχῆς καὶ καρδίας πρὸς σὲ ἀνατεταγμένας Pap.Chr.*(p.431).

ἀνατατικός, *uplifting ἡ τῶν ὁσίων θεολόγων ἀ. σοφία* Dion.Ar.*c.h.* 2.3(M.3.141B); neut. as subst., *means of rising ὁ θεῖος λόγος, πάντοθεν τὸ ἀ. ἡμῖν ποριζόμενος* Jo.D.*imag.*1.11(M.94.1241B).

ἀνατατικῶς, *upwards, with uplifting effect πᾶσα πατροκινήτου φωτοφανείας πρόοδος...ἀ. ἡμᾶς ἀναπληροῖ* Dion.Ar.*c.h.*1.1(M.3.120B); *πάντα πρὸς τὴν μίαν ἀρχὴν ἀ. ἐπιστρέφει* †Proc.G.*Procl.*(M.87.2792[h]C); Max.*ambig.*(M.91.1385B).

ἀνατείν-ω, *draw* a sword, Anast.S.*haer.*(p.270); med. and pass., *reach up ~όμενοι ἄνω τῇ ἐννοίᾳ* Clem.*paed.*1.5(p.99.31; M.8.269A); Ath.*fr.Job*(M.27.1345A); *Χριστὸς...διδάσκων ἡμᾶς...θεοῦ αἰτεῖν καὶ πρὸς αὐτὸν ἀ.* Jo.D.*f.o.*3.24(M.94.1089D); *direct* one's remarks, *make reference* to *πολλὰ πρὸς τὸ ἀνθρώπινον ~όμενος διελέχθη* Bas.*hom. in Ps.*44:7(1.165C; M.29.404B).

ἀνατειχίζω, met., *build up, edify,* Cyr.*Joel.*41(3.239D); id.*Is.*2.5 (2.342A).

***ἀνατείχισμα, τό,** *defence Χριστοῦ μυστήριον, ὅπλον ὥσπερ τι καὶ ἀ.* Cyr.*ador.*2(1.79E).

***ἀνατενιστός,** *not to be gazed on,* of the divinity of Christ *ὑπὸ τῶν χερουβὶμ ἀ. A.Xanthipp.*14(p.68.14).

ἀνατήκω, *soften again,* Meth.*res.*1.44(p.292.4; M.18.273A).

ἀνατίθημι, A. act.; **1.** *refer, attribute, assign δεῖ...τῷ θεῷ τὴν κατὰ πάντων ἐξουσίαν ἀ. M.Polyc.*2.1; Eus.*Marcell.*1.1(p.5.6; M.24.720B) cit. s. *ἀνθρώπινος*; *ἡλίῳ καὶ σελήνῃ...τὴν τοῦ θεοῦ τιμὴν ἀ.* Ath.*gent.* 9(M.25.17C); *πάντα ὅσα μετὰ τὸ γενέσθαι ἄνθρωπος, ἀνθρωπίνως λέγει, ταῦτα τῇ ἀνθρωπότητι δίκαιον ἀ.* id.*Ar.*3.43(M.26.413B); Chrys.*hom. 5.1 in 2Cor.*(10.466B); ref. Jo.7:16 *ἀ. χρησίμως τῷ θεῷ καὶ πατρὶ τὴν διδασκαλίαν* Cyr.*Jo.*4.5(4.413A); *ὅσα ἐστὶ τοῦ πατρὸς καὶ αὐτοῦ, τῷ...πνεύματι κοινωνικῶς καὶ ἡνωμένως ἀ.* Dion.Ar.*d.n.*2.1(M.3.637C); **2.** *set up* as objects of worship *ἀνθρώπους καὶ ἀνθρώπων μορφὰς... εἰς θεοὺς ἀ.* Ath.*gent.*9(M.25.20A); *ib.*23(48A); fig. and met., *set up* a verbal image *τὴν διὰ λόγων εἰκόνα τῇ τοῦ θεοφιλοῦς ἀ. μνήμῃ* Eus.*v.C.*1.10(p.11.28; M.20.921C); as an example *ἀνατύπωσιν ὥσπερ εὐαγοῦς πολιτείας τὰ καθ' ἑαυτὸν ἀ.* [sc. *Χριστός*] Cyr.*apol.Thdt.*10 (p.139.27; 6[1].234C); *set forth, publish ταύτην ἀ. πᾶσαν τὴν ἱστορίαν* Chrys.*hom.26.6 in Mt.*(7.322A); *exalt,* Dion.Ar.*c.h.*13.4(M.3.304C); **3.** *set up as votive gift*; *dedicate,* Eus.*h.e.*5.26(M.20.509A); Ath.*inc.* 56.1(M.25.196A); **4.** *set apart, devote*; **a.** things to God *πάντα τὸν πλοῦτον ἀ. τῷ θεῷ* Or.*Jo.*19.10(2; p.309.23; M.14.544B); ref. sabbath *ὁ καιρὸς...ἅγιος ἀνατεθειμένος εἰς ἑορτὴν τῷ Χριστῷ* Cyr.*Jo.*4.6 (4.428D); Andr.Caes.*Apoc.*68(M.106.444B) v. *ἀνάθεμα*; **b.** oneself or another to God, Just.*1apol.*25.2(M.6.365B); Clem.*str.*4.5(p.257.26; M.8.1233B); Or.*schol.in Cant.*2:16(M.17.265D); *δείξωμεν τοῖς ἔργοις ὅτι...οὐδενὶ ἄλλῳ ἢ αὐτῷ ἀνεθήκαμεν* id.*hom.5.2 in Jer.*(p.32.27; M.13.300A); Meth.*symp.*5.1(p.53.15; M.18.97B); Ammon.*Jo.*4:24(M. 85.1424B); of candidate for baptism *σοὶ αὐτὸν ἀνατίθεμεν* Serap. *euch.*20.1; **c.** *devote* oneself to study, Eus.*h.e.*6.3.9(M.20.529B); to spiritual life, Gr.Nyss.*ep.*2(M.46.1009B).

B. med.; **1.** *set up* a house *for oneself,* Gennad.*fr.Gen.*1:26(M. 85.1632C); **2.** *set forth, communicate,* Chrys.*hom.5.2 in 2Tim.*(11. 687A); Jo.Mosch.*prat.*176(M.87.3045B); Sophr.H.*ep.syn.*(M.87.3149D); intrans., *confer* (= *προσανατίθεμαι*); ref. Gal.1:16, Chrys.*hom.21.1 in Ac.*(9.168E); id.*comm.in Gal.*1:16(10.675E); **3.** *take back, revoke* a sentence, Chrys.*hom.4.3 in 2Thess.*(11.534A); **4.** *put back* in time, *delay, postpone,* Synes.*ep.*72(M.66.1436B); Philost.*h.e.*8.6(M. 65.561A).

ἀνατιμάω, med., *value,* Mel.*pass.*39 p.14.22.

ἀνατινάσσω, *shake up*; bedding, Clem.*paed.*3.10(p.264.30; M.8. 621A).

ἀνατολή, ἡ, A. *rising*; **1.** of sun; hence *dawn* of future life, Or.*Jo.*10.18(13; p.189.15; M.14.337C); met., of Christ (cf. Zach.6:12), Just.*dial.*100.4(M.6.709C); *ἀνατολαὶ ἀνατολῶν ἐπέχουσι τὸ πᾶν, καὶ ὁ...πολὺς μέγας ἐπανθεῖ Χριστὸς τοῖς ὅλοις ὑπὲρ ἥλιον* ‡Chrys.*pasch.* 6.1(p.117.6; 8.264D); *ἦν...ἀ., τουτέστι δικαιοσύνης ἥλιος...ὅτι φῶς*

ἀπαραβάτως τὰ κατὰ τὰς ἐντολὰς κατορθῶν *ib.*6.9(p.470.10; M.9.297B); cf. *ipsi animae tuae deus imaginem suam et similitudinem commendavit. istud ergo depositum tam integrum tibi restituendum est quam a te constat esse susceptum. si enim sis misericors... imago dei in te est et integrum depositum servas. ... similiter et cetera omnia, si pius, si justus es, si sanctus,...et omnia quae in deo praesto sunt per naturam si tibi per imitationem subsistant, depositum apud te divinae imaginis salvum est. si vero e contrario agas et pro misericorde crudelis, pro pio impius...abjecta imagine dei diaboli in te imaginem suscepisti et bonum depositum commendatum tibi divinitus abnegasti,* Or.*hom.4.3 in Lev.*(p.318.4ff.; M.12.436B–C); ‡Nil.*perist.*4(M.79.893A); ἔχουσι τοίνυν, φησίν [sc. Christ], οἱ τὸν σὸν...δεξάμενοι λόγον τὴν ἐμὴν ἐν ἑαυτοῖς διαλάμπουσαν εἰ., συμμορφοί τε τῷ σῷ γνησίῳ γεγόνασιν υἱῷ Cyr.*Jo.*11.9(4.983C); id.*dial.Trin.*1(5[1].393E); **2.** for only purified soul becomes image of God εἰ τοιούτων ἡ ψυχὴ κινημάτων [i.e. passions] ἐλευθέρα γένοιτο,...ἑαυτὴν ἀκριβῶς εἰδοῦσα, οἵα τῇ φύσει ἐστί, καὶ οἷον ἐν κατόπτρῳ καὶ εἰ. διὰ τοῦ οἰκείου κάλλους πρὸς τὸ ἀρχέτυπον βλέπουσα Gr.Nyss.*anim.et res.*(M.46.89C); γενώμεθα καθαροὶ τῇ καρδίᾳ, ἵνα γινώμεθα μακάριοι, τῆς θείας εἰ. ἐν ἡμῖν μορφωθείσης id.*beat.*6(M.44.1277A); Max.*ambig.*(M.91.1113B); **3.** hence image equated with various aspects of spiritual life; **a.** perfection, Clem.*str.*7.16(p.71.20; M.9.540B); πλησιάζουσι δὲ αὐτῷ [sc. the Spouse] οἱ τετελειωμένοι, καὶ τὴν πρὸς αὐτὸν αὐχοῦσι συγγένειαν οἱ τὴν εἰ. φυλάττοντες ἀδιάφθορον Thdt.*Cant.*5:1(2.108); cf. οὔπω γεγόναμεν ἄδολος πορφύρα βασιλική, οὔτε ἀνόθευτος εἰ. θεϊκή Mac.Aeg.*hom.*25.5(M.34.669D); **b.** ἀγάπη, Esaias *or.*25.12(M.40.1181A Lat.); **c.** ἀπάθεια and kindred virtues πάλιν κατὰ τὴν τοῦ θεοῦ εἰ. ἑαυτοὺς καλλωπίσωμεν, διὰ τῆς ἀπαθείας ὁμοιωθέντες τῷ κτίσαντι. ὁ γὰρ τὸ ἀπαθὲς τῆς θείας φύσεως, καθώς ἐστι δυνατόν, ἐφ' ἑαυτοῦ μιμησάμενος, οὗτος ἐπανέλαβεν ἐπὶ τῆς ἰδίας ψυχῆς τοῦ θεοῦ τὴν εἰ. Bas.*ascet.*1.1(2.318E; M.31.872A); *ib.*(319A; M.l.c.); Gr.Nyss.*hom.opif.*5.1(M.44.137B); ἀνάρχου βασιλείας ἐστὶν εἰ., ἡ τοῦ νοῦ περὶ τὴν ἀληθῆ γνῶσιν ἀτρεψία, καὶ ἡ τῆς αἰσθήσεως περὶ τὴν ἀρετὴν ἀφθαρσία Max.*cap.*3.55(M.90.1284C); **d.** contemplation, indwelling of God, and spiritual self-knowledge, Clem.*str.*7.3(p.12.22ff.; M.9.421A) cit. s. θεωρία; Or.*hom.1.13 in Gen.*(p.17.26ff.; M.12.157B,C); τῶν...ἁγίων ἡ θεοειδὴς τοῦ πνεύματος εἰ. ἀπὸ τοῦ νῦν ἔνδον ὥσπερ ἐντυπωθεῖσα, καὶ τὸ σῶμα θεοειδὲς ἔξω καὶ οὐράνιον ἀπεργάσεται Mac.Aeg.*libert.ment.*25(M.34.957C); Gr.Nyss.*beat.*6(M.44.1272B); εἰ βούλει γνῶναι θεόν, προλαβὼν γνῶθι σαυτὸν ἐκ τῆς σαυτοῦ...κατασκευῆς...διάκρινον τὴν ταύτης κατασκευήν, καὶ ὄψῃ σαυτὸν κατ' εἰ. καὶ ὁμοίωσιν θεοῦ τυγχάνοντα. ἀνώνυμός σου γὰρ καὶ ἄγνωστος, καὶ νοερά, καὶ ἀθάνατος τῆς ψυχῆς ἡ οὐσία κατ' εἰ. καὶ ὁμοίωσιν τυπικὴν τοῦ ἀνωνύμου καὶ ἀγνωρίστου καὶ ἀθανάτου θεοῦ καθέστηκεν ‡Anast.S.*serm.imag.*1(M.89.1145D); for the reason why man was created in the image was that he should know God, for which the image was sufficient, Ath.*inc.*12.1(M.25.116D); cf.*ib.*11.3 (116A,B); **e.** kingdom of heaven τὴν βασιλείαν τῶν οὐρανῶν εἶναί τινες λέγουσι...τὸ εἶδος αὐτὸ τῆς θεϊκῆς ὡραιότητος τῶν φορεσάντων τὴν εἰ. τοῦ ἐπουρανίου Max.*cap.theol.*2.93(M.90.1169A).

E. dignity and beauty conferred by image on soul, cf. *Solomon... ad animam...loquens dicit 'nisi cognoveris temet ipsam, et pulchra inter mulieres', et agnoveris pulchritudinis tuae causas inde descendere, quod 'ad imaginem dei facta es', per quod inest tibi plurimum naturalis decoris, et agnoveris, quam pulchra eras ex initio,... jubeo te 'exire' et in ultimis 'gregum vestigiis' collocari,* Or.*comm.in Cant.*2(p.141.26ff.; M.13.123C); κατ' εἰ. γὰρ δημιουργηθεῖσα τοῦ μονογενοῦς [sc. ἡ ψυχή],...ἀνυπέρβλητον ἔχει τὸ κάλλος Meth.*symp.* 6.1(p.64.18ff.; M.18.113B); οὐκ οὐρανὸς γέγονεν εἰ. τοῦ θεοῦ...οὐκ ἄλλο τι τῶν κατὰ τὴν κτίσιν φαινομένων οὐδέν. μόνη σὺ [sc. ψυχή] γέγονας τῆς ὑπερεχούσης πάντα νοῦν φύσεως ἀπεικόνισμα...οὐδὲν οὕτω τῶν ὄντων μέγα, ὡς τῷ σῷ μεγέθει παραμετρεῖσθαι Gr.Nyss.*hom.* 2 *in Cant.*(M.44.805D); οὐκοῦν καὶ τὸ τῆς ἀνθρωπίνης φύσεως κάτοπτρον, οὐ πρότερον ἐγένετο καλόν, ἀλλ' ὅτε τῷ καλῷ ἐπλησίασε, καὶ τῇ εἰ. τοῦ θείου κάλλους ἐνεμορφώθη *ib.*5(868D); ἐπειδὴ κατ' εἰ. θεοῦ ἐκτίσθη, ἠρκέσθη τὸ θεῖον γράμμα τῷ τοσούτῳ ἀξιώματι,...εἰ γὰρ αὐτῆς τῆς ἀγαθότητος εἶχε κεκτημένος τὴν εἰ. ... πῶς ἔτι χρείαν εἶχε μαρτυρίας ⟨τοῦ⟩ ἀκοῦσαι ὅτι ἰδοὺ καλόν, ὁπότε τὴν εἰ. αὐτοῦ τοῦ καλοῦ εἶχε κεκτημένος; Epiph.*haer.*66.18(p.42.14ff.; M.42.56C,D); Max.*cap.*1.11(M.90.1088A); on account of which dignity every man must be honoured, Meth.*res.*2.24(p.386.6ff.).

F. discussion whether other creatures, besides man, were created in image; **1.** angels εἰ. ἐστι τοῦ θεοῦ ὁ ἄγγελος...ἔσοπτρον ἀκραιφνές Dion.Ar.*d.n.*4.22(M.3.724B); cf.id.*c.h.*8.1(M.3.240A); οἱ ἄγγελοι καὶ οἱ ἄνθρωποι κατ' εἰ. Jo.D.*volunt.*30(M.95.168B); **2.** man alone made in image οὐδὲ αὐτοί [sc. ἄγγελοι] εἰσιν εἰ. Ath.*inc.*13.7(M.25.120B); τινὲς μὲν τῶν δυσωνύμων αἱρετικῶν πρὸς τοὺς ἀγγέλους αὐτὸν εἰρηκέναι, καὶ τοὺς πονηροὺς δαίμονας ἔφασαν· οὐ συνιέντες οἱ ἐμβρόντητοι τὸ κατ' εἰ. ἡμετέραν Thdt.*qu.19 in Gen.*(1.22) ∞ ‡Ath.*qu.script.*56 (M.28.733D); ἐπὶ...τῆς τῶν ἀγγέλων καὶ τῶν χερουβὶμ καὶ σεραφὶμ δημιουργίας εἴρηται ὅτι...θεὸς εἶπε, καὶ ἐγενήθησαν...· ἐπὶ δὲ τοῦ ἀνθρώπου τοῦ κατ' εἰ. καὶ ὁμοίωσιν θεοῦ ὄντος, οὐχ οὕτως Anast.S. *serm.imag.*3(M.89.1165B); 'image' refers to whole human race as it was first conceived in divine mind, without later sex distinction, Gr.Nyss.*hom.opif.*16.18(M.44.185D); **3.** εἰ. θεοῦ sometimes used as synonym of man, *Apoc.Mos.*10(p.5); *ib.*12(p.6); Cosm.Ind.*top.*2 (M.88.120A); **4.** Devil's enmity against man due to man's creation in image, Bas.*hom.*9.9(2.81E; M.31.349C); ‡Bas.*Lac.*9(2.595B; M.31. 1456D); ἔργον δὲ τῶν ἀντικειμένων δαιμόνων τὰ πρὸς βλάβην τῆς εἰ. Cosm.Ind.*top.*2(M.88.120A).

G. image in Christian hierarchy, priests τοὺς οὕτω [sc. as true followers of Christ] ζῶντας, ὡς ὁμοιοειδεῖς ἐνσημαίνοντος τῷ σταυροειδεῖ τῆς οἰκείας ἀναμαρτησίας εἰ. Dion.Ar.*e.h.*5.3.4(M.3.512B); bishop, Max.*ep.*30(M.91.624B).

IV. theol.;

A. Gnost.; of double letters of alphabet as images of elements which are images of aeons, Iren.*haer.*1.14.5(M.7.605A); of order of Christ's actions, and evangelists' use of time notes, as image of order of aeons, *ib.*1.14.6(605B); of demiurge as εἰ. τοῦ Μονογενοῦς Clem.*exc.Thdot.*7(p.108.16; M.9.657C); and as εἰ. τοῦ ἀληθινοῦ θεοῦ καὶ προφήτην id.*str.*4.13(p.287.28; M.8.1297B); ζωγράφον δὲ τὴν σοφίαν, ἧς τὸ πλάσμα ἡ εἰ. ... ἐπεὶ ὅσα ἐκ συζυγίας προσέρχεται, πληρώματά ἐστιν, ὅσα δὲ ἀπὸ ἑνός, εἰκόνες *ib.*(p.287.30; 1297B).

B. of Wisdom as God's image ἡ σοφία ἐστὶν ὁ λόγος ᾧ εἶπε, 'ποιήσωμεν ἄνθρωπον' κτλ.· ὡς οὔσης εἰ. τοῦ ἀρχετύπου *Dial.Ath.et Zacch.*8(p.5).

C. of Logos or Son as image of Father (Col.1:13), v. ἀπαράλλακτος; εἰ. μὲν γὰρ τοῦ θεοῦ ὁ λόγος αὐτοῦ...εἰ. δὲ τοῦ λόγου...ὁ νοῦς ὁ ἐν ἀνθρώπῳ Clem.*prot.*10(p.71.24; M.8.212C); ἔστιν οὖν τις, ὁ υἱὸς τοῦ θεοῦ, εἰ. τοῦ θεοῦ, καὶ τούτου εἰ. ἡ λεγομένη εἰ. τοῦ υἱοῦ τοῦ θεοῦ· ἣν νομίζομεν εἶναι ἣν ἔλαβε ψυχὴν ὁ υἱὸς τοῦ θεοῦ ἀνθρωπίνην, γενομένην διὰ τὴν ἀρετὴν τῆς εἰ. τοῦ θεοῦ εἰκόνα· ἣν οἰόμεθα εἰ. εἰ. εἶναι τοῦ θεοῦ Or.*comm.in Rom.*1:49(*JTS* 13 p.211); εἰ ἔστιν εἰ. τοῦ θεοῦ τοῦ ἀοράτου, ἀόρατος εἰ. id.*princ.*4.4.1(p.349.15); id.*Jo.*13.36(p.261.25; M.14. 461C); τῆς ἀνεκφράστου καὶ ἀπερινοήτου θεότητος μόνον ἐν αὐτῷ φέροντα τὴν εἰ. Eus.*d.e.*4.2(p.152.9; M.22.253B); *ib.*4.3(p.153.14; 256B) cit. s. προαίρεσις; εἰη δ' ἂν ταύτῃ καὶ εἰ. θεοῦ...ζῶντος θεοῦ ζῶσά τις καὶ καθ' αὐτὴν ὑφεστῶσα...ἀλλ' οὐχ οἷα τις πάλιν ἡ παρ' ἡμῖν εἰ., ἕτερον μὲν ἔχουσα τὸ κατ' οὐσίαν ὑποκείμενον, ἕτερον δὲ τὸ εἶδος *ib.*5.1(p.213.30; 353D); acc. Marcellus τότε [sc. at Inc.] υἱὸν θεοῦ γεγονέναι...εἰ. τε θεοῦ id.*Marcell.*1.1(p.6.4; M.24.721C); οὐδεὶς ἐδύνατο τὸν θεὸν εἰδέναι, οὐδὲ τὸν λόγον γνωρίζειν αὐτοῦ, εἰ μὴ τὴν εἰ. εἰλήφει...δηλαδὴ τὴν σάρκα...διὰ μόνης γὰρ τῆς εἰ. γνωρίζεσθαι τὸν θεὸν καὶ τὸν τούτου λόγον διετείνατο, τὴν σάρκα λέγων εἶναι τὴν εἰ. id. *e.th.*2.25(p.136.21; M.24.965C); but agst. Marcell. εἷς δὲ καὶ μονογενὴς τοῦ θεοῦ υἱός, εἰ. τῆς πατρικῆς θεότητος καὶ διὰ τοῦτο θεός *ib.*1.2 (p.63.29; 832C); Ath.*Ar.*2.78(M.26.312B); ἡ δὲ εἰ., ἑτέρου καὶ οὐχ ἑαυτῆς εἰ. οὖσα, καθὰ καὶ σὺ [sc. Marcellus] θέλεις, τοῦ πρωτοτύπου ἐν ἑαυτῇ τοὺς χαρακτῆρας φέρουσα, τὴν ἑτερότητα παρίστησιν, ἑτερότητα δὲ ὡς ὁμοιότητα· οὐχ ἑαυτῆς γάρ, ἑτέρου δέ τινος εἰ. ἐστιν οὗτος...εἰ. οὖν τοῦ πατρὸς ὁ υἱός, ζῶσα ζῶντος Acac.Caes.*fr.Marcell.* ap.Epiph.*haer.*72.10(p.264.24; M.42.396C); εἴ τις εἰ. ἀκούων τὸν υἱὸν τοῦ θεοῦ...ταὐτὸν λέγοι τὴν εἰ. τῷ θεῷ..., ὡς μὴ ὁμολογῶν ἀληθῶς υἱόν, ἀνάθεμα...καὶ...ἀνόμοιον λέγοι [καὶ] κατ' οὐσίαν τὸν υἱὸν εἰ. ὄντα τοῦ θεοῦ...οὐ εἰ. καὶ κατ' οὐσίαν νοεῖται, ὡς ἀληθῶς μὴ λέγων υἱόν, ἀνάθεμα CAnc.(358)*anath.*6,7(p.281.22; M.42.421C); τὸ θεῖον βούλημα...διὰ τῆς οἰκείας εἰ. τοῦ...λόγου πράσσειν εἰς ἐνέργειαν Bas.*Eun.*2.21(1.257C; M.29.620A); id.*ep.*236.1(3.361B; M.32.877A); Gr.Nyss.*Eun.*11(2 p.264.20; M.45.872D); οὐχὶ τῷ διαφέρειν τοῦ ἀρχετύπου τὴν εἰ. ... ἀλλ' ἵνα δειχθῇ ὅτι ταὐτὸν τῷ πρωτοτύπῳ ἐστίν, κἂν ἕτερον ᾖ id.*diff.ess.*8(M.32.340B); *Pap.Chr.*4.16.1.6(p.445); εἰ. ὢν τοῦ πατρὸς ὁ υἱός, οὐκ ἂν εἴη κτίσις αὐτοῦ Didym.(‡Bas.)*Eun.*4(1. 287E; M.29.692B); εἰ. εἰκονοποιός *ib.*5(302A; M.724C); Cyr.*thes.*1(5[1]. 12C); ἔστι δὲ καὶ οὕτως εἰ. τοῦ πατρός, καθ' ὃ καὶ ἐστι θεὸς καὶ ἐξ αὐτοῦ γεγέννηται κατὰ φύσιν id.*2Cor.*4:4(p.342.10; M.74.933B); Procl. CP *or.*2.3(M.65.696C); *Dial.Ath.et Zacch.*19(p.15).

D. of Son as image of attributes of God ὁ δὲ σωτὴρ εἰ. τῆς ἀγαθότητος αὐτοῦ Or.*Jo.*6.57(37; p.166.6; M.14.300B); εἰ. ... τῶν ἐπινοουμένων τῇ οὐσίᾳ τοῦ θεοῦ μεγαλείων, εἰ. δυνάμεως, εἰ. σοφίας, καθὸ εἴρηται Χριστὸς θεοῦ δύναμις καὶ θεοῦ σοφία Bas.*ep.*236.1(3. 361B; M.32.877A); τὸν λόγον...[sc. τοῦ πατρός] οὐσίας τε καὶ βουλῆς καὶ δόξης καὶ δυνάμεως ἀπαράλλακτον εἰ. Ast.Soph.*fr.*21 ap.Eus.

*Marcell.*1.4(p.25.8; M.24.764C) ∞ *Symb.Ant.*(341)2(p.249.18; M.26.721C); of Father's will *τὸ ἐν αὐτῷ θέλημα εἰ. τοῦ πρώτου θελήματος, καὶ ἡ ἐν αὐτῷ θεότης εἰ. τῆς ἀληθίνης θεότητος* Or.*Jo.*13.36(p.261.25; 461C); (Eunomian) *εἰ. βουλήσεως ὀνομάζουσιν* Bas.*Eun.*1.24(1.235D; M.29.565B); v. *βούλησις*; of his *ἐνέργεια*, *ib.*2.31(268C; M.645A); *υἱὸς γάρ ἐστι, φησίν, εἰ. καὶ σφραγὶς τῆς τοῦ παντοκράτορος ἐνεργείας* Gr.Nyss.*Eun.*2(2 p.360.14; M.45.540A).

E. of Christ's humanity *τὴν εἰ. λαμβάνων τῆς ἀνθρωπότητος* Procl.CP *or.*6.11(M.65.741A); (Eutychian) *τυγχάνειν τῆς ἡμετέρου σώματος εἰ., καὶ μὴ ἀληθείαν* Leo Mag.*ep.*30(p.46.10; M.*PL.*54.788B).

F. of H. Ghost; **a.** as image of God, Eus.*e.th.*3.5(p.163.10; M.24.1012C); **b.** as image of Son, Gr.Thaum.*symb.*(p.3.8; M.10.985A); Ath.*ep.Serap.*1.24(M.26.588B); Didym.(‡Bas.)*Eun.*5(1.302A; M.29.724C); Jo.D.*f.o.*1.13(M.94.856B).

εἴλημα, τό, 1. *covering, wrapping*, ref. Christ's burial *τὸ εἴ. τῆς σινδόνος* Epiph.*haer.*42.11(p.153.18; M.41.769D); **2.** *arch, vault*; of heaven, Geo.Pis.*hex.*86(M.92.1436A); in architecture, Jo.Mal.*chron.*18 p.490(M.97.709A); *ib.*p.495(716B); **3.** *volume κεφαλίδα δὲ βιβλίου καλεῖ τὰ εἴ.* Thdt.*Jer.*36:1–3(2.562).

***εἰλιματικός**, *arched*, Jo.Eleem.*v.Tych.*(p.139).

εἰλητός, A. *wound, wrapped*; neut. as subst.; **1.** liturg.; linen or silk *corporal* placed on altar, symbolizing grave-clothes of Christ, ‡Sophr.H.*liturg.*5(M.87.3985B); ‡Bas.*h.myst.*47(p.389.23); unfolded by deacons (compared with Joseph of Arimathea and Nicodemus) at beginning of mass of faithful, ‡Sophr.H.*liturg.*20(4000D); or by priest, cf.*Lit.Chrys.*(p.375.6); *εὐχὴ πιστῶν μετὰ τὸ ἁπλωθῆναι τὸ εἰ. Lit.Bas.*(p.316.10); later practically identified with *ἀντιμίσιον* q.v.; placed by bishop on altar at consecration of church, *Euchol.*(p.660D); **2.** *roll, volume μεμβράνας ῥωμαϊκώτερον τὰ εἰ. ἐκάλεσεν...ἐν εἰλητοῖς γάρ εἶχον τὸ παλαιὸν τὰ τῆς θείας γραφῆς* Thdr.Mops.*2Tim.*4:13(p.228.11); Thdt.ad loc.(3.695).

B. *vaulted*, s.v.l., *εἰ. ναῷ* Andr.Cr.*imag.*(M.97.1304A).

εἰλικρίνεια, ἡ, *purity* of intention, *sincerity τῶν λόγων εἰ.* Clem.*str.*4.22(p.311.11; M.8.1352C); *ib.*6.7(p.462.8; M.9.281B); id.*fr.*65(p.228.21; M.9.753A) cit. s. *δικαιόω*; coupled with *πίστις*, Const.ap. Eus.*v.C.*4.42(p.134.22; M.20.1192B); *ib.*4.45(p.136.4; 1193C); *μετὰ εἰλικρινείας ἀφῶμεν* Chrys.*hom.in Rom.12:20*(3.171B); ref. 2Cor. 1:12, id.*hom.3.1 in 2Cor.*(10.442B).

εἰλικρινής, *pure, unmixed*; **1.** def., ref. Phil.1:10 *εἰ. λογίζομαι εἶναι τὸ ἀμιγές, καὶ ἄκρως κεκαθαρμένον ἀπὸ παντὸς ἐναντίου, συνηγμένον δὲ καὶ τεταγμένον πρὸς μόνην θεοσέβειαν· οὐ μόνον δέ, ἀλλὰ καὶ πρὸς τὰ ἐν ἑκάστῳ καιρῷ καὶ πράγματι πρὸς τὸν ταύτης σκοπὸν ἀκριβῶς ἐπιζητούμενα· ὥστε μηδὲ πρὸς τὰ συγγενῆ τῶν κατορθωμάτων ἀπομετεωρίζεσθαι τὸν εἰς τι ταχθέντα* Bas.*reg.br.*264(2.505D; M.31.1261B); **2.** of contemplation, Clem.*str.*6.14(p.486.9; M.9.329B); *ib.*7.3(p.10.13; 416C); *τὸ τῆς θεωρίας εἰ.* Nil.*exerc.*75(M.79.809B); of Christ to whom is applied Sap.7:25, Or.*Jo.*13.25(p.249.32; M.14.444A), Eus.*d.e.*4.3(p.154.1; M.22.256D) citt. s. *δόξα*; his divinity, ‡Ath.*Ar.*4.35(p.84.15; M.26.521B); God called *ὁ εἰ., A.Jo.*107(p.205.2); of doctrine, Eus.*h.e.*4.24(M.20.389B); *τῶν δικαίων ἀξιωμάτων τὸ εἰ. ... κάλλος* Cyr.*Mich.*36(3.422D); ref. morsel given to Judas at Last Supper *εἰ δύνασαι τὸν εἰ. ἄρτον ἀβαφῆ φάσκειν εἶναι* Or.*Jo.*32.22(14; p.465.8; 804D); **3.** morally *pure, uncontaminated*, ref. Christian life *τῆς εἰ. ... ζωῆς ἡ ἀρχή* [sc. *ὁ σωτήρ*] Or.*Jo.*1.28(27; p.34.22; M.14.73C); Eus.*h.e.*4.7.13(M.20.320B); id.*d.e.*3.7(p.147.2; M.22.248A); of prayer *δέησις εἰ. Const.App.*3.7.6; *προσευχὴ ...τοῦ νοῦ...εἰ. κρίσις* Evagr.Pont.*or.*84(M.79.1185B); *εἰλικρινεῖ πρόσελθε τῷ θεῷ διαθέσει* Olymp.*Job* 11:13f.(M.93.144D); *εἰ. διανοίᾳ* Bas. Sel.*or.*4.3(M.85.69A); of God's righteousness, Cyr.*Mich.*67(3.462B); *single-minded, Ep.Dor.*(M.88.1616A); *pure in doctrine*, exeg. Phil. 1:10 *ἵνα ἦτε ὑμεῖς εἰ.· τουτέστιν, ἵνα μηδὲν νόθον δόγμα τῷ τῆς ἀγάπης προσχήματι παραδέχησθε* Chrys.*hom.2.1 in Phil.*(11.203D); **4.** *sincere*; characterizing believers, *1Clem.*2.5; *τὸ μετανοῆσαι ἐξ εἰ. καρδίας 2Clem.*9.8; *εἰ. κάθαρσις* Clem.*str.*4.23(p.316.1; M.8.1361A); id.*q.d.s.*40(p.187.7; M.9.645C); Ath.*ep.mon.*(M.26.1188A); of faith, Clem.*q.d.s.*35(p.183.10; M.9.641A); Chrys.*hom.35.1 in Jo.*(8.202C); *εἰ. διανοίᾳ θεραπεύει...*[sc. Abel] *τὸν τῆς ποίμνης δοτῆρα* Bas. Sel.*or.*4.3(M.85.69A).

εἰλικρινότης, ἡ, *sincerity*, as polite form of address *ἡ ὑμετέρα εἰ. Cod.Afr.*56.

εἰλικρινῶς, 1. *purely, in purity ψυχὴν...ἀμίαντον εἰ. τὸν προσομιλοῦντα τῷ θεῷ* Clem.*str.*7.7(p.36.27; M.9.469A); *εἰ. θεάσονται τὴν ἀφθαρσίαν* Meth.*symp.*1.1(p.8.2; M.18.37A); *ἑορτάζομεν κυρίῳ εἰ. ib.* 9.2(p.116.9; M.181A); Hyper.*mon.*140(M.79.1488A); **2.** *sincerely*, *1Clem.*32.1; *εἰ. τὸ ἀληθὲς λέγειν* Meth.*res.*1.42(p.287.14; M.41.1109D); of believing, *Symb.Ant.*(341)4(p.251.14; M.26.725D); *Symb.Sirm.*1(p.254.31; M.26.736C); Chrys.*hom.35.1 in Jo.*(8.202).

***εἰλιμμένον, τό,** *chalice veil, Euchol.*(p.86).

***εἰλιτάριον, τό,** *scroll εἰ. γὰρ οἱ Ἑβραῖοι ἀντὶ τῶν παρ' ἡμῖν βιβλίων ἐκέχρηντο* Andr.Caes.*Apoc.*18(M.106.273D); CTrull.*act.*14(H.3.1360B).

εἱμαρμένη, ἡ, *fate*;

A. def., Clem.*exc.Thdot.*69(p.129.15; M.9.692A) cit. s. *δύναμις*; *εἰ. ... εἱρμός, οἶμαι, τῶν θεῷ τυπουμένων* Gr.Naz.*carm.*1.2.34.263(M. 37.964); dist. from *πρόνοια* and *ἀνάγκη*: *τοῦ μὲν θεοῦ ἔργον, οὐσία καὶ πρόνοια· τῆς δὲ ἀνάγκης, τῶν ἀεὶ ὡσαύτως ἐχόντων ἢ κίνησις· τῆς δὲ εἰ., τὸ ἐξ ἀνάγκης τὰ δι' αὐτῆς ἐπιτελεῖσθαι* Jo.D.*f.o.*2.25(M.94. 957A).

B. its reality, affirmed *ὅτι δέ ἐστι, φασίν, εἰ. τοῖς ἄλλοις, τὰ ἀποτελέσματα προλεγόμενα δείκνυσιν, ἐναργὴς δὲ ἀπόδειξις καὶ ἡ τῶν μαθημάτων θεωρία* Clem.*exc.Thdot.*75(p.130.23; M.9.693B); denied *ὁ κατὰ τὴν προσοῦσαν αὐτῷ φύσιν ζῶν οὐδὲν ἁμαρτάνει· οὐ γὰρ ἑαυτὸν ἐποίησε τοιοῦτον, ἀλλ' ἡ εἰ. ... οὐδεὶς οὖν κακός. ἀλλ' εἰσὶ κακοί, καὶ ἡ μὲν κακία...ἐχθρὰ τῷ θεῷ...ἡ δὲ ἀρετὴ προσφιλὴς...θεοῦ διατάξαντος νόμου τιμωρὸν τῶν κακῶν. οὐκ ἄρα εἰ.* Meth.*symp.*8.16(p.110.11ff.; M.18.173A); *ποία δ' αὐτῶν εἰ. θεὸν δημιουργὸν ἁπάντων πᾶσιν ἀνθρώποις κατήγγειλεν, εἰ. δὲ μὴ εἶναι φάναι ἐξηνάγκασε; καὶ πῶς ἡ εἰ. μὴ εἶναι ἑαυτὴν λέγειν τε καὶ φρονεῖν ἐβιάσατο;* Eus.*p.e.*6.6(253D; M.21.432A); *ἡ παρὰ τοῖς ἄφροσιν Ἕλλησι...εἰ. προσαγορευομένη, οὔτ' ἦν ποτε, οὔτ' ἔστιν, οὔτ' ἔσται πώποτε* Nil.*epp.*1.278(M.79. 184D).

C. pagan belief in it, Tat.*orat.*8(p.8.6; M.6.821A,B); *ib.*9(p.9.24; 825A); *οἱ δαίμονες αὐτοὶ μετὰ τοῦ ἡγουμένου...Διὸς ὑπὸ τὴν εἰ. πεπτώκασι τοῖς αὐτοῖς πάθεσιν...κρατηθέντες ib.*8(p.8.19; 824A); *οὐδὲ γὰρ τὸν δάκτυλον ἐξεῖναί φασι χωρὶς εἰ. κινῆσαί τινι* Meth.*symp.*8.16(p.108.8; M.18.172A); *πάντα...ὑπεζεῦχθαι τῇ τῆς εἰ. ἀνάγκῃ* Gr.Nyss. *fat.*(M.45.148C); *ἔστι...καὶ νεώς, καὶ πόλεως, καὶ ἔθνους παντὸς εἰ., κατὰ τὴν πρώτην θέσιν τὸ ἐφεξῆς ἐπικλώθουσα ib.*(165C); philosophers' views: Plato *εἰ. φησὶν εἶναι οὐ μὴν πάντα καθ' εἰ. γίνεσθαι* Hipp.*haer.* 1.19(p.23.2f.; M.16.3045A); Stoic conception, *ib.*1.21(p.25.16ff.; 3048C,D); Epicurus *πρόνοιαν μὴ εἶναι μηδὲ εἰ., ἀλλὰ πάντα κατὰ αὐτοματισμὸν γίνεσθαι ib.*1.22(p.26.19; 3049B).

D. implications and consequences of this belief; **1.** immorality *οἱ διοριζόμενοι μὴ εἶναι τὸν ἄνθρωπον αὐτεξούσιον, ἀλλ' ἀνάγκαις ἀφύκτοις εἰ. λέγοντες οἰακίζεσθαι...εἰς αὐτὸν ἀσεβοῦσι τὸν θεόν, παρεκτικὸν τῶν ἀνθρωπίνων αὐτὸν κακῶν...εἰσηγούμενοι* Meth.*res.* 8.16(p.105.7; M.18.168D); *πάντα δ' εἰ. διὰ τῶν χρησμῶν ἀναρτήσας ὁ δαίμων...θέα εἰς οἷον κακῶν δογμάτων ὄλεθρον τοὺς αὐτῷ πειθομένους καταβέβληκεν. εἰ γὰρ...εἱμαρμένῃ οὐ μόνα τὰ ἐκτός, ἀλλὰ καὶ τὰς κατὰ λογισμὸν προθυμίας ἀναθετέον...οἰχήσεταί σοι φιλοσοφία...οὐδέ τις ἦν τοῖς σπουδαίοις ἔπαινος ἀρετῆς...εἰ. τὴν αἰτίαν πάντων ἀναδεδεγμένης...εἰ γὰρ ἐξ εἰ. τόδε τι γενήσεσθαι νομίζοι, εἴτε πονοίημεν ἡμεῖς περὶ αὐτό...εἴτε καὶ μή, πῶς οὐκ ἂν τις ἐθελήσειε τὸ ῥᾷον αἱρεῖσθαι... ὡς ἐξ εἰ. ... γενησομένου τοῦ πραχθησομένου;* Eus.*p.e.*6.6(242D–243C; M.21.413A–C); *καὶ τὴν πρὸς τὸ θεῖον εὐσέβειαν ἀνατρέποι ἂν ἥδε ἡ δόξα, εἴγε μηδὲν ἡμῖν ὁ θεός, μηδὲ μὴν αὐτοὶ οἱ τῶνδε χρησμῳδοί, μήτ' εὐχομένοις, μήτ' εὐσεβοῦσι συμβάλλονται εἱμαρμένης ἀνάγκαις πεπεδημένοις ib.*(244D; M.416D); *ποῦ τὸ δίκαιον;...ποῦ τὸ ὅσιον; ἢ τούτων οὐδενὸς μέλειν φὴς τῇ εἰ., οὐδὲ πρὸς ἀρετὴν βλέπειν...;* Gr.Nyss. *fat.*(M.45.160A); Chrys.*hom.26.6 in Mt.*(7.321C); *ὥσπερ γὰρ δῆλον ὅτι πονηρὸν τὸ φονεύειν καὶ τὸ μοιχεύειν φαῦλον, οὕτω δῆλον ὅτι τὸ προσέχειν εἱμαρμένῃ πονηρόν...ἐπεὶ ὅτι γε τῶν κεκωλυμένων ἐστίν, ὥσπερ ὁ φόνος, παρὰ τοῖς νόμοις αὐτοῖς τοῖς τῶν Ἑλλήνων, τὸ τῇ γενέσει πείθεσθαι...κατηγορούμενος ἐν δικαστηρίῳ λεγέτω, ὅτι οὐκ ἐγώ, ἀλλ' ἡ γένεσις...ἆρα οὐ διὰ τοῦτο χαλεπωτέραν δώσει δίκην, ὡς καταγέλαστα ἀπologουμένος;* ‡Chrys.*prov.*3(2.761B); *ὅρα...πόσα κακὰ συνέστησεν ὁ διάβολος ἀπὸ τῆς εἰ.· ὑπεροψίαν ἀρετῆς· ἐκλύει γὰρ ψυχὴν κἂν σφόδρα πρόθυμος ᾖ πρὸς τοὺς ὑπὲρ αὐτῆς ἱδρῶτας, ὅταν πείσῃ, ὅτι τῶν γενομένων οὐδέν ἐστιν ἐφ' ἡμῖν εὐέμπτωτον πρὸς πονηρίαν ἔργον ib.*(762D); *ib.*5(769B); **2.** ass. astrology *διὰ τῆς...περιφορᾶς τῶν ἄστρων...τῆς αὐτῆς τυχεῖν...εἰ.* Eus.*p.e.*6.6(253D; M.21.432A); *ἠρόμην αὐτόν* [sc. a pagan philosopher] *εἰ θεόν τινα οἴεται τὸν κατὰ πάντων ἔχοντα κράτος, τὸν τῷ ὄνόματι τῆς εἰ. ἀποκαλούμενον...ὁ δὲ πολλήν μου καταγνούς...οὔ μοι δοκεῖς κατανενοηκέναι, φησί, τῶν οὐρανίων οὐδέν. ἢ γὰρ ἂν ἔγνως τῆς εἰ. τὴν δύναμιν, καὶ ὅπως κατελήφθη τῶν καθ' εἱρμὸν ἀπαραβάτως γινομένων ἡ δύναμις. ἐμοῦ...πρὸς τοῦτον ξενοφωνουμένου τὸν λόγον, καί τι σαφέστερον ἀξιοῦντος μαθεῖν, πότερον δύναμίν τινα προαιρετικὴν αὐτοκρατῆ...τὴν εἰ. εἶναι φαντάζεται...ὁ τῶν οὐρανίων, φησίν, ἐπισκεμμένος τὴν κίνησιν, τόν τε ζωδιοφόρον κύκλον...ὁ...τοιαῦτα κατανοήσας, εἴσεται τῆς εἰ. τὸ σημαινόμενον, ὅτι τὸ εἱρμῷ τινι ἀπαραβάτῳ κατὰ τὴν ποιὰν συμπλοκὴν τῶν*

ἀστέρων ἀναγκαίως ἀποτελούμενον τῷ ὀνόματι τῆς εἱ. διηρμήνυται Gr. Nyss.*fat.*(M.45.149B–D); this view discussed, *ib.*(152Aff.); hence **3.** implies absurdity ζῶον οὐκ ἔστιν, ἐν περιγραφῇ οὐχ ὁρᾶται, θεὸς οὐ νομίζεται...ὃ δὲ μηδέν ἐστι τούτων, τί ἐστιν; ἀλλ' ἔοικε παρ' ὑμῶν τὸ ἀεὶ ἑνεστὼς τοῦ χρόνου, εἱ. λέγεσθαι· πάσῃ γὰρ κινήσει...ὁ χρόνος συμπαρεκτείνεται. διαφέρει δὲ οὐδέν, ἢ ὕδατι προσκαθήμενον τῇ κινήσει τοῦ ῥεύματος ἀποσημειοῦσθαι τὰ ἀκαρῆ διὰ τοῦ ἀεὶ ἑνεστῶτος χρόνου τμήματα,...ἢ κινουμένων ἄστρων. εἷς γὰρ ἐπὶ πάντων τῶν μεταβατικῶς κινουμένων ὅρος κινήσεως...εἰ δὲ οὔτε ἡ τῶν ῥείθρων φορά, οὔτε ἡ τῶν πλοίων κίνησις...τοῦ χρόνου τὰ διαστήματα εἱ. ποιεῖ, πῶς τὰ χρονικὰ σημεῖα τῆς τῶν ἀστέρων κινήσεως εἰς εἱ. γένεσιν πλάσσετε, καὶ φάτε τήνδε τὴν ὥραν, ἢ τῆς ὥρας τὸ πολλοστημόριον ὅπερ τῷδε τῷ σημείῳ τῆς τῶν ἄστρων κινήσεως ἐσημειώθη, εἱ. γίνεσθαι; *ib.*(160B,C); εἰ ταῦτα τὰ φαινόμενα ἡμῖν κατ' ἀνάγκην τινὸς εἱ. ἐστὶ τοιαῦτα, πάντως καὶ τῆς ὑπερκειμένης ἐκείνης ἀνάγκης ἑτέραν αἰτίαν ἀναγκαστικὴν τῆς τοιαύτης καταστάσεως προσεπινοήσει ὁ λόγος, κἀκείνης ἄλλην, καὶ πάλιν ἄλλην τῆς ἄλλης, καὶ οὕτως εἰς ἄπειρον προϊὼν ὁ λόγος, οὐδαμοῦ στήσεται εἱμαρμένην εἱμαρμένης *ib.*(161C); εἱ. δὲ παρεισάγεις, ὡς ἐξ αὐτῆς γίνεσθαι τὰ τῷ ἀνθρώπῳ συμβαίνοντα καὶ ἄλλοις...εἰ γὰρ εἱμαρμένης τὸ σοφίζεσθαι τὸ συνετίζεσθαι τὸ λογικὸν γεννᾶσθαι καὶ ἄλογον...παυσάσθωσαν νόμοι· ἐπικρατεῖ γὰρ ἡ εἱ. μοιχῶν τε καὶ ἄλλων...ἀργείτωσαν αἱ διατριβαί, παυσάσθωσαν σοφισταί τε καὶ ῥητόρες...εἷπερ ἐξ εἱ. τυγχάνει τῶν ἐπιστημῶν καὶ μὴ ἐκ γραμμάτων μαθήσεως ὁ πορισμὸς τῇ ἀνθρωπείᾳ φύσει. εἰ γὰρ εἱ. τὸν πεπαιδευμένον...παρεσκεύασε, μὴ μανθανέτω τις παρὰ τοῦ διδάσκοντος Epiph.*haer.*5.3(pp.184.27–185.9; M.41.204B,C); ‡Chrys.*prov.*5(2.770A,B); ἀμέλησον τῶν σαυτοῦ πάντων· πάντως γὰρ ἥξει σοι τὰ τῆς εἱ. ... οὐδὲν ἀπὸ τῆς ῥᾳθυμίας τῆς σῆς ἡ τῆς εἱ. ῥᾳθυμία παραβλαβήσεται *ib.*(772A).

E. εἱ. and free will; **1.** belief in εἱ. destroys scriptural teaching on free will, Chrys.*hom.62.3 in Mt.*(7.623E); ref. Is.1:19f. τὸ γὰρ στόμα κυρίου ἐλάλησε ταῦτα. εἶδες πῶς ὁ θεὸς φθέγγεται καὶ ποίους τίθησι νόμους; ἄκουσον καὶ τῆς εἱ. ... πῶς ἐναντίους εἰσάγει θεσμούς... εἶπεν ὁ θεός, ἐὰν θέλητε, καὶ ἐὰν μὴ θέλητε, κυρίους ἡμᾶς ποιῶν ἀρετῆς καὶ κακίας...ἐκεῖνος δὲ τί φησιν; ὅτι τὸ εἱμαρμένον οὐ δυνατὸν ἐκφυγεῖν, κἂν θέλωμεν, κἂν μὴ θέλωμεν ‡Chrys.*prov.*2(2.758B); **2.** even believers in εἱ. act on assumption of free will, Eus.*p.e.*6.6 (244B; M.21.416B) al.; ‡Chrys.*prov.*3(2.762B); εἰ φαύλους καὶ ἀγαθοὺς εἱ. ποιεῖ, τίνος ἕνεκεν παραινεῖς τῷ παιδί, τίνος ἕνεκεν νουθετεῖς;...εἰ πλουσίους καὶ πένητας ποιεῖ, μὴ πέμψῃς εἰς διδασκαλεῖα,...ἀλλ' ἐπίτρεψον τῇ εἱ. τὰ κατ' αὐτόν...ὁρᾷς πῶς ἐν τοῖς ἐλάττοσι διαπιστῶν αὐτῆς τὴν δύναμιν, ἐν τοῖς μείζοσιν αὐτῇ πιστεύεις; εἰ γὰρ ὄντως εἱ. ἐστίν, ἄφες τὸν παῖδα καὶ πονηροῖς ἀνδράσι συγγίνεσθαι *ib.*5(770C,D); **3.** free will affirmed against εἱ.: ἡμέτερον ἔργον τὸ βιῶσαι καλῶς ἐστι...οὐδὲ...ὡς οἴονταί τινες, ἀπὸ εἱ. Or.*princ.*3.1.6(p.201.9; M.11.256B); ἡμέτερον προκρίνειν γὰρ τὰ κρείττω...οὐ δουλεύοντας εἱ. Meth. *symp.*8.13(p.98.20; M.18.161A); οἰκεται μὲν τὰ τῆς εἱ., καὶ οὐδεμίᾳ ἀνάγκῃ τὰ ἡμέτερα ἄγεται, πάντα δὲ ἐλευθερίᾳ προαιρέσεως τετίμηται Chrys.*hom.div.*8(12.381D); ref. S. Paul's conversion ποῦ τοίνυν εἰσὶν οἱ τὴν τῆς εἱ. ἀνάγκην ἐπιτειχίζοντες τῇ τῆς προαιρέσεως ἐλευθερίᾳ; id.*hom.22.4 in ICor.*(10.197C).

F. man not subject to εἱ.; **1.** gen. statement εἰ δὴ οὖν τις τὰ κατὰ φύσιν ἤτοι τοῦ σώματος ἢ καὶ τῆς ψυχῆς, εἱ. ὀνόματι χρώμενος, ὑπ' αἰτίαν ἀνάγκης καταβάλλοι, διαμάρτοι ἂν τῆς οἰκείας προσηγορίας... εἰ γὰρ ἀπαράλλακτόν φασιν εἶναι τὴν εἱ., καὶ μὴ δύνασθαί τι παρ' αὐτὴν γίνεσθαι (ἀνάγκην γὰρ εἶναι ἀπαραίτητον), πολλὰ δέ, ὡς ἔφην, παρὰ τὰ κατὰ φύσιν καὶ ψυχῇ καὶ σώματι συμβαίνει, οὐκ ἂν ὀρθῶς τις ὀνομάζοι, ταὐτὸν εἶναι λέγων εἱ. καὶ φύσιν Eus.*p.e.*6.6(246C,D; M.21.420A,B); **2.** proofs, from martyrs' lives, *ib.*(253B; M.429D); from pagan philosophers, *ib.*6.7(261C; M.445A); and from scripture, *ib.*6.9 (272D; M.461D); from difference of individual fortunes εἰ οὖν καὶ πάντα καὶ ἀεὶ δύναται ἡ εἱ. αὕτη, πάντα ἐπὶ πάντων δυνήσεται. ἀλλὰ μὴν πολλαὶ καὶ ποικίλαι τοῖς ἀνθρώποις τοῦ βίου διαφοραί, κατά τε τὰς ἀξίας καὶ τὰς περιουσίας...ἆρα τὸ μὴ πάντα δύνασθαι τὴν ἀναπλασθεῖσαν ἐκείνην τῷ λόγῳ...εἱ., ἡ τῶν ἀποτελεσμάτων ἀνισότης...ἐπιδείκνυσιν. εἰ γὰρ τὸ μακρόβιον δυνάμεως ἔργον νομίζομεν, ἀσθενείας ...ἐστὶ τὸ ὠκύμορον. οὐκοῦν, τὴν μὲν ἀσθενεῖν τῶν εἱ. τὴν δὲ δύνασθαι δογματίζειν προσήκει Gr.Nyss.*fat.*(M.45.157A,B).

G. belief in εἱ. and Christianity; **1.** incompatible ὁ...εἱ. εἰσάγων ἄντικρυς θεὸν καὶ θεοῦ πρόνοιαν ἐξωθεῖ· ὥσπερ ὁ τὸν θεὸν ἐφιστὰς τοῖς πᾶσιν ἀνέλοι ἂν τὸν περὶ εἱμαρμένης λόγον. ἢ γὰρ ταὐτὸν ἂν εἴη ὁ θεὸς καὶ εἱ., ἢ θάτερον διεστὼς ἑτέρου. ταὐτὸν μὲν οὖν οὐκ ἂν γένοιτο Eus.*p.e.*6.6(252A; M.21.428C); detailed refutation of opinion that God and εἱ. are identical, *ib.*(252A,B; M.428C–429A); εἴρηται δὲ ἡμῖν ἐν ἄλλοις λόγοις πολλὰ πρὸς ἀνατροπὴν τῶν γένεσιν καὶ εἱ. νομιζόντων...ἐσχάτη δὲ αὐτοῖς ἀπορία...τοῖς καὶ ἀνάστασιν ὁμολογοῦσιν καὶ κρίσιν δικαίαν ὁριζομένοις. πῶς γὰρ δύναται κρίσις εἶναι καὶ εἱ.; Epiph.*haer.*16.3(p.212.13ff.; M.41.252B–253A); Chrys.*hom.45.4 in Jo.*(8.267D); discussion of opposition between εἱ. and πρόνοια, id. *oppugn.*3.10(1.92E); ‡Chrys.*prov.*2(2.756C); **2.** power of εἱ. destroyed by Christ ὁ κύριος...ὁ κατελθὼν εἰς γῆν, ἵνα μεταθῇ τοὺς εἰς τὸν Χριστὸν πιστεύσαντας ἀπὸ τῆς εἱ. εἰς τὴν ἐκείνου πρόνοιαν Clem.*exc. Thdot.*74(p.130.22; M.9.693A); ἡ γέννησις σωτῆρος γενέσεως ἡμᾶς καὶ εἱμαρμένης ἐξέβαλεν *ib.*76(p.130.30; 693B); μέχρι τοῦ βαπτίσματος οὖν ἡ εἱ., φασίν, ἀληθής, μετὰ δὲ τοῦτο οὐκέτι ἀληθεύουσιν οἱ ἀστρολόγοι *ib.*78(p.131.15; 693D); εἱ. ἀνεῖλε [sc. Χριστός] Chrys.*hom. 6.1 in Mt.*(7.84B); **3.** superiority of Christianity ἡμεῖς δὲ καὶ εἱ. ἐσμὲν ἀνώτεροι καὶ ἀντὶ πλανητῶν δαιμόνων ἕνα τὸν ἁπλανῆ δεσπότην μεμαθήκαμεν καὶ οὐ καθ' εἱμαρμένην ἀγόμενοι τοὺς ταύτης νομοθέτας παρῃτήμεθα Tat.*orat.*9(p.10.7; M.6.825B,C); πῶς οὖν γένεσιν τὴν καθ' εἱμαρμένην ἀποδέξομαι τοιούτους [sc. pagan gods] αὐτῆς τοὺς οἰκονόμους θεωρῶν;...τί μοι καθ' εἱ. ἀγρυπνεῖς διὰ φιλαργυρίαν; τί δέ μοι καθ' εἱ. πολλάκις ὀρεγόμενος πολλάκις ἀποθνήσκεις; ἀπόθνησκε τῷ κόσμῳ παραιτούμενος τὴν ἐν αὐτῷ μανίαν *ib.*11(p.11.25; 829A); Eus. *p.e.*6.6(253D; M.21.432A); **4.** εἱ. not presupposed by belief in prophecy ὅπως δὲ μή τινες ἐκ τῶν προλελεγμένων ὑφ' ἡμῶν δοξάσωσι καθ' εἱμαρμένης ἀνάγκην φάσκειν ἡμᾶς τὰ γινόμενα γίνεσθαι. τὰς τιμωρίας ...καὶ τὰς ἀγαθὰς ἀμοιβὰς κατ' ἀξίαν τῶν πράξεων ἑκάστου ἀποδίδοσθαι ...ἀληθὲς ἀποφαινόμεθα· ἐπεὶ εἰ μὴ τοῦτό ἐστιν, ἀλλὰ καθ' εἱμαρμένην πάντα γίνεται, οὔτε τὸ ἐφ' ἡμῖν ἐστιν ὅλως...εἰ δὲ εἶμαρτο ἢ φαῦλον ἢ σπουδαῖον εἶναι, οὐκ ἂν ποτε τῶν ἐναντίων δεκτικὸς ἦν...ἀλλ' οὐδ' οἱ μὲν ἦσαν σπουδαῖοι, οἱ δὲ φαῦλοι, ἐπεὶ τὴν εἱ. αἰτίαν φαύλων καὶ ἐναντία ἑαυτῇ πράττουσαν ἀποφαινόμεθα...ἀλλ' εἱ. φαμὲν ἀπαράβατον ταύτην εἶναι, τοῖς τὰ καλὰ ἐκλεγομένοις τὰ ἄξια ἐπιτίμια, καὶ τοῖς ὁμοίως τὰ ἐναντία τὰ ἄξια ἐπίχειρα Just.*Iapol.*43.1–7(M.6.392C–393B); *ib.*44.11 (396B).

H. as belief of Pharisees, Hipp.*haer.*9.28(p.262.6ff.; M.16.3407A, B); *Const.App.*6.6.3; and Sadducees, Hipp.*haer.*9.29(p.262.13; 3407B).

I. εἱ. not a divinity, Clem.*prot.*10(p.73.25; M.8.217A).

εἰμί, *to be* (τὸ εἶναι *being*; ὁ ὤν, τὸ ὄν *he who is, that which is*; τὰ ὄντα *things that are*, i.e. *creatures*, occur freq. in same passages, hence are not treated separately);

A. God as being and source of all being πίστευσον ὅτι εἷς ἐστιν ὁ θεός, ὁ...ποιήσας ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι τὰ πάντα Herm.*mand.*1.1; τοῦ εἶναι πᾶσι τοῖς ἄλλοις αἴτιον, τοῦτο δή ἐστιν ὁ θεός Just.*dial.*3.5 (M.6.481B); ὁ λόγος ἡμῶν ἕνα θεὸν ἄγει...αὐτὸν μὲν οὐ γενόμενον (ὅτι τὸ ὂν οὐ γίνεται ἀλλὰ τὸ μὴ ὄν) Athenag.*leg.*4.2(M.6.900A); ὁ μὲν θεὸς...συνέχων τὰ πάντα φθάνει εἰς ἕκαστον τῶν ὄντων, μεταδιδοὺς ἑκάστῳ ἀπὸ τοῦ ἰδίου τὸ εἶναι, ὅπερ ἐστίν Or.*princ.*1.3.5(p.56.1f.; M. 11.150B); θέλων [sc. θεός] ὁμοῦ καὶ δυνάμενος...ὕλην ὥσπερ τινὰ καὶ οὐσίαν τῆς τῶν ὅλων γενέσεως...προβεβλημένος, ὡς μηκέτι εὐλόγως φάναι δεῖν ἐξ οὐκ ὄντων εἶναί τι τῶν ὄντων· οὐδὲ γὰρ ἂν εἴη τι τὸ ἐκ μὴ ὄντος. πῶς γὰρ τὸ μὴ ὂν ἑτέρῳ τοῦ εἶναι γένοιτ' ἂν αἴτιον; πᾶν δὲ ὅ τί ποτε καὶ ἔστιν ἐξ ἑνὸς τοῦ μόνου ὄντος καὶ προόντος, τοῦ δὴ καὶ φήσαντος, 'ἐγώ εἰμι ὁ ὤν', τὸ εἶναι λαβὸν ἔχει, ὅτι δὴ μόνος ὢν καὶ ἀεὶ ὢν αὐτὸς πᾶσι, τοῖς ἐξ αὐτοῦ τὸ εἶναι κτησαμένοις, αἴτιος τοῦ εἶναι κατέστη Eus.*d.e.*4.1(p.151.22ff.; M.22.252D); θεὸς ἦν μὲν ἀεί, καὶ ἔστι, καὶ ἔσται· μᾶλλον δέ, ἔστιν ἀεί. τὸ γὰρ ἦν, καὶ ἔσται, τοῦ καθ' ἡμᾶς χρόνου τμήματα...ὁ δὲ ὢν ἀεί, καὶ τοῦτο αὐτὸς ἑαυτὸν ὀνομάζει... ὅλον γὰρ ἐν ἑαυτῷ συλλαβὼν ἔχει τὸ εἶναι Gr.Naz.*or.*45.3(M.36.625C); τοῦ γὰρ ὄντος ἐξῆπται τὰ ὄντα, καὶ οὐκ ἔνεστιν εἶναί τι μὴ ἐν τῷ ὄντι τὸ εἶναι ἔχον Gr.Nyss.*or.catech.*25(p.95.6; M.45.65D); id.*anim.et res.* (M.46.136A); κυριώτερον πάντων τῶν ἐπὶ τοῦ θεοῦ ὀνομάτων εἶναι, τὸ ὄν [sc. ὁ ὤν]. ὅλον γὰρ ἐν ἑαυτῷ συλλαβὸν ἔχει τὸ εἶναι, οἷόν τι πέλαγος οὐσίας ἄπειρον ‡Cyr.*Trin.*11(6^{3}.17C; M.77.1145B); ἐπειδὴ ὧν ἐστιν ὁ θεὸς ὑπερουσίως, δωρεῖται δὲ τὸ εἶναι τοῖς οὖσι...πολλαπλασιάζεσθαι λέγεται τὸ ἓν ὃν ἐκεῖνο τῇ ἐξ αὐτοῦ παραγωγῇ τῶν πολλῶν ὄντων...τῷ πάντων εἶναι τῶν ὄντων ὑπερουσίως ἐξηρημένον Dion.Ar.*d.n.*2.11 (M.3.649B); ἐκ τοῦ ὄντος, αἰών, καὶ οὐσία, καὶ ὄν...τὰ ἐν τοῖς οὖσιν ὄντα...καὶ ὑφεστῶτα. καὶ γάρ, ὁ θεὸς οὔ πως ἐστιν ὤν, ἀλλ' ἁπλῶς καὶ προειληφώς· διὸ καὶ βασιλεὺς λέγεται τῶν αἰώνων, ὡς ἐν αὐτῷ καὶ περὶ αὐτὸν παντὸς τοῦ εἶναι καὶ ὄντος καὶ ὑφεστηκότος, καὶ οὔτε ἦν, οὔτε ἔσται...μᾶλλον δὲ οὔτε ἐστίν· ἀλλ' αὐτός ἐστι τὸ εἶναι τοῖς οὖσι· καὶ οὐ τὰ ὄντα μόνον, ἀλλὰ καὶ αὐτὸ τὸ εἶναι τῶν ὄντων, ἐκ τοῦ προαιωνίως ὄντος *ib.*5.4(817C,D); *ib.*5.5(820–C) et passim; commented upon τὸ ὄν, ἐπὶ τοῦ θεοῦ λεγόμενον, ὅλου συλλήβδην τοῦ εἶναι ὑπέρεστι· τοῦτο γάρ φησιν ὑπερούσιον, ἀντὶ τοῦ ὑπὲρ τὸ ἐν γενέσει ὄν· τὸ γὰρ ὂν οὐσία· ἀπὸ γὰρ τοῦ εἶναι τὸ ὄνομα παρῆκται τῆς οὐσίας. ὁ οὖν θεός, ὡς καὶ τοῦ εἶναι ὑπερκείμενος (τὸ γὰρ εἶναι ἐξ αἰτίας τινὸς δηλοῖ εἰς τὸ εἶναι ἀχθῆναι) ὧν ὑπερουσίως νοεῖται· διὸ καὶ αἰὼν λέγεται εἶναι τῶν παρηγμένων ὑπ' αὐτοῦ αἰώνων· ὅπερ γὰρ μήτε ἦν, μήτε ἔσται, ἀλλ'

ἔστι μόνον, τοῦτο ἑστὼς ἔχον τὸ εἶναι, τὸ μὴ μεταβάλλειν εἰς τὸ ἔσται, μήτ' αὖ μεταβεβηκέναι ἀπὸ τοῦ [ἦν εἰς τὸ] ἔστι, τοῦτό ἐστιν αἰών· οὐ γὰρ μόνον τὰ ὄντα πάντα δεῖ παρεῖναι τῷ παντὶ καὶ ὅλῳ, ἀλλὰ τὸ μηδὲν τοῦ ποτε μὴ ὄντος Max.*schol.d.n.*5.4(M.4.313B,C); cf.Dion.Ar.*e.h.*1.3 (M.3.373C); id.*d.n.*1.5(M.3.593D); ὁ ὢν εἰς πάντα τὰ ὄντα ἐκτείνεται, καὶ ὑπὲρ τὰ ὄντα ἐστίν *ib.*5.1(816B).

B. his existence proved τοῦ μὲν γὰρ εἶναι θεόν,...καὶ ὅψις διδάσκαλος, καὶ ὁ φυσικὸς νόμος Gr.Naz.*or.*28.6(M.36.32C); ὅτι μὲν οὖν ἐστι θεός...οὐκ ἀμφιβάλλεται...ἡ γνῶσις τοῦ εἶναι θεὸν φυσικῶς ἡμῖν ἐγκατέσπαρται Jo.D.*f.o.*1.3(M.94.793B,C); ἡ τῆς κτίσεως συνοχή, καὶ συντήρησις, καὶ κυβέρνησις, διδάσκει ἡμᾶς ὅτι ἐστὶ θεός *ib.*(796C); ὅτι μὲν οὖν ἐστι θεός, δῆλον. τί δέ ἐστι κατ' οὐσίαν... ἄγνωστον *ib.*1.4(797B).

C. God as beyond being (negative theology) ὑπερούσιος οὐσία... κατὰ μηδὲν τῶν ὄντων οὖσα· καὶ αἴτιον μὲν τοῦ εἶναι πᾶσιν, αὐτὸ δὲ μὴ ὄν Dion.Ar.*d.n.*1.1(M.3.588B); εἰ δὲ καὶ ὑπὲρ πάντα τὰ ὄντα ἐστὶν... τἀγαθόν, καὶ τὸ ἀνείδεον εἰδοποιεῖ...οὐσίας ὑπερβολὴ...καὶ εἰ θεμιτὸν φάναι, τἀγαθοῦ τοῦ ὑπὲρ πάντα τὰ ὄντα, καὶ αὐτὸ τὸ μὴ ὂν ἐφίεται, καὶ φιλονεικεῖ πῶς ἐν τἀγαθῷ καὶ αὐτὸ εἶναι *ib.*2.11(697A); αὐτὸς αἴτιος τοῦ εἶναι τὰ πάντα, καὶ πρὸ τοῦ εἶναι, ὡς ἐντεῦθεν δηλοῦται· τὸ γὰρ αὐτὸ εἶναι οὐκ αὐτό ἐστιν ὁ θεός, διὰ τὸ εἶναι τὸν θεόν, ἀλλὰ διὰ τὸν θεόν. καὶ τὸ εἶναί ἐστι, καὶ λέγεται· διὸ ἐν τῷ θεῷ ἐστι τὸ εἶναι, ὡς ἰδέα· οὐ μὴν ὁ θεός, ἐν τῷ εἶναί ἐστι. πρὸ γὰρ τοῦ εἶναι ἦν· ὅμως διὰ τὸ πάντων αἴτιος εἶναι...καὶ ἔξω πάντων ἐστίν, ὡς αἴτιος τούτων Max.*schol.d.n.* 5.8(M.4.325B).

D. uncreated and created being contrasted; **1.** God as ὁ ὤν or τὸ ὄν; **a.** opp. τὸ μὴ ὄν (= creatures): πανταχόθεν καθαρεύοι τὸ ὄντως ὂν τῆς πρὸς τὸ μὴ ὄν κοινωνίας Gr.Nyss.*Eun.*9(2 p.221.19; M.45.820D); οὐδὲ γάρ ἐστιν ὁ θεὸς ὃν ἤτοι κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως τοῖς οὖσιν, ἵνα δηλωθῇ τελείως διά τινος τῶν ὄντων, ἀλλ' ὁ ὤν, τουτέστιν ὁ κυρίως ...ἔχων τὴν ὕπαρξιν, παρ' οὗ καὶ πάντα τὰ ὄντα διὰ ἀγαθότητα μόνην ἐξ οὐκ ὄντων προήχθησαν...καὶ καθ' ὁμωνυμίαν ὄντα προσηγορεύθησαν ‡Gr.Nyss.*hom.6.43 in Jo.*(p.216.22ff.); cf. ὃ δὲ ἤρξατο, ἦν ὅτε οὐκ ἦν. οὗ δὲ πρεσβύτερον τὸ οὐκ ἦν, τοῦτο οὐ κυρίως ὄν. τὸ δὲ μὴ κυρίως ὄν, πῶς θεός; Gr.Naz.*or.*42.17(M.36.477C); **b.** opp. τὰ ὄντα: ἔστι γὰρ τοῦτο τῆς πάντων αἰτίας...τὸ πρὸς κοινωνίαν ἑαυτῆς τὰ ὄντα καλεῖν, ὡς ἑκάστη τῶν ὄντων ὥρισται πρὸς τῆς οἰκείας ἀναλογίας. πάντα μὲν οὖν τὰ ὄντα μετέχει προνοίας...οὐ γὰρ ἂν ἦν, εἰ μὴ τῆς τῶν ὄντων οὐσίας καὶ ἀρχῆς μετειλήφει. τὰ μὲν οὖν ἄζωα πάντα, τῷ εἶναι αὐτῆς μετέχει· τὸ γὰρ εἶναι πάντων ἐστὶν ἡ ὑπὲρ τὸ εἶναι θεότης Dion.Ar.*c.h.* 4.1(M.3.177C,D); νοῦς ὤν, ὄντως νοεῖ τὰ ὄντα ὡς ὤν. εἰ οὖν νοῶν ἑαυτὸν τὰ ὄντα νοεῖ, αὐτός ἐστι τὰ ὄντα· ἢ γὰρ ἑτέρωθι ὄντα αὐτὰ νοήσει, ἢ ἐν ἑαυτῷ, ὡς αὐτοῦ ὄντα· ἀλλαχοῦ μὲν ὄντα οὖν οὐ δυνατὸν νοῆσαι· ποῦ γὰρ ὄντα ἐν αἰσθητοῖς; τὰ γὰρ αἰσθητὰ οὐκ εἰσὶν ὄντα, ἅτε τρεπτὰ ὄντα, καὶ γινόμενα, καὶ ἀπολλύμενα. ἑαυτὸν οὖν ἄρα καὶ ἐν ἑαυτῷ νοεῖ. ἐπειδὴ δὲ καὶ ποιητὴς τῶν ὄντων ἐστὶν ὁ θεός, ἐν τῷ μήπω ὄντι νοήσει αὐτά· καὶ ἃ νοεῖ, οὐ τύπους λαμβάνων ἀφ' ἑτέρων, αὐτὸς ὢν τῶν ὄντων παράδειγμα· ὥστε οὔτε αὐτὸς ἐν τόπῳ, οὔτε τὰ ἐν αὐτῷ ὡς ἐν τόπῳ· ἀλλ' ἔχει αὐτὰ ὡς ἑαυτὸν ἔχων, καὶ ἑνὼν αὐτοῖς, πάντων μὲν ὁμοῦ ὄντων, καὶ ἐν ἀμερεῖ ὄντων ἐν αὐτῷ· διακεκριμένων δέ, ἐν τῷ ἀμερεῖ ἀμερῶς. αἱ τοίνυν νοήσεις αὐτοῦ εἰσι τὰ ὄντα· τὰ δὲ ὄντα εἰσὶ τὰ εἴδη Max.*schol.d.n.*5.6(M.4.320B,C); πάντα τὰ ὄντα, ἢ κτιστά ἐστιν, ἢ ἄκτιστα. εἰ γὰρ κτιστά, πάντως καὶ τρεπτά· ὧν γὰρ τὸ εἶναι ἀπὸ τροπῆς ἤρξατο, ταῦτα τῇ τροπῇ ὑποκείσεται πάντως...εἰ δὲ ἄκτιστα...πάντως καὶ ἄτρεπτα. ὧν γὰρ τὸ εἶναι ἐναντίον, τούτων καὶ ὁ τοῦ πῶς εἶναι λόγος ἐναντίος Jo.D.*f.o.*1.3(M.94.796A,B); οὐδὲν γὰρ τῶν ὄντων ἐστίν [sc. ὁ θεός]· οὐχ ὡς μὴ ὤν, ἀλλ' ὡς ὑπὲρ πάντα τὰ ὄντα, καὶ ὑπὲρ αὐτὸ τὸ εἶναι ὢν *ib.*1.4(800B); **2.** Gen.1:1 contrasted with Jo. 1:1 τί γὰρ...κοινὸν ἔχει πρὸς τό, 'ἐποίησε', τό, 'ἦν'; τί δὲ ὁ θεὸς πρὸς τὸν ἄνθρωπον;...ἐνταῦθα γὰρ τό, 'ἦν', οὐ δείκνυσι τὸ ἀΐδιον μόνον, ἀλλὰ καὶ τό, 'ἐν ἀρχῇ ἦν', καὶ τό, 'ὁ λόγος ἦν'. ὥσπερ οὖν τό, ὤν, ὅταν μὲν περὶ ἀνθρώπου λέγηται, τὸν ἐνεστῶτα χρόνον δηλοῖ μόνον· ὅταν δὲ περὶ θεοῦ, τὸ ἀΐδιον δείκνυσιν· οὕτω καὶ τὸ 'ἦν', περὶ μὲν τῆς ἡμετέρας λεγόμενον φύσεως, τὸν παρελθόντα σημαίνει χρόνον ἡμῖν, καὶ αὐτὸν τοῦτον πεπερατωμένον· ὅταν δὲ περὶ θεοῦ, τὸ ἀΐδιον ἐμφαίνει Chrys. *hom.3.2 in Jo.*(8.18E–19A); *ib.3.3*(19D–20A); ὅπου...δημιουργία, ἔταξε Μωυσῆς τὸ ἐποίησεν, ὅπου δὲ δημιουργὸς ἔταξεν ὁ εὐαγγελιστὴς τὸ ἦν. πολὺ δὲ τὸ μέσον τοῦ ἐποίησε καὶ τοῦ ἦν· τὸ μὲν γὰρ ἐγένετο μὴ ὄν, ὁ δὲ ἦν ἀεὶ ὤν. ἐν ἀρχῇ ἐποίησε καὶ ἐν ἀρχῇ ἦν· θεοῦ γὰρ τὸ εἶναι, κτίσματος δὲ τὸ γίνεσθαι, ὥσπερ καὶ ὁ εὐαγγελιστὴς μερίζει...ὃ ἦν ἐν ἀρχῇ ζωὴ ἦν. ἑξάκις λέγει τὸ ἦν, ἵνα ἑρμηνεύσῃ τὸ ὤν. περὶ δὲ τοῦ οἰκέτου, ὅτε ἐκήρυξε τὸν ὄντα, λέγει· ἐγένετο ἄνθρωπος. θεὸς ἦν, ἄνθρωπος δ' ἐγένετο †Jo.D.*creat.*1(p.59); **3.** exeg. 1Cor.1:28 and Rom.4:17 τίνα δὲ τὰ μὴ ὄντα ἢ οἱ ἑστερημένοι τοῦ ὄντος καὶ μὴ μετέχοντες αὐτοῦ, οὕτω καλούμενοι πρὸς ἀντιδιαστολὴν τῶν μετεχόντων τοῦ εἰπόντος, 'ἐγώ εἰμι ὁ ὤν'; καλεῖ δὲ τὰ μὴ ὄντα ἵνα ὑπακούσασιν αὐτοῖς χαρίσηται τὸ εἶναι. ἀλλ' ἴσως τις πρὸς ταῦτα ἐρεῖ, πῶς ὁ ἀπόστολος ἑτέρωθί φησι μεθ' ἕτερα, 'ἐξελέξατο ὁ θεὸς τὰ μὴ ὄντα ἵνα τὰ ὄντα καταργήσῃ'; ἀλλ' εὔδηλον ὡς ἕτερόν ἐστι τοῦτο σημαινόμενον τοῦ ὄντος καὶ μὴ ὄντος ὅσον ἀπὸ πάσης τῆς ἐκεῖσε συμφράσεως· ὄντες μὲν γὰρ ἐνθάδε οἱ κατὰ σάρκα σοφοὶ...μὴ ὄντες δὲ οἱ ἄλλως παρὰ τούτοις διακείμενοι ὡς πρὸς τὴν ἐκείνων ὑπόληψιν Or.*Rom.*4:17(*JTS* 13 p.361); Eph.1:1 ἐπὶ μόνων Ἐφεσίων εὑρομεν κείμενον τό, 'τοῖς ἁγίοις τοῖς οὖσι'· καὶ ζητοῦμεν...τί δύναται σημαίνειν. ὅρα οὖν εἰ μὴ ὥσπερ ἐν τῇ Ἐξόδῳ ὄνομά φησιν ἑαυτοῦ ὁ χρηματίζων Μωσεῖ τὸ ⟨ὁ⟩ ὤν, οὕτως οἱ μετέχοντες τοῦ ὄντος γίνονται ὄντες, καλούμενοι οἱονεὶ ἐκ τοῦ μὴ εἶναι εἰς τὸ εἶναι, 'ἐξελέξατο' γὰρ 'ὁ θεὸς τὰ μὴ ὄντα...ἵνα τὰ ὄντα καταργήσῃ.' καὶ ζητήσει τις, πῶς τὰ ὄντα καταργεῖ...ἐὰν γάρ τις μετεσχηκὼς τοῦ εἶναι ἐπιλαθόμενος τῆς μετοχῆς, ἑαυτῷ καταχαρίσηται τὴν τοῦ εἶναι αἰτίαν, καὶ μὴ τὴν πᾶσαν εὐχαριστίαν ἀναφέρῃ ἐπὶ τὸν ἐκ τοῦ μὴ εἶναι τὸ εἶναι αὐτῷ ὅμοιον κατ' εἰκόνα χαρισάμενον, τότε καταργεῖται τὸ ὄν id.*Eph.*1:1(p.235).

E. the being of the Son; **1.** (Marcellus), ref. Ex.3:14 'ἐγώ εἰμι ὁ ὤν', λέγει μὲν τῷ Μωσεῖ ὁ πατήρ, λέγει δὲ δηλονότι διὰ τοῦ λόγου Marcell.*fr.*56 ap.Eus.*Marcell.*2.2(p.40.35; M.24.792D); πῶς γὰρ ἐγχωρεῖ τὸν λέγοντα 'ἐγώ εἰμι ὁ ὤν' μὴ συνομολογεῖν ὅτι κατὰ ἀντιδιαστολὴν τοῦ μὴ ὄντος ὁ ὢν ἑαυτὸν εἶναί φησιν; εἰ δὲ τὸν υἱὸν ὑποστάσει διῃρημένον τοῦτο φάσκοι λέγειν τό, 'ἐγώ εἰμι ὁ ὤν', ταὐτὸν αὖθις περὶ τοῦ πατρὸς λέγειν νομισθήσεται· ἑκάτερον δὲ τούτων ἀσεβές id. *fr.*58 ap.Eus.*e.th.*2.19(p.123.16ff.; M.24.944B); εἶτ' οὖν ὁ πατὴρ λέγοι εἰθ' ὁ υἱὸς τό, 'ἐγώ εἰμι ὁ ὤν', ἀληθεύοι ἂν ἑκατέρως ὁ λόγος. ὅ τε γὰρ πατὴρ 'ὁ ὢν' εἴη ἄν, μόνος αὐτὸς ὢν 'ἐπὶ πάντων, καὶ διὰ πάντων, καὶ ἐν πᾶσιν θεός'...ὅ τε υἱὸς καὶ αὐτὸς χρηματίζων 'ὁ ὤν' ἀληθεύοι ἄν, μόνος ὢν υἱὸς μονογενὴς τοῦ ὄντος· ἀλλὰ καὶ εἰκὼν τοῦ ἀοράτου θεοῦ ὑπάρχων κατὰ τοῦτο εἴη ἂν αὐτοῦ εἰκών, καθ' ὃ μόνος ἦν αὐτὸς ὁ ὤν· διὸ καὶ αὐτὸς χρηματίζοι ἂν 'ὁ ὤν' Eus.*e.th.*2.20(p.129.28ff.; 953C); **2.** in early stages of Arian controversy; **a.** Arian position οὐκ ἦν πρὸ τοῦ γεννηθῆναι...οὐδὲ ἅμα τῷ πατρὶ τὸ εἶναι ἔχει...διὸ καὶ πρὸ τοῦ υἱοῦ ἐστιν [sc. Father]...καθὸ οὖν παρὰ τοῦ θεοῦ τὸ εἶναι ἔχει...κατὰ τοῦτο ἀρχὴ αὐτοῦ ὡς θεὸς αὐτοῦ καὶ πρὸ αὐτοῦ ὤν Ar.*ep. Alex.*(p.13.9; M.26.709B,C); λεγόντων ὅτι ἦν πότε ὅτε οὐκ ἦν ὁ υἱὸς τοῦ θεοῦ, καὶ γέγονεν ὕστερον ὁ πρότερον μὴ ὑπάρχων...'πάντα γάρ', φασίν, 'ὁ θεὸς ἐξ οὐκ ὄντων ἐποίησε', συναναλαμβάνοντες τῇ τῶν ἁπάντων...κτίσει καὶ τὸν υἱὸν τοῦ θεοῦ. οἷς ἀκολούθως καί φασιν αὐτὸν τρεπτῆς εἶναι φύσεως...καὶ τῇ ἐξ οὐκ ὄντων ὑποθέσει καὶ τὰς θείας τοῦ εἶναι αὐτὸν ἀεὶ συναιροῦντες γραφάς Alex.Al.*ep.Alex.*2(p.21. 8ff.; M.18.552A,B); **b.** refuted ὅτι ὁ υἱὸς τοῦ θεοῦ οὔτε ἐξ οὐκ ὄντων γεγένηται, οὔτε ἦν πότε ὅτε οὐκ ἦν, αὐτάρκης ἐπαίδευσεν Ἰωάννης ὁ εὐαγγελιστής...[Jo.1:1-8]...ἀλλὰ γὰρ καὶ ὅτι τοῖς ἐξ οὐκ ὄντων γενομένοις ὁ λόγος τοῦ θεοῦ οὐ συναριθμεῖται, πάντα δι' αὐτοῦ γεγονέναι φησὶν ὁ αὐτὸς 'Ἰωάννης...εἰ γὰρ πάντα δι' αὐτοῦ ἐγένετο, πῶς ὁ τοῖς γενομένοις τὸ εἶναι χαρισάμενος αὐτὸς ποτε οὐκ ἦν...αὐτὸς μὲν ἦν ἐν ἀρχῇ, πάντα δὲ δι' αὐτοῦ ἐγένετο [καὶ ἐξ οὐκ ὄντων ἐποίησεν]. ἐναντίον γὰρ δοκεῖ τοῖς ἐξ οὐκ ὄντων γενομένοις τὸ ὂν καὶ ἀφεστηκὸς σφόδρα *ib.*4 (p.22.4ff.; 553A,B); ἀσεβεστάτης οὖν φανείσης τῆς ἐξ οὐκ ὄντων ὑποθέσεως, ἀνάγκη τὸν πατέρα ἀεὶ εἶναι πατέρα· ἔστι δὲ πατὴρ ἀεὶ παρόντος τοῦ υἱοῦ, δι' ὃν χρηματίζει πατήρ...εἰ δὲ καὶ ἡ εἰκὼν τοῦ θεοῦ οὐκ ἦν ἀεί, δῆλον ὅτι οὐδὲ οὗ ἐστιν εἰκὼν ἔστιν ἀεί. ἀλλὰ καὶ τῷ μὴ εἶναι τὸν τῆς ὑποστάσεως τοῦ θεοῦ χαρακτῆρα συναναιρεῖται κἀκεῖνος ὁ πάντως ὑπ' αὐτοῦ χαρακτηριζόμενος *ib.*7(pp.23.28–24.5; 557B,C); **c.** orthodox confession of faith πιστεύομεν...εἰς μόνον ἀγέννητον πατέρα, οὐδένα τοῦ εἶναι αὐτῷ τὸν αἴτιον ἔχοντα...καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστόν...γεννηθέντα οὐκ ἐκ τοῦ μὴ ὄντος, ἀλλ' ἐκ τοῦ ὄντος πατρὸς *ib.*12(p.27.1ff.; 565A,B); **3.** Athanasian argument ὁ δὲ θεὸς ὢν ἐστι, καὶ οὐ σύνθετος· διὸ καὶ ὁ τούτου λόγος ὢν ἐστι, καὶ οὐ σύνθετος...τῶν μὲν γὰρ γενητῶν ἡ φύσις, ἅτε δὴ ἐξ οὐκ ὄντων ὑποστᾶσα, ῥευστή τις καὶ ἀσθενὴς...τυγχάνει· ὁ δὲ τῶν ὅλων θεὸς ἀγαθός...ἐστί... ἀγαθῷ γὰρ περὶ οὐδενὸς ἂν γένοιτο φθόνος· ὅθεν οὐδὲ τὸ εἶναί τινι φθονεῖ, ἀλλὰ πάντας εἶναι βούλεται...ὁρῶν οὖν τὴν γενητὴν πᾶσαν φύσιν...ῥευστὴν οὖσαν καὶ διαλυομένην· ἵνα μὴ...πάλιν εἰς τὸ μὴ εἶναι ἀναλυθῇ τὸ ὅλον...τῷ ἑαυτοῦ λόγῳ...τὴν σύμπασαν διακυβερνᾷ καὶ καθίστησιν, ἵνα, τῇ τοῦ λόγου ἡγεμονίᾳ...φωτιζομένη ἡ κτίσις, βεβαίως διαμένειν δυνηθῇ, ἅτε δὴ τοῦ ὄντως ὄντος ἐκ πατρὸς λόγου μεταλαμβάνουσα καὶ βοηθουμένη δι' αὐτοῦ εἰς τὸ εἶναι· μὴ ἄρα πάθῃ ὅπερ ἂν ἔπαθεν, εἰ μὴ ὁ λόγος αὐτὴν ἐτήρει, λέγω δὴ τὸ μὴ εἶναι Ath. *gent.*41(M.25.81C–84B); τὰ μὲν κτίσματα ὑπὸ τὴν ἀρχὴν πεποίηται, καὶ διαστηματικὴν ἀρχὴν τοῦ εἶναι ἔχει...ἀπὸ γὰρ ἀρχῆς τινος τοῦ μὴ εἶναί ποτε γέγονε καὶ ἐκτίσθη τὰ γενητά...οὐκοῦν τὰ μὲν κτίσματα ἤρξατο γίνεσθαι· ὁ δὲ τοῦ θεοῦ λόγος...οὐκ ἔχων ἀρχὴν τοῦ εἶναι, εἰκότως οὐκ ἤρξατο τοῦ εἶναι, οὐδὲ ἤρξατο γίνεσθαι, ἀλλ' ἦν ἀεί...καὶ τῶν μὲν γενητῶν τὸ εἶναι ἐν τῷ γίνεσθαι μετρεῖται, καὶ ἀπό τινος ἀρχῆς ἄρχεται ταῦτα διὰ τοῦ λόγου ποιεῖν ὁ θεός, ἵνα καὶ τὸ μὴ εἶναι,

πρὶν γενέσθαι, ταῦτα γινώσκηται· ὁ δὲ λόγος τὸ εἶναι οὐκ ἐν ἄλλῃ ἀρχῇ ἔχει, ἀλλ' ἐν τῷ πατρί id.*Ar.*2.57(M.26.268C–269B); ref. 2Cor.5:18 ὅτι, τοῦ θεοῦ ὄντος, τὰ πάντα παρ' αὐτοῦ διὰ τοῦ λόγου οὐκ ὄντα πρότερον εἰς τὸ εἶναι γέγονε, διὰ τοῦτο εἴρηται τὸ ἐκ τοῦ θεοῦ· ὁ δὲ λόγος, ἐπεὶ μὴ κτίσμα ἐστίν...ἔστι μόνος ἐκ τοῦ πατρός· τῆς δὲ τοιαύτης διανοίας γνώριμα τὸ εἶναι τὸν υἱὸν ἐκ τῆς οὐσίας τοῦ πατρός id.*decr.*19 (p.16.14; M.25.449B); **4.** Eunomian controversy; **a.** orthodox position ὁ υἱὸς πρὸ αἰῶνος ὤν, καὶ ἀεὶ ὤν, οὐκ ἤρξατο τοῦ εἶναί ποτε Bas. *Eun.*2.12(1.247B; M.29.593B); **b.** Eunomian contradiction λεγόντων, ἐκ τοῦ μὴ ὄντος αὐτὸν εἰς τὸ εἶναι παρῆχθαι *ib.*(247D; M.593C); ἤτοι γὰρ ὄντα, φησίν [sc. Eunomius], ἐγέννησεν ὁ θεὸς τὸν υἱόν, ἢ οὐκ ὄντα. ἀλλ' εἰ μὲν οὐκ ὄντα, μηδείς μοι, φησί, τόλμαν ἐπεγκαλείτω. εἰ δὲ ὄντα, οὐκ ἀτοπίας μόνον...ἀλλὰ καὶ πάσης εὐηθείας ὑπερβολὴν ὁ λόγος ἔχει· τῷ γὰρ ὄντι οὐ δεῖ γεννήσεως *ib.*2.14(248D,E; M.597B); μὴ ὄντα φαμὲν τὸν υἱὸν γεγεννῆσθαι *ib.*2.18(1.253C; M.609A); **c.** Basil's refutation, exeg. Jo.1:1 οὔτε τό, ἦν, διαβάντας τῷ λογισμῷ, εἰς τὸ ὅτε οὐκ ἦν δυνατὸν ὑπερκύψαι. ἀθέτησις γάρ ἐστι τοῦ ἦν, ἡ τοῦ ὅτι οὐκ ἦν ἐπίνοια *ib.*2.14(249C; M.600A); [Apoc.1:8] οἷον γὰρ τὸ ὤν, τοιοῦτον καὶ τὸ ἦν, ἀΐδιον ὁμοίως καὶ ἄχρονον...ἀνεπινόητον μὲν γὰρ τῆς ἀρχῆς τὸ πρεσβύτερον, ἀχώριστον δὲ ταύτης τοῦ θεοῦ λόγου τὸ εἶναι *ib.*(249D,E; M.600B); οὐ παύσῃ μὴ ὄντα προσαγορεύων...τὸν ὄντως ὄντα...τὸν πᾶσι τοῖς οὖσι τοῦ εἶναι παρεκτικόν;...ἐγὼ γάρ εἰμι, φησίν, ὁ ὤν. καὶ τούτοις οὐδεὶς ἀντερεῖ μὴ οὐχὶ ἐκ προσώπου τοῦ κυρίου εἰρῆσθαι... τίς οὖν ὁ αὐτὸς καὶ ἄγγελος καὶ θεός; ἆρα οὐχὶ περὶ οὗ μεμαθήκαμεν, ὅτι καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος; *ib.*2.18(253D; M.609A); εἰς τὸν κατόπιν χρόνον ἐπανελθόντες τῷ λόγῳ...μὴ εἶναί ποτε τὸν υἱὸν βλασφημοῦντες, ὡς τῇ μὲν ἑαυτοῦ φύσει μὴ ὄντα, χάριτι δὲ εἰς τὸ εἶναι ὑπὸ τοῦ θεοῦ παραχθέντα; εἶτα ἦν ὁ Παῦλος περὶ τῶν εἰδώλων ἀφῆκε φωνήν, εἰπών· ἐδουλεύσατε τοῖς φύσει μὴ οὖσι θεοῖς *ib.*2.19 (254C,D; M.612B); **d.** refutation by Gr. Nyss. πᾶσαν τὴν διὰ τῶν σοφισμάτων κατασκευὴν τὴν περὶ τοῦ μὴ εἶναί ποτε τὸν ὄντως ὄντα οὐδὲν ἄλλο ἢ παράβασιν τοῦ Χριστιανισμοῦ...εἶναι διοριζόμεθα. καὶ γὰρ εὐαγγελιστοῦ διὰ τῆς θεολογίας πανταχόθεν ἐξορίσαντος τὸ μὴ ὂν ἐκ τοῦ ὄντος καὶ διὰ τῆς συνεχοῦς τοῦ 'ἦν' ἐπαναλήψεως τὴν τοῦ μὴ εἶναι ὑπόνοιαν ἐπιμελῶς ἐξαλείψαντος, μονογενῆ δὲ...λόγον θεοῦ... κατονομάσαντος, παγίαν ἔχομεν ταύτην ἐν ἑαυτοῖς τὴν κρίσιν..., ὅτι εἰ θεός ἐστιν ὁ...υἱός, ἀεὶ χρὴ πιστεύειν αὐτὸν εἶναι, τὸν θεὸν πεπιστευμένον. ἀλλὰ μὴν εἰ ἀληθῶς ἐστι θεός, καὶ ἀεὶ πάντως ἔστι καὶ οὐδέποτε ἐν τῷ μὴ εἶναι καταλαμβάνεται. θεὸς γάρ...εἰ νῦν ἔστι, καὶ ἀεὶ πάντως ἦν. εἰ δέ ποτε μὴ ἦν, οὐδὲ νῦν ἔστιν ὅλως. ἀλλ' ἐπειδὴ τὸ υἱὸν εἶναι τὸν μονογενῆ θεὸν καὶ εἰσαεὶ διαμένειν...ὁμολογεῖται, τοῦτό φαμεν ὅτι ἐν τῷ πατρὶ ὢν οὐ καθ' ἕν μόνον ἐστὶν ἐν αὐτῷ, ἀλλὰ κατὰ πάντα ὅσα νοεῖται ὁ πατήρ, διὰ πάντων ἐστὶν ἐν αὐτῷ Gr.Nyss.*Eun.*8 (2 p.178.28ff.; M.45.772B,C); Eunomian conception of relation of being of Father to being of Son discussed, *ib.*10(2 p.247.29ff.; 852Bff.); *ib.*9(2 p.220.28ff.; 820Cff.); πεπιστευκέναι τὴν ἐκκλησίαν... υἱὸν...κατὰ φύσιν γεννητῶς ἐκ τοῦ ὄντος ὄντα *ib.*4(2 p.79.15; 653B); ὁ τῇ τοῦ ὄντος ἐπωνυμίᾳ ἑαυτὸν γνωρίσας, ὁ μονογενὴς ἐστι θεός *ib.*11(2 p.263.1; 869D); **5.** in later fathers; **a.** Cyril ἀγνοοῦσιν...ὅτι τὸ ὄντως ὂν καὶ κατ' οὐσίαν τίκτειν δυνάμενον, τὸ θεῖόν ἐστιν. αὐτὸ γὰρ δὴ περὶ ἑαυτοῦ φησιν· 'ἐγώ εἰμι ὁ ὤν', ὡς τῶν ἄλλων ἁπάντων, οὐκ ὄντων μὲν πρὶν γενέσθαι, βουλήσει δὲ θείᾳ πρὸς τὸ εἶναι παρενεχθέντων. οὐκοῦν τὸ ὄντως ὄν, ᾧ καὶ τὸ εἶναι κυριώτατον ὄνομα, αὐτὸ δὴ καὶ μόνον κατ' οὐσίαν γεννήσει Cyr.*thes.*13(5[1].133A,B); ref. Jo.1:1 πῶς δὲ ἡμῖν οὐκ ἀρκέσει τὸ 'ἦν', πρὸς ἀνατροπὴν τῶν πεποιῆσθαι λεγόντων αὐτόν; εἰ γὰρ ἦν, οὐκ ἐγένετο· εἰ ἐγένετο, οὐκ ἦν. ἐπειδὴ δὲ ἦν, οὐκ ἐγένετο· τὸ γὰρ ὂν καὶ ὑπάρχον ἤδη, καὶ τοῦτο ἐν ἀρχῇ, οὐκ ἂν λέγοιτο πεποιῆσθαί ποτε *ib.*32(5[1].312C); id.*Jo.*1.1(4.11A); ἐπιπλέκει δὲ τῷ τῆς ἀρχῆς ὀνόματι χρησίμως τὸ 'ἦν', ἵνα μὴ μόνον εὐκλεής, ἀλλὰ νοῆται καὶ προαιώνιος· τέθειται γὰρ ἐν τούτοις τὸ 'ἦν', εἰς βαθεῖάν τινα...καὶ τὴν ἔξω χρόνων ἄρρητον γέννησιν ἀνατεῖνον τοῦ θεωροῦντος τὴν ἔννοιαν *ib.*(14B); *ib.*1.2 (15C); οὐ μόνον ἦν ὁ λόγος πρὸς θεόν, ἀλλ' ἦν καὶ θεός, ἵνα διὰ μὲν τοῦ εἶναι πρὸς θεόν, ἕτερος ὢν παρὰ τὸν πατέρα γνωρίζηται, καὶ υἱὸς ὑπάρχειν...πιστεύηται· διὰ δὲ τοῦ εἶναι θεός, ὁμοούσιός τε καὶ ἐξ αὐτοῦ νοῆται κατὰ φύσιν...ἦν οὖν καὶ θεός· οὐ γέγονεν ὕστερον, ἀλλὰ πάλιν ἦν, εἰ καὶ ὅτι μάλιστα τῷ εἶναι θεὸν ἀκολουθήσει πάντως καὶ τὸ ἀιδίως εἶναι, ἐπεὶ τὸ ἐν χρόνῳ γεγονός, ἢ καὶ ὅλως ἐκ μὴ ὄντος εἰς τὸ εἶναι παρενεχθέν, οὐκ ἂν εἴη φύσει θεός. ἔχοντος...τοῦ θεοῦ λόγου διὰ μὲν τοῦ ἦν τὸ ἀΐδιον, διὰ δὲ τοῦ εἶναι θεὸν τὸ πρὸς τὸν πατέρα ὁμοούσιον *ib.*1.3(20A,C); **b.** Jo. D. οὐ γὰρ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήχθη ὁ υἱὸς τοῦ θεοῦ...ἀλλ' ἀεὶ ἦν σὺν τῷ πατρί...οὐ γὰρ ἦν ποτε ὁ πατήρ, ὅτε οὐκ ἦν ὁ υἱός...εἰ δὲ ἦν μὴ ἔχων υἱόν, οὐκ ἦν πατήρ· καὶ εἰ μετὰ ταῦτα ἔσχεν υἱόν, μετὰ ταῦτα ἐγένετο πατήρ, μὴ ὢν πρὸ τούτου πατήρ, καὶ ἐτράπη ἐκ τοῦ μὴ εἶναι πατὴρ εἰς τὸ γενέσθαι πατήρ· ὅπερ πάσης βλασφημίας ἐστὶ χαλεπώτερον Jo.D.*f.o.*1.8(M.94.812A); ἐὰν εἴπῃ ὁ αἱρετικὸς ὁ λόγος γενόμενος ἦν καὶ πρὶν γενέσθαι οὐκ ἦν, τί πλέον ἔσχε τῆς γῆς; καὶ γὰρ περὶ τῆς γῆς εἶπε Μωυσῆς· ἡ δὲ γῆ ἦν. εἰ οὖν τό, ἐν ἀρχῇ, εἰς ποίησιν λαμβάνουσι καὶ οὐ κατὰ τὴν ἀΐδιον φύσιν, οὐδὲν πλέον ἔχει τῆς γῆς· καὶ γὰρ ὁ θεὸς λόγος ἦν καὶ ἡ γῆ ἦν. ἀλλ' ἐκεῖ μὲν ἐν ἀρχῇ ἦν μὴ γενόμενος ὁ ἀεὶ ὤν, ἡ δὲ γῆ γενομένη ἦν †Jo.D.*creat.*1(p.59); cf. Chrys.*hom.2.4 in Jo.*(8.13B,C); **6.** credal οὐ πάντοτε...εἶναι ἠδύνατο, εἰ ἀρχὴν ἔλαβεν, ὅτι ὁ πάντοτε ὢν ἀρχὴν οὐκ ἔχει λόγος CSard.*ep.cath.* ap.Thdt.*h.e.*2.8.42(3.845); ὁμολογοῦμεν...μονογενῆ τὸν λόγον, ὃς πάντοτε ἦν καὶ ἔστιν ἐν τῷ πατρί...ὃ πάντοτέ ἐστιν, οὐδέποτε τοῦ εἶναι ἤρξατο οὐδὲ ἐκλείπειν δύναται *ib.*2.8.44(846); τοὺς δὲ λέγοντας ἐξ οὐκ ὄντων τὸν υἱὸν...καὶ ὅτι ἦν χρόνος ποτὲ ἢ αἰών, ὅτε μὴ ἦν, ἀλλοτρίους οἶδεν ἡ...ἐκκλησία *Symb.Ant.*(345)2(p.252.4; M.26.728C) = *Symb. Sirm.*1 *anath.*1; οὔτε γὰρ ἐξ οὐκ ὄντων τὸν υἱὸν λέγειν ἀσφαλές...ἀλλ' οὐδὲ τὸ ἦν ποτε ὅτε οὐκ ἦν ἐξ ἀγράφων ἐπισφαλῶς λέγοντας χρονικόν τι διάστημα προενθυμητέον αὐτοῦ, ἀλλὰ μόνον τὸν ἀχρόνως αὐτὸν γεγεννηκότα θεόν *Symb.Ant.*(345)3(p.252.10; M.26.729A).

F. of created being; **1.** creation *ex nihilo* ἐκάλεσεν γὰρ ἡμᾶς οὐκ ὄντας καὶ ἠθέλησεν ἐκ μὴ ὄντος εἶναι ἡμᾶς *2Clem.*1.8; ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι προαγαγεῖν Eus.*e.th.*1.12(p.71.5; M.24.845D); as activity of Son, *ib.*2.6(p.103.33; 908B); Ath.*inc.*42.2(M.25.169B); id. *Ar.*3.19(M.26.361C); τῷ γὰρ γενικῷ τῆς προσηγορίας ἓν κατὰ πάντων ἐστὶ τῶν ἐκ τοῦ μὴ ὄντος ὑποστάντων τὸ τῆς κτίσεως ὄνομα Gr.Nyss. *Eun.*5(2 p.120.8; M.45.701A); *ib.*9(2 p.223.23; 824A); Epiph.*haer.*69. 59(p.208.3; M.42.296B); affirmed by Christians opp. philosophers, acc. whom δημιουργός...μὴ δυνάμενος ἐκ μὴ ὄντων ὑποστῆναι τὰ ὄντα Proc.G.*Gen.*proem.(M.87.29B); **2.** characterized by having a beginning, Ath.*ep.Afr.*8(M.26.1044A); ‡Ath.*Ar.*4.27(p.75.23; M.26. 509C).

G. not to be predicated of evil ἔξω δὲ αὐτῆς [sc. divine nature] οὐδέν, ὅτι μὴ ἡ κακία μόνη, ἥτις, εἰ κἂν παράδοξον εἰπεῖν, ἐν τῷ μὴ εἶναι τὸ εἶναι ἔχει· οὐ γὰρ ἄλλη τίς ἐστι καὶ κακίας γένεσις, εἰ μὴ τοῦ ὄντος στέρησις. τὸ δὲ κυρίως ὂν ἡ τοῦ ἀγαθοῦ φύσις ἐστίν. ὃ οὖν ἐν τῷ ὄντι οὐκ ἔστιν, ἐν τῷ μὴ εἶναι πάντως ἐστίν Gr.Nyss.*anim.et res.*(M. 46.93B); οὐκ ἔστι τὸ κακόν, ᾗ κακόν, οὔτε ὄν, οὔτε ἐν τοῖς οὖσι Dion. Ar.*d.n.*4.33(M.3.733A).

H. ref. H. Ghost: his being is not derived from creatures; hence he is divine, Ath.*ep.Scrap.*3.2(M.26.628B).

I. of flesh of Christ, ref. Pr.8:22 ἔκτισεν γὰρ ἀληθῶς τὸ μὴ ὂν πεποιηκὼς ὁ δεσπότης ἡμῶν θεός· οὐκ οὖσαν ⟨γὰρ⟩ τὴν σάρκα, ἣν ἀνείληφεν ὁ λόγος ⟨ἀλλὰ μὴ οὖσαν ἔκτισεν⟩ Marcell.*fr.*10 ap.Eus. *Marcell.*2.3(p.46.26ff.; M.24.801D).

J. in rel. to time ἡ τῷ χρόνῳ προήκουσα τῆς μεταγενεστέρας οὐσίας τί μᾶλλον ἔχει τὸ εἶναι, κατ' αὐτὸν λέγω τὸν τοῦ εἶναι λόγον, ὥστε τὴν μὲν ἀνωτάτω καὶ κυρίαν λέγειν, τὴν δὲ μὴ οὕτως ἔχειν; Gr.Nyss.*Eun.* 1(1 p.73.20; M.45.304B).

K. εἶναι θεὸς *exist divinely, be deified,* Dion.Ar.*e.h.*2.1(M.3. 392B).

L. Basilidean: of primal aeon οἱ μὲν...λέγουσι...μήτε ὅλως ὄντα τι Iren.*haer.*1.11.5(M.7.569A); Βασιλείδης...λέγει εἶναι θεὸν οὐκ ὄντα, πεποιημένον κόσμον ἐξ οὐκ ὄντων οὐκ ὄντα...ἔχειν γὰρ ἐν ἑαυτῷ τὰ πάντα οἷον οὐκ ὄντα ὑπὸ τοῦ οὐκ ὄντος θεοῦ γενέσθαι προβεβουλευμένα. ἦν οὖν, φασί, ἐν αὐτῷ τῷ σπέρματι υἱότης τριμερής, κατὰ πάντα τῷ οὐκ ὄντι θεῷ ὁμοούσιος ἐξ οὐκ ὄντων Hipp.*haer.*10.14(p.274.17ff.; M.16. 3427C–3430A).

***εἴποθεν,** *if from anywhere,* Nonn.*par.Jo.*7:31(M.43.809B *divisim*).

***εἰρηναγωγέω,** *lead in peace, peacefully,* Clem.*paed.*1.8(p.128.23; M.8.329A).

εἰρηναῖος, 1. *peaceable, peaceful* εἰ. ψυχῇ δέξασθαι τοὺς περὶ Ἄρειον Ath.*apol.sec.*84(p.163.5; M.25.400A); εἰ. γράμματα Soz.*h.e.* 8.3.5(M.67.1520D); spiritually εἰ. ὕμνοις Dion.Ar.*d.n.*11.1(M.3. 948D); ἄρτου καὶ ποτηρίου κοινῇ καὶ εἰ. μετάδοσις [i.e. in eucharist] id.*e.h.*3.3.1(M.3.428B); ref. union with God, *ib.*3.3.8(437A); τῆς τριάδος...ἧς οὐδὲν οὕτως...πρὸς ἑαυτὴν εἰρηναῖον Gr.Naz.*or.*22.14 (M.35.1148B); neut. plur. as subst., Ath.*inc.*50.5(εἰρήνην M.25.185C); **2.** *prescribed by peace treaty,* of reparations τὰ εἰ. χρήματα Men.*exc. Rom.*16(p.210.15; M.113.909C); *ib.*20(p.220.31; 925D).

εἰρηνάρχης, ὁ, *prince* or *author of peace*; of Christ, ‡Meth.*palm.*6 (M.18.393D); ὁ πνευματικὸς Σολομών, ὁ εἰ. Jo.D.*hom.*9.12(M.96.740A); ‡Jo.D.*hom.*6.10(M.96.677A).

***εἰρηναρχία, ἡ,** *principle of peace*; as divine name, Dion.Ar.*d.n.* 11.1(M.3.949A).

εἰρηναρχικός, *belonging to the police* εἰ. τάξις *M.Con.*2.2.

εἰρήναρχος, ὁ, *prince of peace*; of Christ, ‡Epiph.*hom.*6(M.43. 504B).

C. kinds and degrees of prayer; **1.** its principal elements, viz. glorifying Father through Son in H. Ghost, thanksgiving, confession of sins, petition, Or.*or.*33.1(p.401.13ff.; M.11.557B–560A); *προσευχῆς διττὸς ὁ τρόπος, ὁ μέν τις πρακτικός, ὁ δὲ θεωρητικός* Evagr.Pont.*or.*proem.(M.79.1165B); **2.** mental and vocal prayer; words not necessary for prayer, Clem.*str.*7.7(p.32.30; M.9.461A); *ἤθός ἐστι προσευχῆς σύννοια μετ' εὐλαβείας, καὶ κατανύξεως, καὶ ὀδύνης ψυχῆς ἐν ἐξαγορεύσει πταισμάτων μετὰ στεναγμῶν ἀφώνων* Evagr.Pont.*or.*42(M.79.1176B); *εὐχὴν δὲ λέγω..., οὐ τὴν ἁπλῶς ἐπὶ τοῦ στόματος κειμένην, ἀλλὰ τὴν ἐκ τοῦ βάθους τῆς διανοίας ἀνιοῦσαν* Chrys. *incomprehens.*5.7(1.491A); *πολλάκις πληρώσαντες τὴν εὐ., μηδὲν ἀκούσαντες ὧν εἰρήκαμεν, ἀπήλθομεν. ἂν οὖν ἐννοήσωμεν τοῦτο, εὐθέως πάλιν αὐτὴν ἀναλάβωμεν...καὶ μὴ πρότερον ἀποστῶμεν εὐχόμενοι, ἕως ἂν ἅπασαν αὐτὴν μετὰ διανοίας νηφούσης εἴπωμεν* id.*hom.in Ps. 145:2*(5.534A); *οὐκ ἔστι τελεία π. χωρὶς νοητῆς ἐπικλήσεως* Marc.Er. *opusc.*2.31(M.65.936A); **3.** degrees of prayer *τῆς καθαρᾶς π. δύο εἰσὶν ἀκρόταται καταστάσεις· ἡ μέν, τοῖς πρακτικοῖς· ἡ δέ, τοῖς θεωρητικοῖς ἐπισυμβαίνουσα. καὶ ἡ μέν, ἐκ φόβου θεοῦ καὶ ἐλπίδος ἀγαθῆς τῇ ψυχῇ ἐγγίνεται· ἡ δέ, ἀπὸ θείου ἔρωτος καὶ ἀκροτάτης καθάρσεως. γνωρίσματα δὲ τοῦ μὲν πρώτου μέτρου, τὸ ἐν τῷ συναγαγεῖν τὸν νοῦν ἐκ πάντων τῶν τοῦ κόσμου νοημάτων, καὶ ὡς αὐτῷ αὐτοῦ περιισταμένου τοῦ θεοῦ, ὥσπερ καὶ παρέστη, ποιεῖσθαι τὰς π. ἀπερισπάστως...τοῦ δὲ δευτέρου, τὸ ἐν αὐτῇ τῇ ὁρμῇ τῆς π. ἁρπαγῆναι τὸν νοῦν ὑπὸ τοῦ θείου καὶ ἀπείρου φωτός* Max.*carit.*2.6(M.90.985A,B); *ἡ μὲν ψιλὴ εὐ., ὡς ἄρτος ἀρχομένους στηρίζουσα· ἡ δὲ μετά τινος θεωρίας, ὡς ἔλαιον πιαίνουσα· ἡ δὲ ἀνείδεος, ὡς οἶνος εὐώδης, οὗ οἱ ἐμφορούμενοι ἁπλήστως ἐξίστανται* ‡Max.*cap.al.*176(M.90.1441B); **4.** relation between work of God and work of men in prayer *βιάζεσθαι ἑαυτὸν εἰς τὴν εὐ., μὴ ἔχοντα εὐ. πνευματικήν· καὶ οὕτως ὁ θεός, θεωρῶν τὸν οὕτως ἀγωνιζόμενον,...δίδωσιν εὐ. ἀληθινὴν πνεύματος* Mac.Aeg. *hom.*19.3(M.34.645A); *στῆθι ἐπὶ τῆς φυλακῆς σου φυλάττων τὸν νοῦν σου ἀπὸ νοημάτων κατὰ τὸν καιρὸν τῆς π.,...ἵνα ὁ συμπάσχων τοῖς ἀγνοοῦσι, καὶ σοὶ ἐπιφοιτήσῃ, καὶ τότε λήψῃ δῶρον προσευχῆς εὐκλεέστατον* Evagr.Pont.*or.*69(M.79.1181C); Jo.Clim.*scal.*28(M.88. 1132C).

D. conditions for prayer; **1.** spiritual; **a.** practice of Christian virtues *οὐ προσελεύσῃ ἐπὶ π. ἐν συνειδήσει πονηρᾷ Did.*4.14 = *Barn.* 19.12; *δεῖται...ἡ εὐ. ψυχῆς εὐρώστου καὶ λιπαροῦς ἄχρι τῆς ἐσχάτης ἡμέρας τοῦ βίου συμμετρημένης καὶ ⟨ἡ⟩ πολιτεία διαθέσεως χρηστῆς καὶ μονίμου καὶ πάσαις ταῖς ἐντολαῖς τοῦ σωτῆρος ἐπεκτεινομένης* Clem.*q.d.s.*1(p.160.14; M.9.605B); *καθαρὸς* [sc. *ὁ γνωστικός*] *εἰς εὐ. πάντοτε* id.*str.*7.12(p.56.5; M.9.508C); *εἰ μὴ ἡ ταπεινοφροσύνη καὶ ἀγάπη, ἡ ἁπλότης τε καὶ ἀγαθότης κατακολλῶσιν ἡμῖν τὴν εὐ., ἡ εὐ. αὕτη, μᾶλλον δὲ τὸ πρόσχημα τῆς εὐ., ἥκιστά γε ἡμᾶς ὠφελεῖν δύναται* Mac.Aeg.*or.*5(M.34.856C); id.*hom.*19.5(M.34.645C); *καθαρὸν ὀργῆς εἶναι τὸν εὐχῇ προσιόντα* Chrys.*prod.Jud.*1.1(2.377E); *ἑώρακα ἐν ὑπακοῇ ἐξαστράπτοντας...ἀθρόον ἐπὶ προσευχὴν παρασταθέντας, καὶ συντόμως τοῦ ἑαυτῶν νοὸς περιγενομένους, προπαρεσκευασμένοι γὰρ ὑπὸ τῆς ὁσίας ὑπακοῆς ἐτύγχανον* Jo.Clim.*scal.*28(M.88.1136B); *πᾶσαν μὲν ἀρετήν, ἐπὶ πλείω δὲ τὴν π. αἰσθήσει πολλῇ ποιησώμεθα πάντοτε· τότε ψυχὴ ἐν αἰσθήσει προσεύχεται, ὅταν θυμοῦ κρείττων γένηται ib.*(1136D); *ἀδύνατον εἰρηνικὸν γενέσθαι τὸν νοῦν ἐν εὐ., ἐγκράτειαν καὶ ἀγάπην φίλην τὸν μὴ κτησάμενον* ‡Max.*cap.al.*221(M.90.1453A); **b.** recollection *δεῖ ὑπὲρ τοῦ μὴ ἐπιθολοῦσθαι τὸν νοῦν ὑπὸ ἑτέρων λογισμῶν πάντων ἐπιλελῆσθαι τῶν ἔξω τῆς εὐ. κατὰ τὸν καιρόν, ἐν ᾧ τις εὔχεται* Or.*or.*9.1(p.318.3; M.11.444A); *δοκεῖ τοίνυν μοι τὸν μέλλοντα ἥκειν ἐπὶ τὴν εὐ., ὀλίγον ὑποστάντα καὶ ἑαυτὸν εὐτρεπίσαντα, ἐπιστρεφέστερον καὶ εὐτονώτερον πρὸς τὸ ὅλον γενέσθαι τὴν εὐ. ib.*31.2(p.395.28; 549B); *ὁ δὲ ἀληθινὸς θεμέλιος τῆς π. οὗτός ἐστι, τὸ προσέχειν τοῖς λογισμοῖς, καὶ ἐν πολλῇ ἡσυχίᾳ καὶ εἰρήνῃ ποιεῖσθαι τὴν π.* Mac.Aeg.*hom.*6.3(M. 34.520B); *μὴ ἐν μόνοις τοῖς ἐκτὸς σχήμασι προσεύχου, ἀλλὰ τρέπε τὸν νοῦν σου εἰς συναίσθησιν πνευματικῆς π. μετὰ πολλοῦ φόβου* Evagr. Pont.*or.*28(M.79.1173A); *ἐν ταῖς εὐ. ἡσυχίαν κατασκευάζειν ἑαυτοῖς καὶ ἠρεμίαν πολλὴν* Chrys.*hom.83.1 in Mt.*(7.790E); *ὅταν σταθῶμεν εἰς π.,...μηδένα λογισμὸν εἰς τὴν καρδίαν ἡμῶν εἰσελθεῖν συγχωρήσωμεν,...πλὴν τῆς πρὸς θεὸν ἱκεσίας* Nil.*epp.*3.283(M.79.524C); *μακάριος*

...ὁ νοῦς, ὃς κατὰ τὸν καιρὸν τῆς π. ἀπερισπάστως τῷ θεῷ προσομιλεῖ Ant.Mon.*hom.*106(M.89.1756D); ἀρχὴ μὲν προσευχῆς προσβολαὶ μονολογίστως διωκόμεναι ἐκ προοιμίων αὐτῶν Jo.Clim.*scal.*28(M.88.1132D); **c.** self-denial, Evagr.Pont.*or.*18(M.79.1172A); *ib.*19(1172B); ἀπόδυσαι τὰ θελήματά σου, καὶ γυμνὸς τούτων πρόσελθε κυρίῳ ἐν π. σου Jo.Clim.*scal.*28(M.88.1133B); φιλίαν πρὸς τὴν εὐ. οὐ δύναται κτήσασθαι, ὁ μὴ πᾶσαν ὕλην ἀπαρνησάμενος, πλὴν τροφῆς καὶ σκέπης. ἔξω τῶν ἄλλων γενοῦ ἐν εὐ., ὁ θέλων μετὰ μόνου γενέσθαι τοῦ νοῦ ‡Max.*cap.al.*91(M.90.1421A); *ib.*184(1444C); **d.** tears, v. δάκρυον; **e.** perfect prayer entailing freedom from activity of imagination ἐπιποθῶν ἰδεῖν τὸ πρόσωπον τοῦ πατρὸς τοῦ ἐν οὐρανοῖς, μὴ ζήτει παντελῶς μορφήν, ἢ σχῆμα δέχεσθαι ἐν τῷ τῆς π. καιρῷ Evagr.Pont. *or.*114(M.79.1192D); μακάριος ὁ νοῦς, ὃς κατὰ τὸν καιρὸν τῆς π. τελείαν ἀμορφίαν ἐκτήσατο *ib.*117(1193A); ἡ δὲ π. παντὸς ἀφίστησι τὸν νοῦν νοήματος αἰσθητοῦ ‡Nil.*perist.*4.4(M.79.829A); Ant.Mon. *hom.*106(M.89.1756C); πᾶσαν αἰσθητὴν φαντασίαν ἐν τῇ π. μὴ προσδέξῃ Jo.Clim.*scal.*28(M.88.1136D); ἆρα ἀπηλλάγημεν τῶν ἐμπαθῶν νοημάτων, καὶ τῆς καθαρᾶς καὶ ἀύλου ἀπολαύομεν π.; Thal.*cent.*3.26(M.91. 1449D); description of perfect prayer ὁ τῆς εὐ. τρόπος· τὸ νηφούσῃ διανοίᾳ, τὸ συντετριμμένῃ ψυχῇ, τὸ μετὰ πηγῶν δακρύων αὐτῷ προσιέναι, τὸ μηδὲν αἰτεῖν βιωτικόν, τὸ τῶν μελλόντων ἐρᾶν, τὸ ὑπὲρ τῶν πνευματικῶν ποιεῖσθαι τὴν ἔντευξιν, τὸ μὴ κατεύχεσθαι τῶν ἐχθρῶν, τὸ μηδενὶ μνησικακεῖν, τὸ πάντα ἐκβάλλειν ἀπὸ τῆς ψυχῆς τὰ πάθη, τὸ συντρίβοντα τὴν καρδίαν οὕτω προσιέναι, τὸ συνεστάλθαι, τὸ πολλὴν τὴν ἐπιείκειαν μελετᾶν, καὶ τὴν γλῶτταν πρὸς εὐφημίαν τρέπειν Chrys.*exp.in Ps.*4:1(5.9C); **f.** conditions for prayer of petition in partic.: choice of right subjects ὁ γνωστικὸς τὴν εὐ. ... τῶν ὄντως ἀγαθῶν τῶν περὶ ψυχὴν ποιεῖται Clem.*str.*7.7(p.29.27; M.9.453C); ἡ δὲ π., ἱκετηρία ἐστί, περί τινος τῶν συμφερόντων προσαγομένη τῷ θεῷ Gr.Nyss.*Pss.titl.*B 3(M.44.493B); μόνην ζήτει ἐν τῇ π. σου τὴν δικαιοσύνην, καὶ τὴν βασιλείαν, τουτέστι τὴν ἀρετήν, καὶ τὴν γνῶσιν Evagr.Pont.*or.*38(M.79.1176A); οὐχ ἁπλῶς δὲ αἱ εὐ., ἀλλ' αἱ κατὰ νόμον τοῦ θεοῦ γινόμεναι εὐ. καὶ τίνες εἰσὶν αὗται; αἱ ταῦτα αἰτοῦσαι, ἃ τῷ θεῷ πρέπει διδόναι, αἱ μὴ τἀναντία τοῖς αὐτοῦ νόμοις αὐτὸν παρακαλοῦσαι Chrys.*exp.in Ps.*4:2(5.11E); ἀξία τοῦ τὸν θεὸν πατέρα καλοῦντος ἡ εὐ., τὸ μηδὲν αἰτεῖν πρὸ τῆς τοῦ πατρὸς δόξης id.*hom.*19.4 *in Mt.*(7.250C); οὐδαμοῦ ἀρχήν, οὐδαμοῦ πλοῦτον...ἀλλὰ πάντα εἰς ψυχῆς ὠφέλειαν συντελοῦντα ἐνέθηκε τῇ εὐ.· οὐδὲν γήϊνον, ἀλλὰ πάντα οὐράνια id.*hom.*43.2 *in Jo.*(8.257D); π. μετὰ νήψεως γενέσθω, ἵνα μὴ τὸν θεὸν αἰτοῦμεν, οἷς αὐτὸς οὐκ ἀρέσκεται Nil.*paraen.*42(M.79. 1252D); ὅταν εἰς εὐ. στῶμεν, μὴ εὐξώμεθα ἡμῶν θέλημα γενέσθαι... ἀλλὰ τὸ τοῦ θεοῦ Ant.Mon.*hom.*106(M.89.1756D); perseverance μὴ ὡς ἐν δυνάμει κομιζόμενος, εὐθέως τὸ αἴτημα ζήτει· βούλεται γάρ σε ἐπὶ πλέον εὐεργετῆσαι προσκαρτεροῦντα αὐτῷ ἐν τῇ π. Evagr.Pont.*or.*34 (1173D); ἃ γὰρ οὐκ ἰσχύομεν πολλάκις ἐξ οἰκείας κατορθῶσαι σπουδῆς, ταῦτα δυνησόμεθα ἀνύσαι εὐμαρῶς δι' εὐχῶν, εὐ. δὲ λέγω τῶν διηνεκῶν Chrys.*hom.in Phil.*1:18(3.308D); discussion of rel. of prayer of petition to immutable will of God, Or.*or.*5–8(pp.311–16; M.11. 433–41); **2.** physical and material; **a.** bodily posture μάλιστα μὲν ἡ...εὐ. μειλίσσεται τὸν θεὸν...ἡ ἐν πρηνεῖ κατακλίσει καὶ ἐν γόνασιν ὀκλάσαντός τινος Just.*dial.*90.5(M.6.692A); extended hands and raised eyes, Clem.*str.*7.7(p.30.20; M.9.456B); Or.*or.*31.2(p.396.13; M.11.552A) cit. s. ἔκτασις; though circumstances may excuse from this, *ib.*(p.396.19; 552A); signification of extended hands, Chrys. *exp.in Ps.*140:2(5.431C) cit. s. ἔκτασις; cf. description of symbolism, Ast.Am.*phar.*(p.117.11ff.); **b.** eastward direction τοῖς ἐν ἀγνοίᾳ κυλινδουμένοις ἀνέτειλεν γνώσεως ἀληθείας ἡμέρα, κατὰ λόγον τοῦ ἡλίου, πρὸς τὴν ἑωθινὴν ἀνατολὴν αἱ εὐ. Clem.*str.*7.7(p.33.1; M.9. 461A); περὶ τοῦ κλίματος, εἰς ὃ ἀφορῶντα εὔχεσθαι δεῖ, ὀλίγα λεκτέον... τίς οὐκ ἂν αὐτόθεν ὁμολογήσαι τὸ πρὸς ἀνατολὴν ἐναργῶς ἐμφαίνειν τὸ δεῖν ἐκεῖ νεύοντας συμβολικῶς, ὡς τῆς ψυχῆς ἐνορώσης τῇ τοῦ ἀληθινοῦ φωτὸς ἀνατολῇ, ποιεῖσθαι τὰς εὐ.; Or.*or.*32(p.400.26; M.11. 557A); πάντες μὲν ὁρῶμεν κατ' ἀνατολὰς ἐπὶ τῶν π.· ὀλίγοι δὲ ἴσμεν ὅτι τὴν ἀρχαίαν ἐπιζητοῦμεν πατρίδα, τὸν παράδεισον, ὃν ἐφύτευσεν ὁ θεὸς ἐν Ἐδὲμ κατ' ἀνατολάς Bas.*Spir.*66(3.56A; M.32.189C); cf. *Const.App.*2.57.14; ἐπειδὴ τῶν παρ' ἡμῖν τὰ τιμιώτερα εἰς τιμὴν τοῦ θεοῦ ἀφορίζομεν, κατὰ δὲ τὴν τῶν ἀνθρώπων ὑπόληψιν τιμιωτέρα ἐστὶν ἡ ἀνατολὴ τῶν ἄλλων μερῶν τῆς κτίσεως· διὰ τοῦτο ἐν τῷ καιρῷ τῆς π. νεύομεν πρὸς ἀνατολὴν πάντες. ... οὐκ ἐναντιοῦται δὲ τῇ προφητικῇ τε καὶ ἀποστολικῇ φωνῇ τὸ πρὸς τὴν ἀνατολὴν ποιεῖν ἡμᾶς τὰς εὐ., ἐν παντὶ γὰρ τόπῳ ὑπάρχει ἡ ἀνατολὴ τοῖς εὐχομένοις ‡Just. *qu.et resp.*118(M.6.1368C); cf.†Gregent.*disp.*(M.86.669C); στὰς κατὰ ἀνατολάς, ηὔξατο εὐ. †Jo.D.*B.J.*36(M.96.1204A); **c.** place ἔχει δέ τι ἐπίχαρι εἰς ὠφέλειαν τόπος εὐχῆς, τὸ χωρίον τῆς ἐπὶ τὸ αὐτὸ τῶν πιστευόντων συνελεύσεως Or.*or.*31.5(p.398.14; M.11.553B); *ib.*31.7 (p.400.18; 556C); παραινῶ συνεχῶς ταῖς ἐκκλησίαις ἐπιχωριάζειν, καὶ ἐν οἰκίᾳ μετὰ πολλῆς ἡσυχίας εὔχεσθαι...εἰ δὲ ἢ διὰ καιρόν, ἢ διὰ τόπον ἀποληφθείημεν μεταξὺ πολλῶν ἑτέρων, μὴ διὰ τοῦτο τὰς συνήθεις ἀπολιμπάνειν εὐ. Chrys.*Anna* 4.6(4.739A); ὅπου γὰρ ἂν ᾖς, δύνασαι στῆσαι τὸν βωμόν, προαίρεσιν νήφουσαν ἐπιδειξάμενος μόνον, καὶ οὐδὲν κωλύει τόπος, οὐδὲ ἐμποδίζει καιρός, ἀλλὰ κἂν γόνατα μὴ κλίνῃς, κἂν μὴ στῆθος τύψῃ...διάνοιαν δὲ μόνον ἐπιδείξῃς θερμήν, τὸ πᾶν ἀπήρτισας τῆς εὐ. *ib.*(738C); πᾶς τόπος εἰς προσευχὴν ἐπιτήδειος ‡Nil. *perist.*4.5(M.79.829B); by Christ's words in Mt.6:5f. no restriction of place is implied, Chrys.*hom.*8.1 *in 1Tim.*(11.589E); universality of place corresponds to universality of Christianity, *ib.*(590A); **d.** time and frequency of prayer: to be made thrice in the day, cf. *Did.*8.3, and also at night, Or.*or.*12.2(p.325.4,14; M.11.452D–453A); χρὴ καὶ τῆς κλίνης ἀπανισταμένους φθάνειν ἀεὶ τὸν ἥλιον τῇ τοῦ θεοῦ λατρείᾳ, καὶ τραπέζης ἀπτομένους, καὶ καθεύδειν μέλλοντας· μᾶλλον δὲ καὶ καθ' ἑκάστην ὥραν μίαν π. τῷ θεῷ προσφέροντας, ἴσον τῇ ἡμέρᾳ δρόμον τρέχοντας· ἐν δέ γε τῇ τοῦ χειμῶνος ὥρᾳ, καὶ τῆς νυκτὸς τὸ πλεῖστον μέρος εἰς προσευχὰς ἀναλίσκοντας †Chrys.*hom.prec.*1(2. 783A,B); εὐχὰς ἐπιτελεῖτε ὄρθρου καὶ τρίτῃ ὥρᾳ καὶ ἕκτῃ καὶ ἐνάτῃ καὶ ἑσπέρᾳ καὶ ἀλεκτοροφωνίᾳ *Const.App.*8.34.1; four hours of prayer (3rd, 6th, 9th, 12th), Anton.Hag.*v.Sym.Styl.*3(p.22.5); at meals τελεσθέντος δὲ τοῦ δείπνου ἐποίησεν Ἀβραὰμ τὴν κατὰ ἔθος εὐ. *T.Abr.*A 5 (p.81.33); εὐ. πρὸ τῆς τροφῆς ἀξίως γενέσθωσαν τῶν τοῦ θεοῦ παροχῶν Bas.*ep.*2.6(3.75A; M.32.232D); Chrys.*bapt.*4(2.375B); τράπεζα γὰρ ἀπὸ εὐχῆς ἀρχομένη, καὶ εἰς εὐχὴν καταλήγουσα, οὐδέποτε ὑστερηθήσεται id.*Anna* 2.5(4.719B); discussion of Christ's apparent prohibition of long prayers δοκεῖ μοι κελεύειν ἐνταῦθα [sc. Mt.6:7f.] μηδὲ μακρὰς ποιεῖσθαι τὰς εὐ.· μακρὰς δὲ οὐχὶ τῷ χρόνῳ, ἀλλὰ τῷ πλήθει καὶ μήκει τῶν λεγομένων...οὐδὲν ἕτερον ἢ τὸ συνεχῶς ἐντυγχάνειν αὐτῷ ἅπαντας ἐνομοθέτησεν, οὐ μὴν μυρίων στίχων εὐχὴν συντιθέντας αὐτῷ προσιέναι καὶ ἀπαγγέλλειν ἁπλῶς κελεύει id.*hom.*19.4 *in Mt.*(7.249B,C); ὁ Χριστὸς...εἰπὼν γὰρ τοῖς μαθηταῖς, μὴ κατὰ τοὺς ἐθνικοὺς εὔχεσθαι,... καὶ μέτρον ἡμᾶς εὐχῆς ἐδίδαξε· δεικνὺς ὅτι οὐκ ἐν τῷ πλήθει τῶν ῥημάτων, ἀλλ' ἐν τῇ νήψει τῆς διανοίας κεῖται τὸ ἀκουσθῆναι. πῶς οὖν, φησίν, εἰ ὀλίγα δεῖ εὔχεσθαι, παραβολὴν εἶπεν αὐτοῖς πρὸς τὸ δεῖν ἀεὶ προσεύχεσθαι...; πῶς δὲ καὶ ὁ Παῦλος παραινεῖ λέγων, 'τῇ π. προσκαρτεροῦντες', καὶ πάλιν, 'ἀδιαλείπτως προσεύχεσθε'; εἰ γὰρ δεῖ μὴ μακροὺς ἀποτείνειν λόγους, καὶ συνεχῶς εὔχεσθαι, ἐναντίον τοῦτο ἐκείνου. ἀλλ' οὐκ ἔστιν ἐναντίον,...ἀλλὰ καὶ σφόδρα συμβαῖνον. καὶ γὰρ καὶ ὁ Χριστὸς καὶ ὁ Παῦλος βραχείας καὶ πυκνὰς ποιεῖσθαι τὰς εὐ. ἐκέλευσαν ἐξ ὀλίγων διαλειμμάτων id.*Anna* 2.2(714B,C); **3.** impediments to prayer; **a.** natural impediments and imperfections: human sinfulness τοῖς μοχθηροῖς...ἡ εὐ. οὐ μόνον εἰς τοὺς ἄλλους, ἀλλὰ καὶ εἰς σφᾶς αὐτοὺς βλαβερωτάτη Clem.*str.*7.7(p.33.6; M.9. 464A); ἡ τοῦ πονηροῦ ἀνδρὸς π., ἕως ἂν ἐν τῇ πονηρίᾳ ᾖ, τοῦ διαβόλου ἐπίκλησις γίνεται Gr.Nyss.*or.dom.*2(p.42.30; M.44.1148A); Chrys.*Is. interp.*1(6.11B); wrath and other passions, Evagr.Pont.*or.*27(M. 79.1173A); οὐ δύναται...νοῦς πάθεσι δουλεύων π. πνευματικῆς τύπον ἰδεῖν *ib.*71(1181D); Chrys.*non desp.*2(3.356B); grudges against one's neighbour, Evagr.Pont.*or.*13(1169D); ἡ γὰρ μνησικακία ἀμαυροῖ τὸ ἡγεμονικὸν τοῦ προσευχομένου, καὶ σκοτίζει τούτου τὰς π. *ib.*21(1172B); verbosity πολυλογία μὲν πολλάκις ἐν προσευχῇ τὸν νοῦν καὶ ἐφάνταστε καὶ διέχυσε Jo.Clim.*scal.*28(M.88.1132B); preoccupation with material things βαττολογοῦσι...πᾶσαν εὐ. ⟨περὶ⟩ τῶν σωματικῶν καὶ τῶν ἐκτὸς ἀναπέμποντες Or.*or.*21.1(p.345.12; M.11.481A); Gr. Nyss.*or.dom.*1(p.16.3; M.44.1128D); worldliness οὐ καθαρῶς δύναται προσεύξασθαι, ὁ φιλοκάλῳ πάθει καὶ φιλοτίμῳ κρατούμενος. περὶ ταῦτα γὰρ αἱ σχέσεις, καὶ οἱ τῆς ματαιότητος λογισμοὶ τὴν οἰκειότητα ἔχοντες, σχοινίᾳ καθάπερ ἐκείνῳ περιπλεκόμενοι γίνονται, κατασπῶντες ὡς οἷα στρουθίον δεδεμένον ἀναπτῆναι πειρώμενον ἐν τῷ καιρῷ τῆς εὐ. ‡Max.*cap.al.*220(M.90.1453A); description of imperfect prayer ἄλλο ῥύπος προσευχῆς, καὶ ἄλλο ἀφανισμός, καὶ ἄλλο κλοπή, καὶ ἕτερον μῶμος. ῥύπος ἐστὶ θεῷ παρίστασθαι, καὶ ἀτόπους ἐννοίας φαντάζεσθαι· ἀφανισμός ἐστι, τὸ εἰς φροντίδας ἀνωφελεῖς αἰχμαλωτίζεσθαι· κλοπή ἐστι τὸ ἀνεπαισθήτως τὴν ἔννοιαν ῥέμβεσθαι· μωμός ἐστι προβολὴ ἡ οἱαοῦν τότε πρὸς ἡμᾶς ἐγγίζουσα Jo.Clim.*scal.*28(1133A); **b.** diabolic impediments: prayer the special battleground of diabolic temptations πᾶς ὁ συγκρατούμενος πόλεμος μεταξὺ ἡμῶν τε, καὶ τῶν ἀκαθάρτων πνευμάτων, οὐ περὶ ἑτέρου γίνεται, ἢ περὶ πνευματικῆς π. Evagr.Pont.*or.*49(M.79.1177B); ὅταν μὴ δυνηθῇ τὴν μνήμην κινῆσαι ἐν τῇ π. ὁ φθονερὸς δαίμων, τότε τὴν κρᾶσιν τοῦ σώματος ἐκβιάζεται εἰς τὸ ποιῆσαι ξένην καὶ φαντασίαν τῷ νῷ *ib.*68(1181B); Mac.Aeg.*or.*3 (M.34.856A); ὁ διάβολος, ἐπειδὰν ἴδῃ τὴν φλόγα τῆς εὐ. ἡμῖν ἀναπτομένην, μυρίαις φροντίσιν ἔνθεν καὶ ἔνθεν ῥιπίζων, οὐ πρότερον ἀφίσταται ἕως ἂν σβέσῃ τὸ φῶς Chrys.*pecc.*5(3.348B); οἶδεν ὁ διάβολος ὅσον ἀγαθὸν εὐ.· διὸ βαρὺς ἔγκειται id.*hom.*10.2 *in Col.*(11.398D); μηδαμῶς θορυβηθῇς, ὅταν ἐν τῷ καιρῷ τῆς π. οἱ φαυλότατοι δαίμονες τὸ στῖφος

τῶν ἀτόπων λογισμῶν ὀργιζόμενοι μᾶλλον ἐπάγωσι τῇ ψυχῇ Nil.*epp*, 3.217(M.79.481C); *ib*.3.283(524B).

E. effects; **1.** of prayer; **a.** purification, Clem.*str*.7.7(p.30.12; M.9.456A); Bas.*reg.fus*.6(2.344C; M.31.925B); *ψυχὴν ἡμαρτηκυῖαν ἡ π. ῥᾳδίως ἀποκαθαίρει* †Chrys.*hom.prec*.1(2.782B); *καθάπερ ὕδατι σῶμα, οὕτω δι' εὐχῆς ἡ ψυχὴ καθαίρεται* Chrys.*exp.in Ps*.5:4(5.33A); *κἂν μυρίοι πνεύσωσιν ἄνεμοι λοιπόν, κἂν πειρασμοί, κἂν ἀθυμίαι, κἂν λογισμοί τινες ἀηδεῖς, κἂν ὁτιοῦν ἐπέλθῃ δεινόν, οὐ δυνήσεται καταβαλεῖν τὴν οἰκίαν ἐκείνην πυκναῖς...εὐ. συνδεδεμένην* id.*Anna* 4.5(4.737C); *ἄνθρωποι...χρῄζομεν τῶν δι' εὐ. καθαρσίων· ἡ γὰρ εὐχὴ πᾶσαν τὴν ἐπιγινομένην ἡμῖν ἀκαθαρσίαν ἐκπλύνει* Nil.*epp*.1.24(M.79.89D, 92A); Jo.Clim.*scal*.28(M.88.1137C); **b.** illumination *μετὰ διάρματος ἐνθέου τῆς εὐ. τοῖς νοητοῖς καὶ πνευματικοῖς ὡς ἔνι μάλιστα γνωστικῶς οἰκειούμενος* Clem.*str*.7.7(p.34.6; M.9.465A); *π. προοίμιόν ἐστι τῆς ἀΰλου, καὶ ποικίλης γνώσεως* Evagr.Pont.*or*.85(M.79.1185B); *φῶς ἐστι διανοίας καὶ ψυχῆς ἡ μετὰ σπουδῆς εὐ., φῶς ἄσβεστον καὶ διηνεκές* Chrys.*pecc*.5(3.348B); *ἀνισχούσης...τῆς εὐ., ὥσπερ τινὸς ἀκτῖνος ἀπὸ τοῦ στόματος τοῦ ἡμετέρου...φωτίζεται μὲν ἡ διάνοια* id.*anom*.7.7(1.512D); *ὥσπερ γὰρ τῷ σώματι φῶς ἥλιος, οὕτω τῇ ψυχῇ ἡ π. ... πόση ζημία Χριστιανῷ τὸ μὴ προσεύχεσθαι συνεχῶς καὶ διὰ τῆς εὐ. τὸ τοῦ Χριστοῦ φῶς εἰς τὴν ψυχὴν εἰσάγειν* †Chrys.*hom.prec*.1(2.779A); *τινὲς ἐκ π. ἐξιόντες...ὡς ἐκ φωτὸς πεφωτισμένοι, καὶ διπλοῦδα ταπεινώσεως, καὶ ἀγαλλιάσεως ἠμφιεσμένοι* Jo.Clim.*scal*.28(M.88.1137C); **c.** union with God *δι' εὐχῆς συνεῖναι...θεῷ* Clem.*str*.7.7(p.30.30; M.9.456C); *εὐχόμενος...ἐπιτηδειότερος γίνεται ἀνακραθῆναι τῷ... τοῦ κυρίου πνεύματι...ἔτι δὲ διά τε τῆς προειρημένης καθαρεύσεως καὶ τῆς εὐ. τοῦ μέσου καὶ τῶν μὴ γινωσκόντων αὐτὸν ἑστηκότος λόγου θεοῦ, οὐδενὸς ἀπολειπομένου τῆς εὐ., μεθέξει, συνευχομένου πρὸς τὸν πατέρα τῷ ὑπ' αὐτοῦ μεσιτευομένῳ* Or.*or*.10.2(p.320.17–19; M.11.445C); Bas.*ep*.2.4(3.73C; M.32.229B) cit. s. *ἐνοίκησις*; *κοινωνία τῆς μυστικῆς ἐνεργείας, καὶ συνάφεια διαθέσεως τῆς πρὸς θεὸν ἁγιότητος, καὶ αὐτοῦ τοῦ νοῦ δι' ἀγάπης ἀρρήτου πρὸς κύριον, ἐν τῇ εὐ. τοῖς καταξιουμένοις γίνεται* Mac.Aeg.*or*.1(M.34.853A); *ἡ δὲ π. ... θεῷ προσομιλεῖν παρασκευάζουσα, καὶ φιλίαν τὴν πρὸς αὐτὸν μνηστευομένη* ‡Nil.*perist*.4.2 (M.79.828A); Ant.Mon.*hom*.106(M.89.1756B); *ib*.(1757A); Dion.Ar. *d.n*.3.1(M.3.680B); Jo.Clim.*scal*.28(M.88.1133C); *ἡ δε π. χωρίζει τὸν νοῦν πάντων τῶν νοημάτων, καὶ αὐτῷ αὐτὸν παρίστησι γυμνὸν τῷ θεῷ* Max.*ascet*.19(M.90.925D); *πρὸς τοῦτο* [sc. *θεωρίαν τῆς ἁγίας τριάδος*] *δὲ καὶ ἡ τῆς εὐ. προσεδρεία τὸν νοῦν χειραγωγεῖ, εἰκότως προοίμιον καὶ οἱονεὶ προεικόνισμα ἐκείνης τῆς μακαριότητος κέκληται αὕτη* †Jo. D.*B.J*.20(M.96.1041A); **d.** from which results joy *π. ἐστι χαρᾶς... πρόβλημα* Evagr.Pont.*or*.15(M.79.1169D); *ὁ...εὐχόμενος πολλὴν μετὰ τὴν εὐ. εἰς τὴν ψυχὴν τὴν ἑαυτοῦ τὴν ἡδονὴν εἰσοικίσαι δυνήσεται* Chrys. *incomprehens*.5.6(1.489A); *αἰτίαν τῆς χαρᾶς προσευχήν* ‡Max.*cap.al*. 86(M.90.1420B); and physical and spiritual brightness *προσευχομένου τοῦ δεσπότου Ἰησοῦ ἐν ὄρει, ἔλαμψεν τὸ πρόσωπον,...ὅπερ συμβαίνειν εἴωθεν τοῖς...τῇ εὐ. προσανέχειν σπουδάζουσι μοναχοῖς· ἐκλάμπει γὰρ τηνικαῦτα τὸ πρόσωπον τῆς ψυχῆς* Nil.*epp*.2.74(M.79.233A); **2.** of neglect of prayer: sin *διὰ τοῦτο πολλὴ κατὰ τὸν βίον ἡ ἁμαρτία... διότι λήθη τοῦ θεοῦ κατακρατεῖ τῶν πάντων, καὶ τὸ τῆς εὐ. ἀγαθὸν τοῖς ἀνθρώποις τῶν σπουδαζομένων οὐ συνεφάπτεται* Gr.Nyss.*or.dom*.1(p.4. 33; M.44.1121B); separation from God *χωρίζεται δὲ τοῦ θεοῦ, ὁ μὴ συνάπτων ἑαυτὸν διὰ προσευχῆς τῷ θεῷ ib*.(p.6.35; 1124A); *χωρίζεται δὲ ἀπὸ θεοῦ πᾶς ἄνθρωπος, ὁ μὴ βουλόμενος διὰ προσευχῆς τῷ θεῷ συνάπτειν ἑαυτόν* Nil.*epp*.3.261(M.79.516A); spiritual death, †Chrys. *hom.prec*.1(2.780C); cf.*ib*.(780D).

F. relation to virtues and other spiritual exercises; **1.** in gen.; **a.** prayer the fount of virtue, Mac.Aeg.*hom*.40.2(M.34.764B); cf.id. *or*.1(M.34.853A); Gr.Nyss.*or.dom*.1(p.8.3; M.44.1124A); *κεφάλαιον εἶναι ἀγαθῶν τὴν π. φημι, καὶ κρηπῖδα καὶ ῥίζαν τοῦ λυσιτελοῦντος βίου* †Chrys.*hom.prec*.1(2.782C); *ib*.2(783D); *ἡ μήτηρ πασῶν τῶν ἀρετῶν π.* Nil.*epp*.3.90(M.79.428C); *ἡ π., ἀρετὴ λέγεται, κἂν μήτηρ αὐτῶν τυγχάνῃ· ἀπογεννᾷ γὰρ αὐτάς, διὰ τῆς εἰς Χριστὸν συναφείας* Marc.Er.*opusc*.2.33(M.65.936B); **b.** prayer above virtues *πασῶν τῶν ἀρετῶν π. θειοτέρα* Evagr.Pont.*or*.150(M.79.1200A); *ἡ π. ὑψηλοτέρα τυγχάνει πασῶν τῶν ἀρετῶν, καθαρὰ οὖσα καὶ θεῷ ἐγγίζουσα* Ant.Mon. *hom*.106(M.89.1756C); **2.** in partic.; **a.** humility *χωρὶς δὲ ταπεινοφροσύνης οὐκ ἔστιν εὐπρόσδεκτον γενέσθαι προσευχήν* Ant.Mon.*hom*.106 (M.89.1757A); **b.** faith *τῆς πίστεως τὴν εὐ. ἰσχυροτέραν ἀπέφηνεν ὁ σωτὴρ τοῖς πιστοῖς ἀποστόλοις...εἰπών· 'τὰ τοιαῦτα εὐχῇ κατορθοῦται'* Clem.*ecl*.15(p.141.3; M.9.705A); *ἡ εὐ. τῆς πίστεως σώσει τὸν κάμνοντα* Eustrat.*v.Eutych*.45(M.86.2328A); Jo.Clim.*scal*.27(M.88.1113B) cit. s. *πίστις*; *πίστις προσευχὴν ἐπτέρωσε· χωρὶς γὰρ ταύτης εἰς οὐρανὸν πετασθῆναι οὐ δύναται ib*.28(1133C); **c.** charity *τὴν τελείαν καὶ πνευματικὴν ἀγάπην, ἐν ᾗ ἡ π. ἐνεργεῖται ἐν πνεύματι καὶ ἀληθείᾳ* Evagr.Pont.*or*.77(M.79.1184C); *οὐ μικρὸς σύνδεσμος τῆς πρὸς θεὸν ἀγάπης ἡ εὐ. συνήθειαν ἡμῖν ἐμποιοῦσα τῆς πρὸς αὐτὸν ὁμιλίας, καὶ εἰς φιλοσοφίαν ἄγουσα* Chrys.*exp.in Ps*.4:2(5.8A); *ἀγάπην δὲ μοναχοῦ πρὸς θεὸν ἤλεγξε προσευχῆς καιρὸς καὶ παράστασις* Jo.Clim.*scal*.28(M. 88.1136B); **3.** prayer combined with fasting, almsgiving, etc. *2Clem*. 16.4 cit. s. *ἐλεημοσύνη*; patience and fasting increasing its power, *T.Jos*.10.1; *ἀεὶ μὲν οὖν μεγάλη τῆς εὐ. ἡ δύναμις· τὸ δὲ μετὰ νηστείας εἶναι εὐ., δυνατωτέραν ποιεῖ τὴν ψυχήν* Chrys.*hom.in Ps.145*:2(5. 531B); *τοιοῦτον ἡ ἐλεημοσύνη, τοιοῦτον ἡ εὐ., μᾶλλον δὲ καὶ αὕτη παρ' ἐκείνης δυνατή, καὶ ὑπόπτερος γίνεται...οὐκ εὐ. δὲ μόνον, ἀλλὰ καὶ νηστεία ἐντεῦθεν τὰ νεῦρα ἔχει* id.*hom.77.6 in Mt*.(7.749D,E); *πῦρ ἐστιν ἡ εὐ. μάλιστα ὅταν ἀπὸ νηφούσης καὶ διεγηγερμένης ἀναπέμπηται ψυχῆς·...ἔλαιον δὲ τοῦ πυρὸς τούτου οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἢ ἐλεημοσύνη* id.*hom.3.12 in 2Cor.4*:13(3.290B); prayer and sexual abstinence *καιρὸς γὰρ συνουσίας γυναικὸς καὶ καιρὸς ἐγκρατείας εἰς προσευχὴν αὐτοῦ T.Neph*.8.8; *ὅπου...πειρᾶται ἐμποδίζειν ἡμῖν κατὰ τὸν τῆς π. καιρὸν ὁ διάβολος...ὅπερ ἵνα μὴ πάθωμεν,...μηδὲ αὐτῷ προσκρούωμεν διὰ τῆς οὕτω ματαίας εὐ., κελεύει* [sc. *ὁ θεός*] *τῆς κοίτης ἀπηλλάχθαι τότε* Chrys.*virg*.31(1.290D,E); id.*hom.51.5 in Mt*.(7. 527A); **4.** prayer and good works *'ἀδιαλείπτως' δὲ προσεύχεται, καὶ τῶν ἔργων τῆς ἀρετῆς ἢ τῶν ἐντολῶν τῶν ἐπιτελουμένων εἰς εὐχῆς ἀναλαμβανομένων μέρος, ὁ συνάπτων τοῖς δέουσιν ἔργοις τὴν εὐ. καὶ τῇ εὐ. τὰς πρεπούσας πράξεις* Or.*or*.12.2(p.324.26f.; M.11.452C); *ἐὰν εὐ. τῆς σπουδῆς προηγήσηται, ἡ ἁμαρτία πάροδον κατὰ τῆς ψυχῆς οὐχ εὑρήσει* Gr.Nyss.*or.dom*.1(p.6.19; M.44.1121D); *ib*.(p.8.3; 1124A); Chrys.*exp. in Ps*.140:5(5.440D); *οὔτε εὐ. χωρὶς ἔργων, οὔτε ἔργα χωρὶς εὐ. τίθησι* id.*hom.32.2 in Rom*.(9.756A); *σπούδαζε...προσκαρτερεῖν ταῖς ἁγίαις εὐ. ... κἂν μὴ σχολάζωσιν αἱ χεῖρες, εὔχου τῇ διανοίᾳ* ‡Chrys.*pat.et consumm*.(12.818A); **5.** prayer and sacrifice almost identical; discussion of Mal.1:10 interpreted as referring to Christian sacrifices *λέγετε* [sc. Jews] *ὅτι...προσδέχεται ὁ θεός, τὰς...διὰ τῶν ἐν τῇ διασπορᾷ τότε δὴ ὄντων...εὐχὰς προσίεσθαι αὐτὸν εἰρηκέναι, καὶ τὰς εὐ. αὐτῶν θυσίας καλεῖν* Just.*dial*.117.2(M.6.745B); *δι' εὐχῆς τιμῶμεν τὸν θεόν, καὶ ταύτην τὴν θυσίαν ἀρίστην καὶ ἁγιωτάτην μετὰ δικαιοσύνην ἀναπέμπομεν* Clem.*str*.7.6(p.23.24; M.9.444A).

G. corporate and liturg. prayer; **1.** power of corporate prayer in gen. *εἰ γὰρ ἑνὸς καὶ δευτέρου προσευχὴ τοσαύτην ἰσχὺν ἔχει, πόσῳ μᾶλλον ἡ τε τοῦ ἐπισκόπου καὶ πάσης τῆς ἐκκλησίας;* Ign.*Eph*.5.2; *τί γὰρ ἐν τῇ οἰκίᾳ οὐ δύναμαι εὔξασθαι; δύνασαι μὲν εὔξασθαι, οὐ τοσαύτην δὲ δύναμιν ἔχει ἡ εὐ., ὡς ὅταν μετὰ τῶν μελῶν τῶν οἰκείων γίνηται, ὡς ὅταν ὁλόκληρον τὸ σῶμα τῆς ἐκκλησίας ὁμοθυμαδὸν ἀναπέμπῃ τὴν δέησιν μιᾷ φωνῇ, ἱερέων παρόντων, καὶ τὰς εὐ. τοῦ κοινοῦ πλήθους ἀναφερόντων* Chrys.*proph.obscurit*.2.4(6.187D); *ib*.2.5(188C); efficacy of Church's prayer for S. Peter in prison a favourite example, *ib*. (187E); †Chrys.*hom.prec*.2(2.788C); **2.** liturg. prayer; **a.** in gen., of prayers said at celebration of eucharist *ἀνιστάμεθα κοινῇ πάντες καὶ εὐ. πέμπομεν* Just.*1apol*.67.5(M.6.429B); *οὗ συντελέσαντος τὰς εὐ. καὶ τὴν εὐχαριστίαν ib*.65.3(428B); at baptism, for newly baptized *μετὰ τὸ οὕτως λοῦσαι τὸν πεπεισμένον...ἐπὶ τοὺς λεγομένους ἀδελφοὺς ἄγομεν...κοινὰς εὐ. ποιησόμενοι ὑπέρ τε ἑαυτῶν καὶ φωτισθέντος ib*.65.1 (428A); for catechumens who have not been taught the Lord's Prayer *ὅταν γὰρ ὁ διάκονος λέγῃ, 'ὑπὲρ τῶν κατηχουμένων ἐκτενῶς δεηθῶμεν', οὐδὲν ἄλλο ἢ τὸν δῆμον ἅπαντα τῶν πιστῶν διανίστησιν εἰς τὰς ὑπὲρ ἐκείνων εὐχὰς...οὐδέπω γὰρ εὐχὴν ἔχουσι τὴν νενομισμένην καὶ εἰσενεχθεῖσαν ὑπὸ τοῦ Χριστοῦ...διὰ τοῦτο καὶ ἀπελαύνονται, τῶν φρικτῶν εὐ. ἐκείνων γινομένων* Chrys.*hom.2.5 in 2Cor*.(10.435B,C); at ordination, Pall.*v.Chrys*.16(p.96.14; M.47.54); **b.** esp. of prayers of synaxis, preceding Mass of Faithful, to which certain categories of penitents were admitted *...ἐὰν μὲν κατηγορηθέντες ἐλεγχθῶσιν, ὁμοίως ἐν τοῖς ὑποπίπτουσιν· ἐὰν δὲ ἑαυτοὺς ἐξείπωσι καὶ ἀποδῶσι, καὶ τῆς εὐ. ἀξιῶσαι* Gr.Thaum.*ep.can*.9(M.10.1044D); *περὶ τῶν πρὸς βίαν θυσάντων...εὐ. δὲ μόνης κοινωνῆσαι ἔτη δύο, καὶ τότε ἐλθεῖν ἐπὶ τὸ τέλειον* CAnc.(314)*can*.4; *ὅσοι...ἥμαρτον πέντε καὶ δέκα ἔτεσιν ὑποπεσόντες κοινωνίας τυγχανέτωσαν τῆς εἰς τὰς προσευχάς, εἶτα ἐν τῇ κοινωνίᾳ διατελέσαντες ἔτη πέντε, τότε καὶ τῆς προσφορᾶς ἐφαπτέσθωσαν ib*.16; *ib*.24; *οὗτοι πληρώσαντες τὸν χρόνον τὸν ὡρισμένον τῆς ἀκροάσεως, εἰκότως τῶν εὐ. κοινωνήσουσι, μετὰ τοῦ ἐξεῖναι τῷ ἐπισκόπῳ, καὶ φιλανθρωπότερόν τι περὶ αὐτῶν βουλεύσασθαι* CNic.(325) *can*.12; *ib*.13; and from which others were excluded *ἐκείνων* [sc. one who has committed rape] *ἐξόρισον τῶν εὐ., καὶ ἐκκήρυκτον ποίησον· καὶ τοὺς συνεπελθόντας αὐτῷ...τριετίαν πανοικεὶ τῶν εὐ. ἐξόρισον. καὶ τὴν κώμην τὴν ὑποδεξαμένην τὴν ἁρπαγεῖσαν...ἔξω τῶν εὐ. πανδημεὶ ποίησον* Bas.*ep*.270(3.416E; M.32.1001D–1004A); *ὑπὲρ δὲ τοῦ μὴ ὑμᾶς μολύνεσθαι ἐν κοινωνίᾳ τῶν ἁμαρτημάτων, πανοικεὶ τῶν εὐ. κεχωρίσθω ib*.287(426C; M.1024B); *τοὺς ἐν πορνείᾳ μολυνθέντας, ἐν τρισὶ μὲν ἔτεσι καθόλου τῆς εὐ. ἀποβλήτους εἶναι* Gr.Nyss.*ep.can*. (M.45.229A); **c.** of three prayers at beginning of Mass of Faithful

τῶν ἐν μετανοίᾳ...προσελθόντων ὑπὸ χεῖρα καὶ ὑποχωρησάντων, οὕτως τῶν πιστῶν τὰς εὐ. γίνεσθαι τρεῖς· μίαν μὲν τὴν πρώτην διὰ σιωπῆς, τὴν δὲ δευτέραν καὶ τρίτην διὰ προσφωνήσεως πληροῦσθαι, εἶθ' οὕτως τὴν εἰρήνην δίδοσθαι CLaod.*can.*19; cf. ἐν τῇδε τῇ ἡμέρᾳ...ἐν ᾗ καὶ τρεῖς εὐ. ἑστῶτες ἐπιτελοῦμεν μνήμης χάριν τοῦ διὰ τριῶν ἀναστάντος ἡμερῶν, ἐν ᾗ προφητῶν ἀνάγνωσις καὶ εὐαγγελίου κηρυκία καὶ θυσίας ἀναφορὰ καὶ τροφῆς ἱερᾶς δωρεά *Const.App.*2.59.4; cf.*ib.*7.45.3; οἱ τὴν πρώτην εὐ. εὐχόμενοι προσέλθετε *Lit.*ap.*Const.App.*8.12.2; of all prayers between Lessons and Communion πάντας τοὺς εἰσιόντας πιστοὺς καὶ τῶν γραφῶν ἀκούοντας, μὴ παραμένοντας δὲ τῇ π. καὶ τῇ ἁγίᾳ μεταλήψει, ὡς ἀταξίαν ἐμποιοῦντας τῇ ἐκκλησίᾳ, ἀφορίζεσθαι χρή *Can.App.*10; CAnt.(341)*can.*2; **d.** of consecration prayer δι' εὐχῆς λόγου τοῦ παρ' αὐτοῦ [sc. *Χριστοῦ*] εὐχαριστηθεῖσαν τροφήν, ἐξ ἧς αἷμα καὶ σάρκες κατὰ μεταβολὴν τρέφονται ἡμῶν Just.*1apol.*66.2(M.6.428C); ἐπ' ἂν δὲ ἐπιτελεσθῶσιν μεγάλαι...εὐ., τότε γίνεται ὁ ἄρτος, σῶμα, καὶ τὸ ποτήριον, αἷμα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ...οὗτος ὁ ἄρτος καὶ τοῦτο τὸ ποτήριον, ὅσον οὔπω εὐχαὶ...γεγόνασι, ψιλά εἰσιν· ἐπὰν δὲ αἱ μεγάλαι εὐ. ... ἀναπεμφθῶσι, καταβαίνει ὁ λόγος εἰς τὸν ἄρτον καὶ τὸ ποτήριον, καὶ γίνεται αὐτοῦ σῶμα †Ath.ap.Eutych.*pasch.*8(M.86.2401A,B); **e.** of whole liturgical service ἐπιχώριοι πρεσβύτεροι ἐν τῷ κυριακῷ τῆς πόλεως προσφέρειν οὐ δύνανται, παρόντος ἐπισκόπου ἢ πρεσβυτέρου πόλεως, οὔτε μὲν ἄρτον διδόναι ἐν εὐχῇ, οὐδὲ ποτήριον. ἐὰν δὲ ἀπῶσι, καὶ εἰς εὐχὴν κληθῇ μόνος, δίδωσιν CNeocaes.*can.*13; ὁ μὲν ἱεράρχης, εὐ. ἱερὰν ἐπὶ τοῦ θείου θυσιαστηρίου τελέσας Dion.Ar.*e.h.*3.1.2 (M.3.425B); **f.** of other liturg. prayers: daily offices, CLaod.*can.*18 cit. s. λειτουργία; Bas.*ep.*99.1(3.193B; M.32.497C); at communion of the sick ποιήσας τὴν συνήθη εὐ., μετέδωκεν αὐτῷ τῆς ἀχράντου κοινωνίας Eustrat.*v.Eutych.*48(M.86.2329B); litanies κοινὰς ποιούμεθα τὰς εὐ., λιτανεύοντες ὑπὲρ νοσούντων Chrys.*hom.78.4 in Jo.*(8.464D).

H. prayer for dead ποιήσωμεν εὐ. ὑπὲρ τῆς ψυχῆς ταύτης...καὶ ἐποίησαν δέησιν καὶ εὐ. ὑπὲρ τῆς ψυχῆς· καὶ εἰσήκουσεν αὐτοὺς ὁ θεὸς καὶ ἀναστάντες ἀπὸ τῆς π. οὐκ εἶδον τὴν ψυχὴν ἱσταμένην ἐκεῖσε...καὶ εἶπεν ὁ ἄγγελος· σέσωται διὰ τῆς εὐ. σου τῆς δικαίας, καὶ ἰδοὺ ἔλαβεν αὐτὴν ἄγγελος φωτοφόρος καὶ ἀνήνεγκεν αὐτὴν ἐν τῷ παραδείσῳ *T.Abr.* A 14(p.94.2–8); ὅτι δὲ καὶ τῶν δικαίων αἱ κατὰ τὸν τῇδε βίον, μήτι γε μετὰ θάνατον, εἰς τοὺς ἀξίους ἱερῶν εὐ. ἐνεργοῦσι μόνον, αἱ τῶν λογίων ἡμᾶς ἐκδιδάσκουσιν ἀληθεῖς παραδόσεις Dion.Ar.*e.h.*7.3.6(M.3.561A); rejection by heretics denounced ⟨εἰ⟩ εὔχεται, γάρ φησιν [sc. Aërius], ὁ ζῶν...τί ὠφεληθήσεται ὁ τεθνεώς; εἰ δὲ ὅλως εὐ. τῶν ἐνταῦθα τοὺς ἐκεῖσε ὤνησεν, ἆρα γοῦν μηδεὶς εὐσεβείτω...ἀλλὰ κτησάσθω φίλους τινὰς...καὶ εὐχέσθωσαν περὶ αὐτοῦ, ἵνα μή τι ἐκεῖ πάθῃ Epiph.*haer.*75.3 (p.335.6; M.42.508A); εἰ δὲ καὶ ἁμαρτωλὸς ἀπῆλθε...δεῖ...βοηθεῖν...εὐ. καὶ ἱκετηρίαις Chrys.*hom.41.4 in 1Cor.*(10.392E); μὴ δὴ ἀποκάμωμεν τοῖς ἀπελθοῦσι βοηθοῦντες, καὶ προσφέροντες ὑπὲρ αὐτῶν, καὶ ἀξιοῦντες εὐ. ὑπὲρ αὐτῶν τελεῖσθαι *ib.41.5*(393B).

I. intercessory prayers; **1.** of living ἐλπίζουσα τῇ π. ὑμῶν ἐπιτυχεῖν ἐν Ῥώμῃ θηριομαχῆσαι Ign.*Eph.*1.2; μνημονεύετέ μου ἐν ταῖς π. ὑμῶν, ἵνα θεοῦ ἐπιτύχω id.*Magn.*14; ἡ π. ὑμῶν εἰς θεόν με ἀπαρτίσει id.*Philad.*5.1; δίδωσι γὰρ οὕτως καὶ τὴν εὐ. τοῖς δεομένοις ὁ γνωστικὸς καὶ τὸ διὰ τῆς εὐ. ἀγνώστως ἅμα καὶ ἀτύφως παρέχεται Clem.*str.*7.13(p.58.12f.; M.9.513A); σκεπόμεθα τῇ χειρὶ τοῦ κυρίου ἐν τῷ κόσμῳ κατά τινα χρείαν διάγοντες, ἴσως ἐξ εὐ. τοῦ πατρὸς [sc. πνευματικοῦ] πολλάκις, ἵνα μὴ καὶ ὁ κύριος βλασφημηθῇ δι' ἡμᾶς Jo. Clim.*scal.*15(M.88.893B); as taught by Christ, Chrys.*hom.19.4 in Mt.*(7.249E); **2.** of saints in heaven εἰς τοὺς ἁγίους τούτους ὁρῶντες... ἵνα ταῖς εὐ. αὐτῶν δυνηθῶμεν...πρὸς τὰς οὐρανίους αὐτῶν καταταχθῆναι σκηνάς Chrys.*pan.Aeg.*2(2.703A); needing men's co-operation οὔτε τὸ πᾶν ταῖς εὐ. τῶν ἁγίων ἐπιτρέψαντας αὐτοὺς ἀργεῖν χρὴ...μεγάλα ἡ εὐ. ἡ ὑπὲρ ἡμῶν, ἀλλ' ὅταν καὶ ἡμεῖς ἐργαζώμεθα Chrys.*hom.5.1 in 2Thes.*(11.536E); γένοιτο δὲ εὐχαῖς τῶν ἁγίων...οὐ γὰρ δὴ τοσοῦτον ἡμῶν ἰσχύει τὰ ῥήματα, ὅσον τῆς ἐκείνων εὐ. ἡ παρρησία ‡Chrys. *prov.*2(2.760C,D); ὠφέλιμοι...εἰσὶν ἐν τῷδε τῷ βίῳ τῶν ἁγίων αἱ π. Dion.Ar.*e.h.*7.3.6(M.3.561B); ἐνικήσαμεν...εὐχαῖς πάντων τῶν ἁγίων Dor.*doct.*15.4(M.88.1793C); γένοιτο δὲ ἡμᾶς...εὐχαῖς πάντων τῶν ἁγίων πατριαρχῶν, προφητῶν, ἀποστόλων, μαρτύρων, ὁμολογητῶν, διδασκάλων, συναριθμίους τοῖς ἐκ δεξιῶν γενέσθαι Cosm.Ind.*top.*5 (M.88.313D); ὁ εἷς θεός, οὗ καὶ ἡμεῖς τῆς λαμπρᾶς βασιλείας, εὐχαῖς τῆς ὑπεράγνου θεοτόκου τύχοιμεν, καὶ εὐ. τῶν ὁσίων πατέρων ἡμῶν Hesych.S.*temp.*2.100(M.93.1544D); **3.** of angels, ‡Ath.*comm.essent.* 52(M.28.77B).

J. Lord's Prayer, its special power τοῦ κυρίου π., ὅσης δυνάμεως πεπλήρωται Or.*or.*18.1(p.340.8; M.11.473B); τὰ γὰρ τῆς π. ῥήματα θεραπεία ἐστὶ τῆς ἐγγινομένης τῇ ψυχῇ ἀρρωστίας Gr.Nyss.*or.dom.*4 (p.70.10; M.44.1164A); containing divine teaching on prayer, *ib.*1 (p.1.1,5; 1120B); *ib.*2(p.30.4; 1137C); εἰ τῶν ἐπιθυμιῶν ταῖς ἐμπαθεστέραις δουλεύοις, ἔπειτα τὴν τοιαύτην π. διὰ στόματος λάβοις· τί οἴει ἐρεῖν τὸν εἰς τὸν βίον σου βλέποντα, καὶ τῆς π. ἐπαΐοντα; *ib.*(p.36. 19,20; 1141D); ὁρᾷς εἰς ὅσον μέγεθος ὑψοῖ τοὺς ἀκούοντας διὰ τῶν τῆς π. ῥημάτων ὁ κύριος; *ib.*5(p.94.20; 1177D); τοῦτο δὲ ἡλίκον ἐστὶν [sc. to say ἀββᾶ ὁ πατήρ] ἴσασιν οἱ μύσται, καλῶς ἐπὶ τῆς εὐ. τῆς μυστικῆς τοῦτο πρῶτον κελευόμενοι τὸ ῥῆμα λέγειν Chrys.*hom.14.3 in Rom.*(9. 578E).

II. *vow*;

A. in gen. οὐ γὰρ ἄν, πολλὰ πολλῶν κατ' εὐχὰς ἐν τῷ νόμῳ κατεργασαμένων, μόνοι μεγάλην εὐ. ἐλέγοντο πληροῦν οἱ σφᾶς αὐτοὺς αὐθαιρέτῳ βουλῇ προσενέγκαντες θεῷ Meth.*symp.*5.1(p.53.10; M.18. 97A); μεγάλην εὐ. εἶναι παρὰ πάσας εὐ. ἀποδεικνύουσα τὴν ἀγνείαν *ib.* 5.4(p.56.19; M.18.101B); ἀποδίδωμι τὰς εὐ. μου *Const.App.*1.7.6; of vow of virginity, *ib.*4.14.1; εὐ. καλεῖ τὴν ὑπόσχεσιν, ὃ πολλοὶ τάγμα προσαγορεύουσι Thdt.*qu.38 in Lev.*(1.215); Proc.G.*Num.*30:3(M.87. 880A).

B. as formula of adjuration μὰ τὴν εὐ. †Gregent.*leg.Hom.*(M. 86.537B).

III. *permission* ἐξ εὐ. τοῦ πατρός Jo.Clim.*scal.*15(M.88.893B); so perh. also λαβὼν τὴν εὐ. παρ' αὐτῶν, καὶ εὐλογήσας, ἀπῆλθεν *T.Abr.* A 5(p.82.8).

***εὐχῆται, οἱ,** v. sq.

***εὐχῖται, οἱ,** members of a sect, also called Messalians, which over-emphasized importance of prayer to detriment of sacraments and eccl. discipline; teaching described, Thdt.*haer.*4.11(4.366–8); id.*h.e.*4.11.1(3.964); anathematized, CEph.(431)cit.ap.CNic.(787) *act.*1(H.4.56A); mode of reconciliation to Church, Cyr.*ep.*82(p.20. 14; M.77.376A); *Μαρκιανισταὶ καὶ Μεσσαλιανοὶ καὶ εὐτυχῖται* [perh. for εὐ.] καὶ ἐνθουσιασταὶ καὶ χορευταὶ καὶ Λαμπετιανοὶ καὶ Ἀδελφιανοὶ καὶ Εὐσταθιανοί· οὕτως προσαγορευόμενοι, διὰ τὸ πολυώνυμον εἶναι τὴν αἵρεσιν Tim.CP *haer.*(M.86.45C); εὐχῆται Philox.*ep.*35 (p.182); Thphn.*chron.*p.54(εὐχῖται M.108.189A).

***εὐχολόγιον, τό,** *Euchologion, Ritual,* a book for use of priest containing rites and ceremonies of Church ἔστιν εὐχὴ εἰς αὐτὸ τοῦτο ἐν τῷ εὐ. Anast.S.*qu.et resp.*141(M.89.793B).

εὔχομαι (with προσεύχομαι), *pray, offer prayer*; **1.** necessity of praying τὸ εὔχεσθαι ὑπὲρ πάντων· τοῦτο ἀποδέχεται ὁ θεός, τοῦτο θέλει Chrys.*hom.7.1 in 1Tim.*(11.585A); ὅστις γὰρ οὐ προσεύχεται τῷ θεῷ, οὐδὲ θείας ὁμιλίας ἀπολαύειν ἐπιθυμεῖ συνεχῶς, νεκρός ἐστι καὶ ἄψυχος †Chrys.*hom.prec.*1(2.780B); esp. of praying for all men παρακελεύεται...ὁ ἀπόστολος, ὑπὲρ πάντων ἀνθρώπων προσεύχεσθαι. τὸ δὲ εὔχεσθαι ὑπὲρ πάντων σημαίνει, ὅτι οὐ μόνον ὑπὲρ τῶν φίλων, ἀλλὰ καὶ ὑπὲρ τῶν ἐχθρῶν δεῖ προσεύχεσθαι Ant.Mon.*hom.*72(M.89. 1645A,B); **2.** prayer to be offered to Father through Christ προσεύχεσθαι μόνῳ τῷ θεῷ τῷ τῶν ὅλων πατρί. ἀλλὰ μὴ χωρὶς τοῦ ἀρχιερέως Or.*or.*15.1(p.334.13; M.11.465B); but, acc. Origen, not to Christ μόνῳ τῷ πατρὶ προσεύχεσθαι χρὴ...ἀρχιερεῖ γὰρ τῷ ὑπὲρ ὑμῶν καταστάθέντι...εὔχεσθαι ὑμᾶς οὐ δεῖ *ib.*15.4(p.335.18; 468A); *ib.*16.1(p.330. 6; 468C) cit. s. ἁμαρτία; not to angels ἡ ἐν Λαοδικείᾳ σύνοδος... ἐνομοθέτησε μὴ εὔχεσθαι ἀγγέλοις Thdt.*Col.*3:17(3.496); cf.CLaod. *can.*35; **3.** prayer to be made for contrition πρότερον περὶ λήψεως δακρύων προσεύχου Evagr.Pont.*or.*5(M.79.1168D); Ant.Mon.*hom.*106 (M.89.1757A); for purification προσεύχου πρότερον περὶ τοῦ καθαρθῆναι τῶν παθῶν, καὶ δεύτερον περὶ τοῦ ῥυσθῆναι ἀπὸ τῆς ἀγνωσίας, καὶ τρίτον ἀπὸ παντὸς πειρασμοῦ καὶ ἐγκαταλείψεως Evagr.Pont.*or.*37 (1176A); δίκαιον, μὴ μόνον περὶ οἰκείας καθάρσεως προσεύχεσθαι, ἀλλὰ καὶ περὶ παντὸς ὁμοφύλου *ib.*39(1176B); not for transitory things, Chrys.*hom.in Mt.*7:14(3.26E); **4.** conditions for praying well; **a.** moral purity, Or.*or.*9.3(p.319.14; M.11.445A); εἰ δὲ ἐξασθενήσας ὑπὸ τῆς ἁμαρτίας, ἀπερισπάστως οὐ δύνασαι εὔχεσθαι ‡Bas.*const.*1.4 (2.538D; M.31.1333B); Evagr.Pont.*or.*17(M.79.1172A); οὐ μόνον θυμοῦ, καὶ ἐπιθυμίας δεῖ ἄρχειν τὸν ἀληθῶς προσεύξασθαι ἐπειγόμενον, ἀλλὰ καὶ ἐκτὸς ἐμπαθοῦς νοήματος γενέσθαι *ib.*53(1177C); **b.** recollection πάντως ὥνατό τι ὁ πρὸς τὸ εὔξασθαι ταθεὶς κατὰ τὸν νοῦν, δι' αὐτῆς τῆς ἐν τῷ εὔχεσθαι καταστάσεως θεῷ παριστάναι ἑαυτὸν καὶ παρόντι ἐκείνῳ λέγειν σχηματίσας ὡς ἐφορῶντι καὶ παρόντι Or.*or.*8.2(p.317.7f.; M.11.441B); προσεύχου εὐτόνως, καὶ ἀποστρέφου τὰς τῶν φροντίδων καὶ διαλογισμῶν ἐπιτεύξεις Evagr.Pont.*or.*9(1169B); ἐνώπιον γὰρ κυρίου εὔχεται, ὁ πάντοθεν ἑαυτοῦ τὴν ψυχὴν συλλέγων, καὶ μηδὲν ἔχων κοινὸν πρὸς τὴν γῆν...καὶ πάντα ἀνθρώπινον λογισμὸν ἀπὸ τῆς ψυχῆς ἐκβαλών Chrys.*Anna* 2.2(4.713E); ὁ γνησίως τὸν θεὸν ἀγαπῶν, οὗτος καὶ ἀπερισπάστως πάντως προσεύχεται· καὶ ὁ ἀπερισπάστως πάντως προσευχόμενος, οὗτος καὶ γνησίως τὸν θεὸν ἀγαπᾷ. οὐκ εὔχεται δὲ ἀπερισπάστως, ὅ τινι ἐπιγείων ἔχων τὸν νοῦν προσηλωμένον· οὐκ ἄρα ἀγαπᾷ τὸν θεόν, ὅ τινι τῶν ἐπιγείων ἔχων τὸν νοῦν δεδεμένον Max. *carit.*2.1(M.90.984B); **5.** effects of praying: prevention of sin, Or.*or.* 8.2(p.317.22; M.11.441D); ἀμήχανον...ἄνθρωπον μετὰ τῆς προσηκούσης

προθυμίας εὐχόμενον...ἁμαρτεῖν ποτε Chrys.*Anna* 4.5(4.736D); fuller knowledge of how to pray εἰ μηδὲν ἕτερον ἡμῖν ἐπακολουθήσει εὐχομένοις, ὅτι τὰ κάλλιστα κερδαίνομεν, τὸ καθὸ δεῖ εὔχεσθαι νενοηκότες καὶ κατορθοῦντες Or.*or.*10.1(p.319.19; 445A); purification of soul as by fire, Chrys.*hom.5.4 in 2Cor.*(10.470D); **6.** assistance of Christ and angels at prayer ὁ υἱὸς τοῦ θεοῦ, εὐχόμενος ὑπὲρ τῶν εὐχομένων ...οὐκ ἂν ὡς ὑπὲρ οἰκείων εὐξόμενος τῶν μὴ δι' αὐτοῦ συνεχέστερον εὐχομένων Or.*or.*10.2(p.320.21ff.; M.11.445D); οὐ μόνος δὲ ὁ ἀρχιερεὺς τοῖς γνησίως εὐχομένοις συνεύχεται ἀλλὰ καὶ οἱ ἐν οὐρανῷ χαίροντες ἄγγελοι *ib.*11.1(p.321.15; 448D); **7.** temptations when praying ὅταν ἴδωσιν οἱ δαίμονες προθυμούμενόν σε ἀληθῶς προσεύξασθαι, τότε ὑποτίθενται νοήματά τινων πραγμάτων δῆθεν ἀναγκαίων Evagr.Pont. *or.*10(M.79.1169B); λίαν βασκαίνει ὁ δαίμων ἀνθρώπῳ προσευχομένῳ, καὶ πάσῃ χρᾶται μηχανῇ, λυμήνασθαι τὸν τούτου σκοπόν *ib.*46(1176D); **8.** partic. duties of women at prayer τὴν γυναῖκα χρὴ ἔχειν μάλιστα εὐχομένην τὸ κατεσταλμένον καὶ τὸ κόσμιον ψυχῇ καὶ σώματι, πάντων μᾶλλον ἐξαιρέτως καὶ ὅτε εὔχεται αἰδουμένην τὸν θεὸν καὶ πᾶσαν ἀκόλαστον καὶ γυναικείαν ὑπόμνησιν ἐξορίσασαν ἀπὸ τοῦ ἡγεμονικοῦ Or. *or.*9.1(p.318.8; M.11.444A); **9.** προσεύχομαι dist. from εὔχομαι: εὖ ξασθαι γὰρ χρὴ πρότερον, εἶτα προσεύξασθαι Gr.Nyss.*or.dom.*2(p.30. 27,28; M.44.1140A); cf. εὐχή.

εὔχορτος, *very grassy,* Nonn.*par.Jo.*6:23(M.43.797B).

εὐχροέω, *be of a good colour* βαφῆς Gr.Nyss.*hom.2 in Cant.*(M.44. 788C); ὕλην id.*or.dom.*5(p.104.37; M.44.1185C).

εὔχροια, ἡ, *fair colour*; of metals, Bas.*hom.*13.3(2.116A; M.31. 429A); *ib.*6.4(46C; M.264C); Gr.Nyss.*v.Mos.*(M.44.380C); of flowers, id.ap.Proc.G.*Cant.*2:1(M.87.1576C); of garments, Isid.Pel.*epp.*1.74 (M.78.233B); plur., Bas.*hex.*2.1(1.12D; M.29.29A); Zach.Mit.*opif.*(M. 85.1025A); met. τῆς ἀληθείας τὴν εὖ. Cyr.*Jo.*4.6(4.422B).

εὔχροος, *beautifully coloured* χρυσὸς εὐχροώτερος Gr.Nyss.*hom. 4 in Cant.*(M.44.832A); Nonn.*par.Jo.*2:10(M.43.761B).

***εὐχρωματίστως,** *with fine colours,* Andr.Cr.*or.*16(M.97.1153B).

***εὔχρωτος,** *of good complexion, T.Sal.*4.2(M.122.1320D) = *ib.*C 11.2.

***εὐχυμίζω,** *make palatable,* Sophr.H.*v.Cyr.et Jo.*10(M.87.3392A).

εὔχυμος, 1. *wholesome* τὸ πάντων εὐχυμότερον...ἔδεσμα ‡Chrys. *prov.*1(2.753B); **2.** *in good condition* σῶμα Dor.*doct.*16.3(M.88.1797C).

***εὔψοος,** prob. f.l. for εὔψοφος, *well-sounding,* Ephr.3.44C.

εὐψυχέω, 1. *be of good courage,* Herm.*vis.*1.3.2; *A.Jo.*6(p.154.8); **2.** c. infin., *dare* to εὖ. εἰσελθεῖν Call.*v.Hyp.*(p.26); *have the heart* to μὴ εὖ. καταπιεῖν αὐτό [sc. τὸ βρῶμα] διὰ τὴν ἡδονήν Dor.*doct.*15.2(M. 88.1789B).

§**εὐψυχία,** ἡ, *coolness* μήτε ἐν ἡμέρᾳ μέσῃ...ἀλλὰ...σκιᾶς ἀπολαύοντες καὶ εὐ. Chrys.*hom.31.5 in Jo.*(8.182C).

εὐψύχως, *courageously,* Mac.Aeg.*carit.*27(M.34.929C); id.*libert. ment.*13(M.34.945A); Thdr.Stud.*epp.*2.206(M.99.1625B).

εὐωδέω, *be fragrant,* Gr.Naz.*ep.*17(M.37.61C); id.*or.*14.17(M.35. 877C); Thdr.Stud.*epp.*1.54(M.99.1108B).

εὐώδης, *sweet-smelling, fragrant,* met. τὸ εὐαγγέλιον Chrys.*hom. 5.2 in 2Cor.*(10.467C); αἱ τοῦ θεοῦ κρύφιαι καὶ ὑπὲρ νοῦν εὐ. εὐπρέπειαι Dion.Ar.*e.h.*4.3.1(M.3.473B); εἶναι...Ἰησοῦν ὑπερουσίως εὐ. *ib.*4.3.4(477C); neut. as subst. Χριστοῦ τὸ εὐ. ἐν ἐκκλησίᾳ Cyr.*ador.*9 (1.309D); id.*Os.*160(3.193A); Dion.Ar.*e.h.*4.3.1(476A).

εὐωδία, ἡ, 1. *sweet smell, fragrance*; **a.** lit.; of odour of sanctity παρέδωκε τὸ πνεῦμα [sc. Sisoes]...καὶ ἐπλήσθη ὅλος ὁ οἶκος εὐωδίας *Apophth.Patr.*(M.65.396C); ἐκ τοῦ τιμίου αὐτοῦ λειψάνου μύρων ἰαματικὴν εὐ. πᾶσιν ἀναβλύσαι Leont.N.*v.Jo.Eleem.*46(p.102.2,11); cf. πολλάκις εὐ. ἐξέρχεσθαι ἐκ τοῦ στόματος αὐτοῦ id.*v.Sym.*51(M.93. 1733A); its symbolism, exeg. Cant.2:3 εὐ. ἥτις χαρακτηρίζει τὴν πίστιν Ph.Carp.*Cant.*37(M.40.61A); **b.** fig.; in gen. εὐ. πνευματικῆς Or.*schol.in Cant.*7:4–5(M.17.281D); Cyr.*ador.*17(1.624B); τῆς θεαρχικῆς εὐ. Dion.Ar.*e.h.*4.3.4(M.3.477D); of Father οὐ δεῖται...τῆς ἀπὸ τῶν ἀνθῶν καὶ θυμιαμάτων εὐ., αὐτὸς ὢν ἡ τελεία εὐ. Athenag.*leg.*13.1 (M.6.916B); σοι τῷ πεπληρωμένῳ πάσης εὐ. καὶ εὐφροσύνης *Lit.Jac.* (p.168.24); of Christ ὥσπερ ἡ σωματικὴ εὐ. τινὰ τῶν ζῴων λέγεται ἀναιρεῖν, οὕτως διὰ τὴν προγενομένην κακίαν καὶ ἡ Χριστοῦ εὐ. γένοιτο ἄν τισιν τοῖς ἐκ θανάτου εἰς θάνατον αὐτῶν Or.*Jo.*20.44(33; p.388.9ff.; M.14.677B); τοῦτο τὸ μύρον δὸς ἐνεργὲς γενέσθαι ἐπὶ τῷ βαπτιζομένῳ, ὥστε βεβαίαν καὶ πάγιον ἐν αὐτῷ τὴν εὐ. μεῖναι τοῦ Χριστοῦ σου *Const.App.*7.44.2; γένοιτο δὲ πάντας ἡμᾶς...τὴν εὐ. τοῦ Χριστοῦ ἔχειν Chrys.*hom.52.4 in Jo.*(8.309E); καὶ τὸ 'Χριστοῦ δὲ εὐ.' διπλῆν μοι τὴν ἐξήγησιν ἔχειν δοκεῖ. ἢ γὰρ τοῦτό φησιν, ὅτι ἑαυτοὺς θυσίαν προσέφερον ἀποθνήσκοντες, ἢ ὅτι τῆς τοῦ Χριστοῦ σφαγῆς εὐ. εἰσίν id.*hom.5.2 in 2Cor.*(10.467E); πῶς οὖν ὁ ἐκ θεοῦ πατρὸς λόγος ὀσμή τις καὶ εὐ. νοεῖται τοῦ θεοῦ καὶ πατρός, εἴπερ ἐστὶν ἑτεροφυής; Cyr.*2Cor.*2:14(p.329.9n.); of H. Ghost, Cyr.H.*procatech.*1; εἰ δὲ τὸ πνεῦμα εὐ. καὶ μορφὴ τοῦ υἱοῦ ἐστιν, εὔδηλον ὡς οὐκ ἂν εἴη τὸ πνεῦμα κτίσμα Ath.*ep.Serap.*2.3(M.26.629A); Χριστοῦ γάρ ἐστιν εὐ. τὸ πνεῦμα ...καὶ οἱ ἀπόστολοι Χριστοῦ εὐ. ἦσαν, καὶ εἰσίν· ἐπειδὴ καὶ ναοὶ τοῦ πνεύματός εἰσι ‡Ath.*dial.Trin.*1.7(M.28.1128B); ἡ ἐν. τοῦ θυμιάματος μηνύει τὴν εὐ. τοῦ πνεύματος Jo.Jej.*liturg.*(p.441); in Sethian theory ἡ τοῦ πνεύματος εὐ. μέσην ἔχουσα τάξιν ἐκτείνεται καὶ φέρεται πανταχῇ Hipp.*haer.*5.19(p.117.6; M.16.3179B); **2.** *fragrant substance,* Ath.*virg.* 6(p.40.7; M.28.257C); met. καταργήθητι...ἀπὸ εὐ. ἧς κοινωνεῖν μέλλεις *A.Jo.*84(p.192.29).

εὐωδιάζ-ω, 1. abs., *smell sweet, be fragrant* ἀτμὸς ~ων Gr.Nyss. *hom.5 in Cant.*(M.44.873B); met. ἐλπίδα...~ουσαν Ant.Ptol.*nativ.*6 (p.57); freq. in Cyr. ~ει Χριστός Cyr.*ador.*9(1.309A); ἡ τὸ ἀμήρυτον ~ουσα Thdr.Stud.*nativ.BMV* 7(M.96.692C); **2.** trans.; **a.** *perfume, make fragrant* ἀτμὶς θυμιάματος ~ει ἀέρα Nil.*spir.mal.*2(M.79.1148A); ‡Jo.D.*Artem.*67(M.96.1316A); met. ὠδαῖς πνευματικαῖς αὐτὴν [sc. ἑορτήν] εὐωδιάσωμεν Ast.Soph.*hom.3 in Ps.*5(M.40.425B); Dion.Ar. *e.h.*4.3.2(M.3.476B); εὐωδίασον ἡμῶν τὸ δυσῶδες τῆς ψυχῆς *Lit.Jac.* (p.162.12); τὸ τῆς θεοτόκου σῶμα...τῷ τῆς ἁγιαστείας μύρῳ τὴν συμπᾶσαν εὐωδίασε κτίσιν Andr.Cr.*or.*14(M.97.1092A); **b.** *give forth the fragrance of,* freq. in Cyr. Χριστὸν...~ουσι [sc. οἱ ἅγιοι] Cyr. *ador.*12(1.438B); τὴν εἰς αὐτὸν πίστιν ~οντας id.*Ps.*44:8(M.69.1040A); id.*2Cor.*2:15(Pusey p.329.16).

εὐωδίζ-ομαι, *make to smell sweet,* reflex., *be fragrant,* met. ἑαυτὸν ~ου ἐν πίστει Rom.Mel.(*AS* 1 p.146).

***εὐωδοποιός,** *making fragrant,* met. εὐ. ... ἐπιφοίτησιν [sc. of H. Ghost] Dion.Ar.*e.h.*2.3.8(M.3.404C).

§**εὐώνιος,** *of little worth, humble* εὐώνιοι καὶ αὐτοὶ ἡμεῖς πως γινόμεθα καὶ ἀθέλητοι Hesych.S.*temp.*1.31(M.93.1489C).

εὔωνος, *cheap*; met., *worthless,* Bas.*ep.*210.2(3.314B; M.32.769B); Gr.Naz.*or.*8.1(M.35.792A); Isid.Pel.*epp.*1.390(M.78.401D).

εὐώνυμος, 1. *left, on the left,* of certain angelic powers according to Valentinian division into εὐ. and δεξιαὶ δυνάμεις; produced by Sophia, Clem.*exc.Thdot.*34(p.118.4; M.9.676C); of tetrad of powers combined with δεξιὰ τετράς to form first ogdoad in system of Secundus, Epiph.*haer.*31.1(p.439.24; M.41.544D); neut. plur. as adv., Herm.*sim.*9.13.8; **2.** *evil,* Thdt.*qu.8 in Lev.*(1.187); id.*Ps.* 76:11(1.1146).

εὐώνως, *at a low price,* Gr.Naz.*or.*29.3(p.105.6; M.36.101A); ‡Ath. *syntag.*3.10(p.124; M.28.840C).

εὔωρος, ? *in due order* εὖ. πάντα καὶ δῆλα ταῖς τῶν παρόντων τιθεὶς ἀκοαῖς Niceph.Ur.*v.Sym.*221(M.86.3189C).

[*]**εὐωσμία,** ἡ, v. εὐοσμία.

εὐωχία, ἡ, *feasting*; of heavenly or eschatological banquet, Clem. *paed.*2.1(p.157.17; M.8.388A); *A.Thom.*A 7(p.110.12); of eucharist οὐράνιος εὐ. Ath.*ep.fest.*28(p.296.12; M.26.1433C); τῆς εὐ. τῆς πνευματικῆς Chrys.*pasch.*3(3.753D); μυστικὴν καὶ ἀθάνατον εὐ. Thdt.*Ps.* 21:27(1.744); met., of a feast of speech, Meth.*symp.*9.5(p.121 9; M. 18.192B); ‡Meth.*Sym.et Ann.*10(M.18.372C).

***εὐωχικός,** *like a feast,* Areth.*Apoc.*58(M.106.745C).

ἐφάλιος, *on the sea* πόλις...ἐ. Bas.Sel.*v.Thecl.*2.11(M.85.584A).

ἐφάλλ-ομαι, *spring upon, attack*; met., c. dat. ἡ βλασφημία πᾶσιν ~εται τοῖς ἀθέοις νοήμασι Gr.Nyss.*Eun.*10(2 p.239.25; σφάλλεται M. 45.841C); c. acc. 'παρώργιζεν αὐτήν'...τουτέστιν, ὠνείδιζεν, ἐφήλλετο Chrys.*hom.24.4 in Eph.*(11.184E); abs., *leap up* ~εταί σου ἡ διάνοια id.*hom.11.3 in 1Thess.*(11.506B); of Lazarus raised from the dead, ‡Eust.*Laz.*8(p.33.12).

ἐφαμαρτάνω, *miss, err from* τῆς ἀληθείας ἐ. Cyr.*Is.*4.3(2.640A); abs., *fail, ib.*4.4(663C).

ἐφάμαρτος, *sinful,* †Gregent.*leg.Hom.*40(M.86.604B); *ib.*53(609A); Ant.Mon.*hom.*35(M.89.1544C).

ἐφάμιλλος, *being a match* for, *equal* to, *rivalling,* c. genit., Eus. *v.C.*1.2(p.8.8; M.20.913A); Thdt.*Ezech.*21:12(2.841); Thphn.*chron.* p.339(M.108.817A); neut. as subst., *equality* φέρω πρὸς τὸν ἐμαυτοῦ πατέρα τὸ τῆς οὐσίας ἐ. Bas.Sel.*or.*25.4(M.85.297A); πρὸς τὸ ἐ. ... ἀνατείνουσιν Dion.Ar.*c.h.*13.3(M.3.301C); neut. sing. as adv., Gel. Cyz.*h.e.*1.4.7(M.85.1204A); neut. plur. as adv., Didym.*Trin.*2.8(M.39. 588C); Bas.Sel.*or.*15.2(M.85.193A).

ἐφαμίλλως, 1. *in rivalry,* Eus.*h.e.*6.39.5(M.20.601A); **2.** *similarly* to τοῖς ἔργοις ἐ. ἀποδοῦναι τοὺς λόγους *ib.*10.4.24(860A).

ἐφαπλ-όω, 1. *spread out*; **a.** *unfold* wings, *Apoc.Bar.*6(p.88.26); skins, Jo.Mosch.*prat.*174(M.87.3044A); pass., of a seed, Gr.Nyss.*res.* 3(M.46.669B); met., *explain, relate* τὴν περὶ ἑαυτοῦ γνῶσιν Ath.*inc.* 11.7(M.25.116D); ἐ. σοι οἵῳ τρόπῳ *A.*(*Pass.*)*Andr.*6(p.15.10); **b.** *stretch out, extend* hands, Eus.*h.e.*8.7.4(M.20.757A); arms, Anast.S.*Ps.*6(M. 89.1120C); feet, Chrys.*hom.67.4 in Gen.*(4.640D); †Cyr.*hom.div.*10 (5[2].376D); the tongue, met. βουλόμεθα ἐ. τὴν γλῶσσαν πρὸς τὴν

βασιλίδα; Chrys.*a.exil.*2.2(3.422C); pass., *A.Xanthipp.*14(p.58.8); on ground in prayer, Pall.*h.Laus.*(M.34.1243B); reflex., Ephr.1.221A; τῷ νεκρῷ τοῦ παιδὸς ἑαυτὸν ἐφήπλωσεν σώματι [sc. Ἐλισσαῖος] Bas. Sel.*or.*10.1(M.85.140A); on a cross, *M.Carp.*44; **c.** *spread* a table, met. μίαν πᾶσιν ἐ. τῆς εὐφροσύνης τὴν τράπεζαν Mac.Mgn.*apocr.* 4.25(p.210.17); **d.** *spread out* over, *extend* over τί ἐστι τοῦτο... ὥστε γῆ καὶ θαλάσσῃ ἐξαρκεῖν ~ούμενον; Bas.*Eun.*3.6(1.277C; M.29. 668B); ἀνθηρὰν τῇ σαρκὶ τὴν δορὰν ἐφήπλωσε Mac.Mgn.*apocr.*2.8(p.10. 3); Chrys.*hom.*6.6 *in Gen.*(4.47D); Thdt.*provid.*5(4.552); met. ἡ σαγήνη τῆς χάριτος ~οῦται ἐπὶ πάντας Mac.Aeg.*hom.*16.52(M.34. 612B); τῷ φιλῷ ἀνθρώπῳ τὰ τῆς πείρας ἐφήπλωσας ἄθεσμα δίκτυα Arsen.*tent.*(M.66.1621A); hence *bestow* gifts τὸ μὲν δῶρον τοῦ θεοῦ πᾶσιν ἐφήπλωται Cosm.Ind.*top.*5(M.88.281C); πᾶσιν ἴσως ~ούντων τὰ δῶρα τῆς αὐτῶν ἀγαθότητος Sophr.H.*mir.Cyr.et Jo.*51(M.87.3612B); **e.** *spread out before,* met. ~οῦται αὐτῇ ἐλπὶς *M.Ner.et Ach.*6(p.5.1); ἐφηπλώσατο...οἷόν τι στάδιον τοῖς ἀνταγωνιζομένοις ὁ ἀνθρώπινος βίος Gr.Nyss.*Steph.*1(M.46.704B); **f.** *spread out towards,* Bas.Sel.*or.*37.4 (M.85.397A); τῷ τοῦ ἱεροῦ πρυτάνει τὰς ἱερὰς ὠλένας ἐφήπλωσε ‡Meth. *Sym.et Ann.*6(M.18.361A); **2.** *shed abroad*; **a.** *diffuse* light, Ath. *inc.*29.3(M.25.145C); Thdt.*rect.conf.*17(M.6.1240A); Jo.D.*fr.Mt.*17:5 (M.96.1408D); met. τὰς τοῦ οἰκείου φωτὸς ἐ. ἀκτῖνας [sc. Christ] Eus.*p.e.*2.5(69B; M.21.133D); †Bas.*Is.*224(1.548C; M.30.508D); Ast. Am.*hom.*9(M.40.304C); **b.** *extend,* Eus.*d.e.*3.3(p.109.14; M.22.188C); ὁ...λόγος...πανταχοῦ τὰς ἑαυτοῦ δυνάμεις ἐ. Ath.*gent.*42(M.25.84B); Epiph.*haer.*61.4(p.385.4; M.41.1045B); ἐ. καὶ ἐπ' αὐτοὺς τὴν...ἀγαθότητα Dion.Ar.*ep.*8.1(M.3.1085C); pass. ἡ δὲ ψυχὴ τοῖς τῆς διανοίας κινήμασι πάσῃ κατ' ἐξουσίαν ~οῦται τῇ κτίσει Gr.Nyss.*or.catech.*10 (p.55.3; M.45.41C); Socr.*h.e.*4.26.8(M.67.529B); ~ωθέντος...τοῦ πατρὸς διὰ τῆς χάριτος τοῦ ἁγίου αὐτοῦ παιδὸς καὶ τοῦ ἁγίου πνεύματος εἰς πάντας τοὺς ἁγίους †Diad.*Ar.*8(M.65.1164C).

ἐφάπλωμα, τό, *thing spread over, covering,* Jo.Disc.*v.Epiph.*56 (M.41.93C).

***ἐφαπτέον,** *one must engage in* γυναιξὶ...ταλασίας ἐ. Clem.*paed.*2.9 (p.207.13; M.8.496B).

ἐφαπτίς, ἡ, *woman's garment,* Clem.*paed.*2.10(p.224.2; M.8. 532A).

ἐφάπτ-ομαι, c. genit. **A.** lit.; **1.** *touch, be in contact* with τὸ φύσει μέσον τινῶν ἑκατέρων τῶν ἄκρων ἐ. Didym.(‡Bas.)*Eun.*4(1.288A; M.29.692C); ᾧ τὸ θάλπει, ταῖς πτέρυξιν ἁπαλῶς ~ομένη εἰς τὸ ζωογονεῖν Diod.*Gen.*1:2(M.33.1563C); Cyr.*Ps.*76:19(M.69.1193B); τοίχων ἐφαψάμενος Philost.*h.e.*7.14(M.65.552B); *pass through*; a circle, Meth. *symp.*8.14(p.102.4; M.18.165A); **2.** *lay hands on* (violently), ‡Jo.D. *Artem.*40(M.96.1288A); **3.** *touch, partake of* food, *T.Jud.*16.3; Thphl. Ant.*Autol.*3.4(M.6.1125B); *ib.*3.15(1141A); CAnc.(314)*can.*14; of eucharist τῆς προσφορᾶς ἐ. *ib.*16; τῶν μυστηρίων ἐ. Sophr.H.*mir. Cyr.et Jo.*31(M.87.3524A); *Lit.Jac.*(p.178.8).

B. met.; **1.** *lay hands on* τῆς ἀρχῆς ἐ. Eus.*v.C.*1.27(p.20.14; M.20. 941B); **2.** *start, set out upon* ἱστορίας...οἱά τινος ὁδοιπορίας ἐ. id.*h.e.* 1.5.1(M.20.80D); id.*l.C.*proem.(p.196.13; M.20.1317C); *ib.*6(p.211.12; 1439B); **3.** *touch upon, treat of* a subject, id.*p.e.*5.5(475B; M.21. 789C); id.*d.e.*8.1(p.355.20; M.22.577C); ἐ. δόγματος Gr.Nyss.*anim.et res.*(M.46.108B); **4.** *take, partake of,* id.*or.catech.*24(p.94.18; M.45. 65C); κτίσις...ὑψηλῆς φύσεως ~ομένη τε καὶ μετέχουσα id.*Eun.*1(1 p.101.1; M.45.333D); Dion.Ar.*e.h.*1.5(M.3.377B).

ἐφαρμόζ-ω, ἐφαρμόττ-ω, 1. intrans.; *apply* to, *fit* πάντες...οἱ προειρημένοι...ὅροι ~ουσι τοῖς...εὐαγγελίοις Or.*Jo.*1.5(7; p.10.1; M. 14.33A); τίνι...~ει λέγεσθαι τοῦτο; Meth.*fr.*15 *in Job* 38:2(p.515. 19); σοι τὸ ψαλμικὸν ~ει Isid.Pel.*epp.*1.214(M.78.317C); Dion.Ar.*d.n.* 1.7(M.3.596C); **2.** trans.; **a.** *apply, fit* one thing to another πειθόμενοι τύπους εἶναι τὰ γεγραμμένα ζητοῦσιν ᾧ δυνήσονται ἐφαρμόσαι ἕκαστον τῶν κατὰ τὴν σκηνὴν λεγομένων Or.*princ.*4.2.2(p.309.9; M.11. 361A); id.*Jo.*10.28(18; p.202.27; M.14.360B); τοῦτο δὲ ἐπὶ μὲν τῶν προφητῶν οὐκ ἂν δύναιο ~ειν, ἐπὶ δὲ μόνου τὸν σωτῆρα καὶ κύριον Eus.*d.e.*3.2(p.102.6; M.22.176D); Gr.Naz.*or.*31.3(p.147.14; M.36. 136B); Gr.Nyss.*v.Mos.*(M.44.341A); of the mind οὐ δεῖ πρόχειρον λέξιν ἁπλῶς οὕτως ἐκλαμβάνειν, ἀλλὰ τὸ πρόσωπον ζητεῖν, καὶ οὕτως μετ' εὐσεβείας τὸν νοῦν ~ειν αὐτῷ Ath.*Ar.*2.44(M.26.240B); **b.** *adapt, make appropriate,* pass. ἦρεν καὶ αἴρει καὶ ἀρεῖ, καθ' ἕκαστον καιρὸν ἐφαρμοττομένου τοῦ αἱρεῖν Or.*fr.*19 *in Jo.*1:29(p.499.6); ἁρμονίας τινὸς ἀκολούθως ἐφηρμοσμένης *Hom.Clem.*8.11; **c.** *connect* one thing with another ἐφηρμόσαμεν τὴν τῶν Φαρισαίων πεῦσιν...τῷ βαπτισμῷ αὐτῶν παρὰ τῷ Ματθαίῳ κειμένῳ Or.*Jo.*6.26(14; p.136.7; M.14. 245C); Eus.*e.th.*1.16(p.76.22; M.24.857B); **d.** *fit in* εἰ...βουλόμενοι ἅτρεπτα τηρεῖν τὰ...δοθέντα τοῖς ἁγίοις ἀγαθά, οὐκ ἐφαρμόσομεν τὰ τῆς ἱστορίας, δόξομεν ὁμοίόν τι τοῖς ἀπὸ τῶν αἱρέσεων ἐν τούτῳ ποιεῖν Or.*Jo.*10.42(26; p.219.22; M.14.388D); **e.** *add suitably* ἄγιον πνεῦμα προσέθηκα, ἀλλ' ἅμα καὶ πόθεν καὶ διὰ τίνος ἦκεν ἐφήρμοσα Dion.Al. ap.Ath.*Dion.*17(p.58.18; M.25.504C).

A. def. and descriptions ἡ μ. σύνεσίς ἐστιν μεγάλη Herm.*mand.* 4.2.2; ἱκανὴ...ἀνθρώπῳ κάθαρσις μ. ἀκριβὴς καὶ βεβαία, εἴγε κατεγνωκότες ἑαυτῶν ἐπὶ ταῖς προγενομέναις πράξεσι προΐεμεν [εἰς] τὸ πρόσθεν, μετὰ ταῦτα νοήσαντες καὶ τὸν νοῦν ἐξαναδύντες τῶν τε κατ' αἴσθησιν τερπόντων καὶ τῶν πρόσθεν πλημμελημάτων Clem.*str.*4.22 (p.311.13; M.8.1352C); βραδεῖα γὰρ γνῶσις μ., γνῶσις δὲ ἡ πρώτη ἀναμαρτησία *ib.*2.6(p.127.14; 961B); ἔστι ἡ μ. καλὴ σφόδρα, παρθένος, καθαρὰ καὶ ἐπιεικὴς καὶ πρᾶος· καὶ διὰ τοῦτο ὁ θεὸς ὁ ὕψιστος ἀγαπᾷ αὐτὴν καὶ πάντες οἱ ἄγγελοι αἰδοῦνται αὐτήν *Asen.*15(p.61.19); δεξώμεθα...μ. ... φάρμακον εἰς σωτηρίαν...μ. δέ ἐστιν, οὐχ ἡ λόγῳ κηρυττομένη, ἀλλ' ἡ πράγμασι βεβαιουμένη· μ. ἡ ἐξ αὐτῆς τῆς καρδίας ἐξαλείφουσα τὸν ῥύπον τῆς ἀσεβείας Chrys.*poenit.*7.3(2.331B,C); μ. δεινὴ καὶ φοβερὰ τῷ ἁμαρτωλῷ, φάρμακον τῶν πλημμελημάτων, δαπάνημα τῶν παρανομιῶν, ἀνάλωμα τῶν δακρύων, παρρησία πρὸς τὸν θεόν, ὅπλον κατὰ τοῦ διαβόλου...σωτηρίας ἐλπίς, ἀπογνώσεως ἀναίρεσις *ib.*8.1(341A); ἰατρεῖον γάρ ἐστιν ἀναιρετικὸν τῆς ἁμαρτίας ἡ μ.· δῶρόν ἐστιν οὐράνιον, δύναμις θαυμαστή, χάριτι νικῶσα τὴν τῶν νόμων ἀκολουθίαν *ib.*7.1(327B); μ. δὲ λέγω, οὐ τὸ τῶν προτέρων ἀποστῆναι κακῶν μόνον, ἀλλὰ καὶ τὸ μείζονα ἐπιδείξασθαι καλά id.*hom.*10.6 *in Mt.*(7. 146E); ἔστι δὲ μ. τὸ μηκέτι τὰ αὐτὰ ποιεῖν id.*hom.34.3 in Jo.*(8.199E); μ. ῥίζα θεοσεβείας ‡Chrys.*leg.*6(6.413B); μ. ἐστι συνθήκη πρὸς θεὸν δευτέρου βίου. μ. ἐστι ταπεινώσεως ἀγοραστής. μ. ἐστι σωματικῆς κατακλήσεως διηνεκὴς ἀνελπιστία. μ. ἐστι αὐτοματόκριτος λογισμός, καὶ ἀμέριμνος αὐτομέριμνος. μ. ἐστι θυγάτηρ ἐλπίδος, καὶ ἄρνησις ἀνελπιστίας...μ. ἐστι διαλλαγὴ κυρίου, διὰ τῆς τῶν ἐναντίων τοῖς πταίσμασιν ἀγαθῶν ἐργασίας. μ. ἐστι συνειδότος καθαρισμός. μ. ἐκούσιος πάντων τῶν θλιβερῶν ὑπομονή...μ. ἐστι θλῖψις γαστρὸς ἰσχυρά, καὶ ψυχῆς πλῆξις ἐν αἰσθήσει κραταιᾷ Jo.Clim.*scal.*5(M.88.764B,C); μ. ἐστιν ἐκ τοῦ παρὰ φύσιν εἰς τὴν κατὰ φύσιν, καὶ ἐκ διαβόλου πρὸς τὸν θεὸν ἐπάνοδος...μ. ἐστι τὸ ἀποστρέψαι ἀπὸ τῆς ἁμαρτίας...μ. ἐστι καταλεῖψαι τὰ πρότερα, καὶ λυπεῖσθαι ὑπὲρ αὐτῶν *Schol.*1 *ib.*5(781B,C); *ib.*7 (801D).

B. ref. God as its author; **1.** in gen., *1Clem.*7.5; πάντας οὖν τοὺς ἀγαπητοὺς αὐτοῦ βουλόμενος μ. μετασχεῖν *ib.*8.5; ὁ θεὸς...μ. διδοὺς ἡμῖν *Barn.*16.9; ἵνα ἴδῃς...τὴν πολυευσπλαγχνίαν τοῦ κυρίου...ἔδωκε πνεῦμα τοῖς ἀξίοις οὖσι μ. διατί...πάντες οὐ μετενόησαν; ὧν εἶδε, φησί, τὴν καρδίαν μέλλουσαν καθαρὰν γενέσθαι...τούτοις ἔδωκε τὴν μ.· ὧν δὲ εἶδε τὴν δολιότητα...ἐκείνοις οὐκ ἔδωκε μ. Herm.*sim.*8.6.1,2; id.*vis.*4.1.3; θέλει γὰρ ὁ πατὴρ ὁ οὐράνιος τὴν μ. τοῦ ἁμαρτωλοῦ Just. *1apol.*15.8(M.6.349C); *ib.*40.7(389B); ὁ κύριος...τὴν μ. ἀπαιτεῖ Clem. *prot.*10(p.67.31; M.8.204C); id.*paed.*1.8(p.130.28; M.8.333B); *ib.*3.12 (p.287.7f.; 672B,C); ἡ μ. ἐστι θυγάτηρ τοῦ ὑψίστου, καὶ αὕτη ἐκλιπαρεῖ τὸν θεὸν τὸν ὕψιστον ὑπὲρ...πάντων τῶν μετανοούντων, ἐπειδὴ πατήρ ἐστι τῆς μ. *Asen.*15(p.61.13ff.); *Const.App.*2.22.12; παντοκράτωρ θεὲ ...ὁ...ἁμαρτόντι ὑποθήκην δοὺς πρὸς μετάνοιαν τὴν σαυτοῦ ἀγαθότητα *Lit.*ap.*Const.App.*8.9.8; προσάγωμεν...ἑαυτοῖς φάρμακον εἰς σωτηρίαν τὴν μ.· μᾶλλον δὲ δεξώμεθα παρὰ τοῦ θεοῦ τὴν μ. ἰατρεύουσαν ἡμᾶς. οὐ γὰρ ἡμεῖς αὐτῷ ταύτην προσάγομεν, ἀλλ' αὐτὸς ἡμῖν ταύτην ἐχορήγησεν Chrys.*poenit.*7.3(2.331A); **2.** mediated through Christ, *1Clem.* 7.4 cit. s. αἷμα; Ἰησοῦς...ἐξαπέστειλε τὸν λόγον τῆς κλήσεως καὶ τῆς μ. πρὸς τὰ ἔθνη ἅπαντα Just.*dial.*83.4(M.6.673A); ὁ παιδαγωγὸς... ἐπὶ τὴν μ. παρακαλεῖ...καὶ τὸ φιλάνθρωπον τὸ αὐτοῦ τῷ αὐτεξουσίῳ τῆς ψυχῆς ἀφορμὰς μ. χαριζόμενος Clem.*paed.*1.9(p.134.20,26; M.8. 341A); **3.** μ. in rel. to divine foreknowledge ἡ τοῦ θεοῦ πρόγνωσις οὐ

βλάπτει τὴν μ., ἐπειδὴ καὶ τοῦτο προγινώσκει, ὅτι καὶ τοῖς ἁμαρτωλοῖς ἔξεστι μεταθέσθαι ‡Chrys.*hom.in Ps.80*(5.742D).

C. ref. preachers of repentance, e.g. Noah, *1Clem.*7.6; *Orac.Sib.* 1.129; Jonah ἐβούλετο [sc. Celsus] ἡμᾶς μᾶλλον τὸν Ἰωνᾶν νομίσαι θεὸν ὑπὲρ Ἰησοῦν, Ἰωνᾶν, τὸν κηρύξαντα μ. μιᾷ πόλει τῇ Νινευή, προκρίνων Ἰησοῦ, τοῦ κηρύξαντος μ. ὅλῳ τῷ κόσμῳ Or.*Cels.*7.57 (p.206.20f.; M.11.1501C); Jeremiah, *Const.App.*2.14.2; Chrys.*poenit.* 3.4(2.300A); Joel, †Jo.Jej.*serm.*(M.88.1920B); Christ, prophets, and apostles οἱ λειτουργοὶ τῆς χάριτος τοῦ θεοῦ διὰ πνεύματος ἁγίου περὶ μετανοίας ἐλάλησαν, καὶ αὐτὸς δὲ ὁ δεσπότης τῶν ἁπάντων περὶ μ. ἐλάλησεν μετὰ ὅρκου *1Clem.*8.1,2; οἱ λόγοι τῶν προφητῶν, οἱ λόγοι τοῦ νόμου, οἱ λόγοι τῶν ἀποστόλων, οἱ λόγοι τοῦ κυρίου...λέγουσιν ἡμῖν περὶ μετανοίας Or.*hom.1.4 in Jer.*(p.3.21; M.13.260A); *Const. App.*2.55.1.

D. in rel. to baptism, v. βάπτισμα, λουτρόν: οὔτε οὖν μ. ἀρκεῖ πρὸς τὸν καθαρισμόν, ἀλλὰ δεῖ τὸ βάπτισμα παραλαβεῖν Chrys.*hom.9.2 in Heb.*(12.95B); ἐν πάσῃ ἐργασίᾳ μετανοίας ἕνα θεμέλιον εἶναι τὸ βάπτισμα Marc.Er.*opusc.*3.7(M.65.976D).

E. ref. question of post-baptismal repentance; **1.** possibility of one repentance asserted ἤκουσα...ὅτι ἑτέρα μ. οὐκ ἔστιν εἰ μὴ ἐκείνη, ὅτε εἰς ὕδωρ κατέβημεν καὶ ἐλάβομεν ἄφεσιν ἁμαρτιῶν ἡμῶν τῶν προτέρων. λέγει μοι· καλῶς ἤκουσας· οὕτω γὰρ ἔχει...οἱ γὰρ νῦν πιστεύσαντες ἢ μέλλοντες πιστεύειν μ. ἁμαρτιῶν οὐκ ἔχουσιν, ἄφεσιν δὲ ἔχουσι τῶν προτέρων ἁμαρτιῶν αὐτῶν. τοῖς οὖν κληθεῖσι πρὸ τούτων τῶν ἡμερῶν ἔθηκεν ὁ κύριος μ. καρδιογνώστης γὰρ ὢν ὁ κύριος ...ἔγνω τὴν ἀσθένειαν τῶν ἀνθρώπων καὶ τὴν πολυπλοκίαν τοῦ διαβόλου...ἐσπλαγχνίσθη ἐπὶ τὴν ποίησιν αὐτοῦ καὶ ἔθηκεν τὴν μ. ταύτην, καὶ ἐμοὶ [sc. angel of repentance] ἡ ἐξουσία τῆς μ. ταύτης ἐδόθη. ἀλλὰ ἐγώ σοι λέγω, φησί· μετὰ τὴν κλῆσιν ἐκείνην τὴν μεγάλην...ἐάν τις ἐκπειρασθεὶς ὑπὸ τοῦ διαβόλου ἁμαρτήσῃ, μίαν μ. ἔχει Herm.*mand.* 4.3.1–6; cf.*ib.*4.1.8; id.*vis.*3.7.5; ἐπὶ γὰρ τῇ πρώτῃ καὶ μόνῃ μ. τῶν ἁμαρτιῶν (αὕτη ἂν εἴη τῶν προϋπαρξάντων κατὰ τὸν ἐθνικὸν...βίον, τὸν ἐν ἀγνοίᾳ λέγω) αὐτίκα τοῖς κληθεῖσι πρόκειται μ. ἡ καθαίρουσα τὸν τόπον τῆς ψυχῆς ἀπὸ τῶν πλημμελημάτων, ἵνα ἡ πίστις θεμελιωθῇ...ἔδωκεν οὖν ἄλλην ἔτι τοῖς κἂν τῇ πίστει περιπίπτουσί τινι πλημμελήματι πολυέλεος ὢν μ. δευτέραν, ἵν' εἴ τις ἐκπειρασθείη μετὰ τὴν κλῆσιν...μίαν μ. ἀμετανόητον λάβῃ Clem.*str.*2.13(p.143.16–28; M.8.993B–996A); **2.** in Novatianist controversy; **a.** arising over Novatian's refusal to readmit *lapsi* in Decian persecution agst. policy of Cyprian, Cornelius and in some measure of Dion. Al. and agst. leniency recommended by confessors οἱ θεῖοι μάρτυρες...τῶν παραπεπτωκότων ἀδελφῶν τινας...προσελάβοντο, καὶ τὴν...μ. αὐτῶν ἰδόντες δεκτήν τε γενέσθαι δυναμένην τῷ μὴ βουλομένῳ...τὸν θάνατον τοῦ ἁμαρτωλοῦ ὡς τὴν μ. δοκιμάσαντες, εἰσεδέξαντο...καὶ προσευχῶν αὐτοῖς καὶ ἑστιάσεων ἐκοινώνησαν Dion.Al.ap.Eus.*h.e.*6.42.5(M.20.613C); γράφει [sc. Dion. Al.]...τοῖς κατ' Αἴγυπτον ἐπιστολὴν περὶ μετανοίας, ἐν ᾗ τὰ δόξαντα αὐτῷ περὶ τῶν ὑποπεπτωκότων παρατίθεται Eus.*ib.*6.46.1(633C); δόγμα παρίσταται τοῖς πᾶσιν, τὸν μὲν Νοουάτον...ἐν ἀλλοτρίοις τῆς ἐκκλησίας ἡγεῖσθαι, τοὺς δὲ τῇ συμφορᾷ περιπεπτωκότας...θεραπεύειν τοῖς τῆς μ. φαρμάκοις *ib.*6.43.2(616C); Διονύσιος Ἀλεξανδρίας ἐπίσκοπος, πολλῶν ὑποπεσόντων αὐτῷ τῶν ἐν τῷ διωγμῷ Δεκίου, ὁρέγων αὐτοῖς χεῖρα μετανοίας ἐξευμενίσασθαι τὸν θεόν, πολλοῖς τῶν ἐπισκόπων περὶ αὐτῶν γράφει· ἐν οἷς ἀρθεὶς ὑπερηφανίᾳ Ναύατος...ἔλεγεν μὴ δεῖν αὐτοὺς δεχθῆναι *Chron.Pasch.*p.271(M.92.672B); **b.** developing into Novatianists' refusal to admit any post-baptismal repentance εἰ τῶν μετὰ τὸ λουτρὸν ἁμαρτανόντων...ἀσύγγνωστός ἐστιν ἡ τῶν πλημμελημάτων δίκη...τί δὲ καὶ Νουάτῳ μεμφόμεθα ἀναιροῦντι μ.; Ath.*ep. Serap.*4.13(M.26.653D); μίαν μ., μετὰ δὲ τὸ λουτρὸν μηκέτι δύνασθαί τινα ἐλεεῖσθαι παραπεπτωκότα Epiph.*haer.*59.1(p.364.3; M.41.1017B); Marc.Er.*opusc.*3.7(M.65.976C); Nil.*epp.*3.243(M.79.497B); *ib.*2.155 (273A); Thdt.*haer.*3.5(4.345); **c.** orthodox arguments against this; refutation of Novatianist exegesis of Heb.6:4ff. and 12:17 τὸ ἐν τῇ πρὸς Ἑβραίους εἰρημένον οὐκ ἐκκλεῖον ἐστι τῶν ἁμαρτανόντων τὴν μ., ἀλλὰ δεικνύον ἓν εἶναι τὸ τῆς καθολικῆς ἐκκλησίας βάπτισμα...Ἑβραίοις γὰρ ἔγραφε· καὶ ἵνα μὴ νομίσωσι κατὰ τὴν ἐν τῷ νόμῳ συνήθειαν, προφάσει μ. εἶναι πολλὰ...βαπτίσματα, διὰ τοῦτο μετανοεῖν μὲν παραινεῖ, μίαν δὲ εἶναι τὴν ἀνακαίνισιν διὰ τοῦ βαπτίσματος...οὐδὲ γὰρ ...ἀδύνατον μετανοεῖν· ἀλλ' ἀδύνατον προφάσει μ. ἀνακαινίζειν ἡμᾶς Ath.*ep.Serap.*4.13(M.26.656A); ἀνακαινίζειν, φησίν, εἰς μ.· τουτέστι, διὰ μετανοίας·...ἐκβέβληται ἡ μ.; οὐχ ἡ μ. ... ἀλλ' ὁ διὰ τοῦ λουτροῦ πάλιν ἀνακαινισμός...ἀνακαινισθῆναι, τουτέστιν καινὸν γενέσθαι· τὸ γὰρ καινοὺς ποιῆσαι, τοῦ λουτροῦ μόνον ἐστίν...τῆς δὲ μ. ἐστὶ τό, καινοὺς γενομένους, εἶτα παλαιωθέντας ὑπὸ τῶν ἁμαρτημάτων, ἀπαλλάξαι τῆς παλαιότητος Chrys.*hom.9.3 in Heb.*(12.96C); ποῦ εἰσιν οἱ λέγοντες τὸν ἀπόστολον ἐν ταύτῃ τῇ ἐπιστολῇ ἀναιρεῖν τὴν μ.; ... χωλοῦ δὲ ἴασιν ποίαν βούλεται γενέσθαι ὁ μ. τῶν ἡμαρτηκότων οὐ προσιέμενος; Thdr. Mops.*Heb.*12:12f.(pp.210.27–211.1; M.66.968A); οὐ τὴν μ. ἀνελεῖν διὰ τούτων βούλεται, ἀλλὰ διδάξαι ὡς οὐκ ἔνεστιν ἐν καιρῷ τὴν προσήκουσαν διόρθωσιν ⟨μὴ⟩ ἐπιδεξαμένους ὕστερον αὐτὴν ἀνακτᾶσθαι, ὅταν ὁ τῆς ἀνταποδόσεως καιρὸς καταλήλως ἐπάγεσθαι τῷ ἑκάστου τρόπῳ μέλλῃ *ib.*12:17(p.211.6; 968A); scriptural proofs λέγομεν δὲ καὶ ἡμεῖς νῦν ἀπὸ παλαιᾶς, εἴπωμεν τί ἀντιλέγουσι πρὸς τὰ ἐκ τῆς παλαιᾶς λεγόμενα. λέγουσι γὰρ ὅτι πρὸ τοῦ πάθους σωτῆρος...ἐὰν ἀπὸ τῆς παλαιᾶς ἀναγνῶτε ἡμῖν περὶ μετανοίας, λέγομεν, ὅτι ἐν τῇ παλαιᾷ συγκεχώρηται· ἐν δὲ τῇ καινῇ διὰ τὸ πάθος οὐκ ἔσται συγχώρησις. ἐὰν δὲ ἀπὸ τῆς καινῆς δείξωμεν, ὅτι καὶ μετὰ τὸ βάπτισμα...ἁμαρτήσας τις ἀνακαλεῖται διὰ μετανοίας τὸ χάρισμα, δῆλον ὅτι ἔστι μ. τοῖς παραπεσοῦσι καὶ μετὰ τὸ βάπτισμα· καὶ τὰ ἐν τῇ παλαιᾷ ἔσται ὑπὲρ τῆς μ. μυρία †Bas.*poenit.*2(2.604A; M.31.1476D–1477A) citing proofs from Ezech.33:11, Jon.3:10, etc.; ἐλθωμεν ἐπὶ τὴν καινήν. ἀφ' ἧς γὰρ μάλιστα θέλουσιν ἀποκλεῖσαι τὴν μ., ἀπ' αὐτῆς μάλιστα κηρύττεται ἡ μ. *ib.*(605C; M.1480C) citing Mt.9:13, Lc.15:5ff.; δύο, φησίν, ἦσαν...υἱοί· οὐ δύνασαί μοι εἰπεῖν, ὅτι ἡ ἀπὸ Ἑλλήνων ἐστὶν ἡ ὧδε μ., ἀλλ' ἀμφότεροι υἱοί, ἐξ ἴσου μερίσαντες...ἀναλώσας δὲ πάντα, ἦλθεν ἐπὶ μετάνοιαν *ib.*(605D; M.l.c.); from Lord's Prayer εἰ τοίνυν πιστοῖς προσήκει ἡ εὐχή, εὔχονται δὲ οὗτοι ἁμαρτήματα ἑαυτοῖς ἀφεθῆναι δεόμενοι, δῆλον ὅτι οὐδὲ μετὰ τὸ λουτρὸν ἀνῄρηται τῆς μ. τὸ κέρδος Chrys.*hom.19.5 in Mt.*(7.252C); **d.** orthodox position established, esp. ref. distinction between baptismal and other forms of repentance θέλω τοὺς λαμβάνοντας τὸ βάπτισμα μὴ ἁμαρτάνειν. εἰ δὲ παραπίπτοιέν ποτέ τινες μὴ βουλόμενοι, οὐ βούλομαι ὃ βούλονται οἱ τὴν μ. ἀναιροῦντες, μὴ βουλόμενοι συναποθανεῖν ἡμᾶς τῷ σταυρῷ †Bas.*poenit.*6(2.608B; M.31.1485C); Epiph.*haer.*59.1(p.364.14; M.41. 1020A) cit. s. μεταμέλεια; μετὰ γὰρ τὴν πρώτην μ. τὴν διὰ λουτροῦ... ἐν ᾗ μ. ἀνεκαινίσθη πᾶς ἄνθρωπος, δευτέρα τις τοιαύτη οὐχ ὑπάρχει... τούτου χάριν ἐπασφαλίσασθαι δεῖ, ἵνα μὴ...τὸν στέφανον τοῦ ἀνακαινισμοῦ ἀπολέσωμεν. ἀλλὰ ἐάν τις παραπέσῃ...μετανοείτω. δέχεται γὰρ ὁ θεὸς τὴν μ. καὶ μετὰ τὸ βάπτισμα *ib.*59.5(pp.369.22–370.3; 1025C,D); and ref. love of God, *ib.*59.2(p.365.27; 1020C); Chrys.*exp.in Ps.*127:1 (5.360D).

F. eccl. legislation; **1.** ref. *lapsi* during persecution; **a.** their works of penance οἱ ἀπὸ τοῦ διωγμοῦ παραπεπτωκότες, καὶ αὐτοὶ ἐὰν ἐνδείξωνται τελείαν τὴν μ., ἐν σάκκῳ καὶ σποδῷ...κλαύσαντες ἐνώπιον κυρίου δυνατός ἐστιν ὁ εὐεργέτης καὶ αὐτὸς ἐλεῆσαι· οὐ γάρ τι φαῦλον γίνεται ἀπὸ μ. Epiph.*haer.*59.7(p.372.23,25; M.41.1029D); *ib.* 68.2(p.141.26; M.42.185D); **b.** ref. Meletian schism κίνησις ἐγένετο ἀνὰ μέσον τῶν μαρτύρων...τῶν μὲν λεγόντων τοὺς ἅπαξ παραπεσόντας ...μὴ δεῖν ἀξιοῦσθαι εἰς μ. ... ἦσαν δὲ οἱ τοῦτο λέγοντες Μελίτιος καὶ Πηλεὺς καί τινες ἄλλοι πλείους τῶν μαρτύρων καὶ ὁμολογητῶν... ἔφασκον δέ, εἰ ἄρα μετὰ τὸ παύσασθαι τὸν διωγμὸν μετὰ χρόνον ἱκανὸν δίδοσθαι τοῖς προειρημένοις μ. ... ἐὰν...καρπὸν τῆς μ. αὐτῶν ἐπιδείξωνται, οὐ μὴν ἵνα ἕκαστος δεξιωθῇ ἐν τῷ ἰδίῳ κλήρῳ *ib.* (p.142.3ff.; M.42.185C); orthodox counter-argument εὔσπλαγχνος ὤν [sc. Petr. I Al.]...καθικέτευε λέγων· δεξώμεθα αὐτοὺς μετανοοῦντας καὶ τάξωμεν αὐτοῖς μ. εἰς τὸ παρακαθέζεσθαι τῇ ἐκκλησίᾳ, καὶ μὴ ἀποστρέψωμεν αὐτοὺς μήτε τῶν κλήρων...μή ποτε...διὰ παρολκὴν τοῦ χρόνου οἱ ἅπαξ ἀπὸ ἀνανδρίας...ὑπὸ διαβόλου ἐπισεισθέντες...τελείως ἐκτραπῶσι καὶ μὴ ἰαθῶσιν *ib.*68.3(p.142.18; 188A); **2.** ref. heretics ἀναθεματίσαντες τὴν Ἀρειανὴν αἵρεσιν ἔγγραφον τὴν μ. αὐτῶν Ath. *h.Ar.*26(p.197.10; M.25.724A); τὴν μ. Οὐρσακίου καὶ Οὐάλεντος στηλιτεύοντες *ib.*34(p.202.17; 733A); τοὺς δὲ ἐπὶ ἐξόδῳ μετανοοῦντας τῶν αἱρετικῶν δέχεσθαι χρή...οὐκ ἀκρίτως, ἀλλὰ δοκιμάζοντας εἰ ἀληθινὴν ἐπιδείκνυνται μ. Bas.*ep.*188 can.5(3.272A; M.32.673B); δέξαι ἡμᾶς [sc. Ursacius and Valens] εἰς κοινωνίαν καὶ μ. καὶ πρὸς αὐτὸν δὲ τὸν Ἀθανάσιον ταῖς αὐτῶν ἐχρήσαντο ἐγγράφοις διὰ μετανοίας συστάσεων Epiph.*haer.*68.9(p.149.23,25; M.42.197D); **3.** ref. second marriage μ. αὐτοῦντος τοῦ διγάμου CNeocaes.*can.*7; **4.** ref. class of penitents in Church; **a.** in gen. ἐδέχθησαν εἰς μ. CAnc.(314)*can.*6; πρεσβύτερος... ἐὰν δὲ πορνεύσῃ...ἄγεσθαι αὐτὸν εἰς μ. CNeocaes.*can.*1; *ib.*2; CLaod. *can.*19; εὔξασθε, οἱ ἐν μ. *Lit.*ap.*Const.App.*8.9.2; *ib.*8.12.47; οἱ ἐνεργούμενοι καὶ οἱ ἐν μ. Dion.Ar.*e.h.*3.2(M.3.425C); *ib.*3.3.6(432C); as a special degree dist. from others under discipline χρὴ τῷ πρώτῳ ἐκβάλλεσθαι τῶν προσευχῶν...τῷ δευτέρῳ δεχθῆναι εἰς ἀκρόασιν· τῷ τρίτῳ εἰς μ. Bas.*ep.*199 *can.*22(3.293C; M.32.724A); **b.** their status and treatment in church ὡς τελώνην οὖν ἡ ἐθνικὸν ἔχε τὸν ἐπὶ κακῷ ἔργῳ ἐλεχθέντα...μέχρις οὗ μ. καρπὸν ἐπιδείξωσιν, ἐπιτρέπομεν εἰσέρχεσθαι...μὴ κοινωνείτωσαν δὲ ἐν τῇ προσευχῇ, ἀλλ' ἐξερχέσθωσαν μετὰ τὴν ἀνάγνωσιν τοῦ νόμου καὶ τῶν προφητῶν καὶ τοῦ εὐαγγελίου *Const.App.*2.39.6; εἰ δὲ ἐπιστραφεὶς μ. καρπὸν ἐπιδείξηται, τότε καὶ εἰς προσευχὴν εἰσδέξασθε αὐτόν...καὶ τοῦτον χειροθετήσας, ὡς ἂν μ. κεκαθαρμένον...ἀποκαταστήσεις αὐτόν *ib.*2.41.1,2; ref. adulterous women αὐτὰς ἄνευ κοινωνίας προσέταξαν, μέχρι τοῦ συμπληροῦσθαι

τὸν χρόνον τῆς μ. Bas.*ep.*199 *can.*34(3.295C; M.32.728B); **c.** their penitence to be judged by intensity rather than length of time, *ib.*188 *can.*2(271B; M.672B); *ib.*217 *can.*84(330C; M.808B); **5.** πρεσβύτερος ἐπὶ τῆς μ.: ὑπὸ δὲ τὸν αὐτὸν χρόνον [sc. after Decian persecution] ἔδοξε καὶ τοὺς ἐπὶ τῆς μ. περιελεῖν πρεσβυτέρους τῶν ἐκκλησιῶν δι' αἰτίαν τοιαύτην. ἀφ' οὗ Ναυατιανοὶ τῆς ἐκκλησίας διεκρίθησαν, τοῖς ἐπταικόσιν ἐν τῷ ἐπὶ Δεκίου διωγμῷ κοινωνῆσαι μὴ θελήσαντες, οἱ ἐπίσκοποι τῷ ἐκκλησιαστικῷ κανόνι τὸν πρεσβύτερον τὸν ἐπὶ τῆς μ. προσέθεσαν, ὅπως ἂν οἱ μετὰ τὸ βάπτισμα πταίσαντες ἐπὶ τοῦ προβληθέντος τούτου πρεσβυτέρου ἐξομολογῶνται τὰ ἁμαρτήματα. οὗτος ὁ κανὼν κρατεῖ μεχρὶ νῦν ἐν ταῖς ἄλλαις αἱρέσεσι· μόνοι δὲ οἱ τοῦ Ὁμοουσίου φρονήματος καὶ οἱ...Ναυατιανοὶ τὸν ἐπὶ τῆς μ. πρεσβύτερον παρητήσαντο. Ναυατιανοὶ μὲν γὰρ οὐδὲ τὴν ἀρχὴν τὴν προσθήκην ταύτην ἐδέξαντο· οἱ δὲ νῦν τῶν ἐκκλησιῶν κρατοῦντες ἕως πολλοῦ φυλάξαντες, ἐπὶ Νεκταρίου τοῦ ἐπισκόπου μετέθεσαν, τοιούτου τινὸς ἐπὶ τὴν ἐκκλησίαν συμβάντος...ὅτι καὶ τῇ ἐκκλησίᾳ βλασφημίαν ἡ πρᾶξις καὶ ὕβριν προὐξένησεν...Εὐδαίμων τις τῆς ἐκκλησίας πρεσβύτερος...γνώμην τῷ ἐπισκόπῳ δίδωσι Νεκταρίῳ περιελεῖν μὲν τὸν ἐπὶ τῆς μ. πρεσβύτερον· συγχωρῆσαι δὲ ἕκαστον τῷ ἰδίῳ συνειδότι τῶν μυστηρίων μετέχειν Socr.*h.e.*5.19.1–9(M.67.613A–617A); cf.Soz.*h.e.* 7.16(M.67.1457C–1464A).

G. repentance and confession of sins ἐπεὶ...τῆς ἐπιστροφῆς ὁ τρόπος οἰκεῖος ὀφείλει εἶναι τοῦ ἁμαρτήματος, καὶ καρπῶν δὲ χρεία ἀξίων τῆς μ. ... ἀναγκαῖον τοῖς πεπιστευμένοις τὴν οἰκονομίαν τῶν μυστηρίων τοῦ θεοῦ ἐξομολογεῖσθαι τὰ ἁμαρτήματα Bas.*reg.br.*288(2. 516D; M.31.1284C); ἐπταπλασίονα...τὴν ἀντίδοσιν ἡμῖν χρεωστουμένην τοῖς ἁμαρτωλοῖς συγχωρήσει ὁ κύριος ἐνταῦθα, εἰ διὰ μ. καὶ ἐξομολογήσεως ἐξιλεωθείη παρ' ἡμῶν ‡Bas.*struct.hom.*2.8(1.342D; M.30.52A); ἁμαρτία...κρύπτεται...μ. καὶ ἐξομολογήσει Chrys.*hom. 48.5 in Mt.*(7.500A); Thdt.*Ps.*6:6(1.642); Proc.G.*Is.*59:1–18(M.87. 2608B); εἰδὼς γὰρ ὁ σωτὴρ...ὅτι νέοι βαπτιζόμενοι καὶ προβαίνοντες ἐν ἡλικίᾳ μολύνομεν διὰ τὰς ἁμαρτίας τὸν...χιτῶνα τῆς ἀφθαρσίας, δέδωκεν ἡμῖν...δι' ἐξομολογήσεως καὶ μ. καθαίρειν τοῦτον †Jo.Jej. *serm.*(M.88.1921B); †Jo.Jej.*poenit.*(M.88.1897A); ὁ κύριος...ἔδωκε νόμον εἰς βοήθειαν...μοναχοὺς δὲ πάλιν ⟨εἰς⟩ τὸ παραινεῖν, ἐπὶ τὸ ἐξομολογεῖσθαι εἰς αὐτοὺς μετὰ μετανοίας †Jo.Jej.*serm.*(1920A).

H. repentance in spiritual life; **1.** causes: prayer of intercession, Ign.*Eph.*10.1; piety ἡ οὖν εὐλάβεια λογικὴ δείκνυται, τοῦ βλάπτοντος ἔκκλισις οὖσα, ἐξ ἧς ἡ μ. προημαρτημένων φύεται Clem.*str.*2.7(p.130. 19; M.8.968C); commandments, *ib.*(p.131.18; 969C); fear of the Lord, *ib.*2.9(p.134.16; 976B); Chrys.*hom.11.3 in Mt.*(7.152E); **2.** importance and universality συνιστῶμεν δὲ μ., οὐχ ἁμαρτίαν ἀδελφοῦ προτρεπόμενοι (οὐ γὰρ ἐλπίδι μ. βουλόμεθα ἐφ' ἁμαρτίαν ἰέναι τὸν ἁμαρτήσαντα), ἀλλ' ἀναστῆσαι τὸν πεσόντα σπεύδοντες...ἡ δὲ προσδοκία τῆς μ. τὸν πεσόντα ἀναστῆναι...προτρέπεται †Bas.*poenit.*1(2.603C; M. 31.1476B); περὶ μετανοίας τὸν λόγον...ἐλέγομεν, ὅτι πολλαὶ καὶ ποικίλαι ὁδοὶ τῆς μ., ἵνα εὔκολος ἡμῖν γένηται ἡ σωτηρία Chrys.*poenit.*3. 1(2.295A); *ib.*3.4(300A); τῇ χειρὶ τῆς μ. ὑμᾶς ἐγχειρίζω, ἵνα μάθητε αὐτῆς τὴν δύναμιν...τὴν ἰσχύν, ἵνα μάθητε ὅτι οὐ περιγίνεται αὐτῆς ἁμάρτημα *ib.*8.3(344D); ὁρᾷς πῶς καὶ ταχίστη καὶ πολλὴ τῆς μ. ὠφέλεια; ὀλίγα κολάσας αὐτὸν ὑπὲρ ἁμαρτημάτων...ἐπειδὴ εἶδον κατηφῆ γενόμενον...καὶ αὐτὴν τὴν μικρὰν ἀνῆκα τιμωρίαν· οὕτω καὶ ἕτοιμός ἐστι πρὸς τὰς ἡμετέρας καταλλαγὰς ὁ θεός id.*pan.mart.*1.4(2. 656A); τὸ τῆς μ. φάρμακον, πάντα ἡμῶν τὰ ἁμαρτήματα ἱκανὸν ἀφανίσαι id.*hom.9.4 in Heb.*(12.98C); id.*dimiss.Chan.*2(3.434E); id. *hom.24.3 in Ac.*(9.196B); μεγάλη...τῆς μ. ἡ δύναμις, εἴγε ἡμᾶς ὥσπερ χιόνα ἐργάζεται...κἂν προλαβοῦσα ἡ ἁμαρτία πολλῷ χρόνῳ κατέβλαψε τὴν ψυχὴν φαύλως Nil.*epp.*2.239(M.79.324A); ἡ ποικιλία τῶν ἐντολῶν εἰς ἕνα καταλήγει τὸν τῆς μ. ὅρον Marc.Er.*opusc.*3.1(M. 65.965B); μ. ... οὔτε καιροῖς οὔτε πράγμασι περιώρισται, ἀλλὰ διὰ τῶν τοῦ Χριστοῦ ἐντολῶν ἀναλόγως ἐπιτηδεύεται *ib.*3.6(973D); πᾶσι πάντοτε προσήκειν οἶμαι τὴν μ. ἁμαρτωλοῖς τε καὶ δικαίοις *ib.*3.7 (976B); μικροῖς τε καὶ μεγάλοις ἕως θανάτου ἀτέλεστος ἡ μ. *ib.*3.11 (980D); λέγεις· οὐ δύναμαι τελείαν ἐπιδείξασθαι τὴν μ. ... βέλτιόν σε ἔχειν κἂν ὀλίγα κατορθώματα, ἢ ὅλως μὴ ἔχειν μηδέν †Jo.Jej.*serm.*(M. 88.1956C); Ant.Mon.*hom.*77(M.89.1657C); hence possibility of deathbed repentance, Nil.*epp.*2.229(317D); εἰ μέχρι τῆς ἐσχάτης τρῦ ἀνθρώπου ἀναπνοῆς, τὴν οἰκείαν ἰσχὺν δείκνυσιν ἡ...μ., καὶ ἐν αὐταῖς προσλαμβανομένη ταῖς τοῦ θανάτου πύλαις...καὶ μέλλειν ἐξιέναι τοῦ σταδίου δικαιοῦσα...τὸν ἐξαμαρτήσαντα *ib.*3.270(518D); cf.†Gregent. *leg.Hom.*(M.86.573C); and for Judas to have been saved by repentance, Chrys.*poenit.*1.3(2.284C); **3.** two kinds of repentance; **a.** true, Herm.*mand.*12.3.2; id.*sim.*7.6; ἡ δ' ἀληθινὴ μ. τὸ μηκέτι τοῖς αὐτοῖς ἔνοχον εἶναι, ἀλλὰ ἄρδην ἐκριζῶσαι τῆς ψυχῆς ἐφ' οἷς ἑαυτοῦ κατέγνω θάνατον ἁμαρτήμασιν Clem.*q.d.s.*39(p.185.17; M.9. 644C); Bas.*reg.br.*13(2.419A; M.31.1092A); Chrys.*hom.31.3 in Heb.* (12.287E–288A); θέλει δὲ ὁ ἐν ἀληθείᾳ μετανοῶν ἐφ' οἷς ἔπραξε κακοῖς καὶ ἑαυτὸν ἐπιμέμφεσθαι, καὶ τὰ παρ' ἄλλων ὀνείδη καρτερῶς φέρειν· μ. γάρ ἐστι τὸ ὑπ' ἀφρόνων χλευάζεσθαι...καὶ ὁλοκαρδίως προσφέρειν τῷ θεῷ ἐξομολόγησιν Ant.Mon.*hom.*77(M.89.1661D); **b.** spurious, simulated ἐὰν γὰρ μὴ πορευθῶσιν ἐν αὐταῖς [sc. ἐντολαῖς], εἰς μάτην ἐστὶν ἡ μ. αὐτῶν Herm.*sim.*6.1.3; αἱ δὲ συνεχεῖς καὶ ἐπάλληλοι ἐπὶ τοῖς ἁμαρτήμασι μ. οὐδὲν τῶν καθάπαξ μὴ πεπιστευκότων διαφέρουσιν ἢ μόνῳ τῷ συναίσθεσθαι ὅτι ἁμαρτάνουσι Clem.*str.*2.13(p.144.1; M.8. 996B); *ib.*(p.144.21; 996C); οἷδα πολλοὺς ἐγώ, οἳ λέγουσι μὲν πενθεῖν τὰ ἁμαρτήματα, οὐδὲν δὲ μέγα ἐργάζονται, ἀλλὰ νηστεύουσι μὲν καὶ τραχέα φοροῦσιν ἱμάτια, χρημάτων δὲ μᾶλλον τῶν καπηλευόντων ἐφίενται...καὶ κακηγορίαις χαίρουσι μᾶλλον, ἢ ἐγκωμίοις ἕτεροι. οὐκ ἔστι ταῦτα μ.· εἰκὼν ἐστι μετανοίας ταῦτα καὶ σκιὰ μόνον Chrys.*hom. 4.5 in 2Cor.*(10.462cf.); **c.** the two contrasted Νινευῖται...πενθοῦντες ἐπὶ τοῖς ἁμαρτήμασιν, ἃ...Ἰωνᾶς ἐξεβόησεν, οὐ τὰ βρέφη μόνον εἰς τὴν μ. προεστήσαντο...ἀλλὰ πρώτους μὲν ἐδάμασε τοὺς πατέρας τοὺς ἡμαρτηκότας ἡ νηστεία...ὦ τῆς ἐμμελοῦς μ. ... τοιαύτη τῶν ἁμαρτίαις ἐνεχομένων ἡ μ. ἡμεῖς δὲ τὴν μὲν ἁμαρτίαν ἐπιτελοῦμεν συντόνως, ὀλιγώρως δὲ...ἀναλαμβάνομεν τὴν μ. Bas.*hom.*8.3,4(2.64E–65D; M.31. 312A–313A); **d.** full and partial repentance ἡ μ. δισσή· ἡ μὲν κοινὴ ἐπὶ τῷ πεπλημμεληκέναι, ἡ δέ, τὴν φύσιν τῆς ἁμαρτίας καταμαθοῦσα, ἀφίστασθαι τοῦ ἁμαρτάνειν αὐτοῦ κατὰ προηγούμενον λόγον πείθει, ᾧ ἕπεται τὸ μὴ ἁμαρτάνειν Clem.*str.*6.12(p.481.2; M.9.320A); **4.** various expressions of repentance; **a.** confession, Chrys.*poenit.*2.1(2.287B); **b.** sorrow, *ib.*2.3(290A); **c.** humility ἔχεις δὲ καὶ τρίτην ὁδὸν μ.· πολλὰς δὲ ὁδοὺς μ. εἶπον, ἵνα τῇ ποικιλίᾳ τῶν ὁδῶν εὔκολόν σοι τὴν σωτηρίαν ἐργάσωμαι. ποία δὲ αὕτη ἡ τρίτη ὁδός; ἡ ταπεινοφροσύνη· ταπεινοφρόνησον, καὶ ἔλυσας τὰς σειρὰς τῶν ἁμαρτιῶν *ib.*2.4(292A); **d.** alms-giving, *2Clem.*16.4; τετάρτην ὁδὸν μ. πράξωμεν...λέγω δὴ τὴν ἐλεημοσύνην Chrys.*poenit.*3.1(2.295C); μ. ἐκτὸς ἐλεημοσύνης νεκρά ἐστι...οὐ δύναται μ. πτερωθῆναι, μὴ ἔχουσα πτερὸν ἐλεημοσύνης *ib.*7. 6(336C); **e.** prayer, *ib.*3.4(299C); **f.** tears, Bas.*moral.*1.2(2.235A; M.31.701A); id.*reg.br.*10(2.417E; M.31.1088C); Chrys.*poenit.*3.4(2. 300C); **g.** outward sign of sackcloth, Bas.*hom.in Ps.*29(1.131B; M.29.321C); †Bas.*Is.*196(1.526A; M.30.457A); **h.** summary βούλεσθε εἴπω καὶ μετανοίας ὁδούς; πολλαί τινές εἰσι...ἔστι πρώτη μ. ὁδὸς ἁμαρτημάτων κατάγνωσις...ὁ γὰρ καταγνοὺς τῶν ἡμαρτημένων, ὀκνηρότερός ἐστι πρὸς τὸ τοῖς αὐτοῖς πάλιν περιπεσεῖν...μία μὲν οὖν μ. ὁδὸς ἀρίστη αὕτη· ἔτι δὲ καὶ ἑτέρα ταύτης οὐκ ἐλάττων, τὸ μὴ μνησικακεῖν τοῖς ἐχθροῖς...βούλει καὶ τρίτην μαθεῖν μ. ὁδόν; εὐχὴ ζέουσα...εἰ δὲ καὶ τετάρτην θέλεις μαθεῖν, τὴν ἐλεημοσύνην ἐρῶ...καὶ τὸ μετριάζειν δὲ καὶ ταπεινοφρονεῖν τῶν εἰρημένων ἁπάντων οὐκ ἦττον δαπανᾷ ἁμαρτημάτων φύσιν...ἰδοὺ πέντε μ. ὁδοὺς ἐδείξαμεν Chrys.*diab.*2.6 (2.266A–E); πρέπον τῇ ἰσχυούσῃ ψυχῇ, δι' ἔργων ποιεῖσθαι τὴν ἐξομολόγησιν, οἷον δὴ νηστείας, καὶ ἀγρυπνίας τε, καὶ σάκκου, καὶ σποδοῦ ὑποστρώσεως καὶ ἐλεημοσύνης ἀφειδοῦς...καὶ τῶν ἄλλων καρπῶν τῶν κεχρεωστημένων τῇ ἀκριβεῖ μ. Nil.*epp.*3.243(M.79.497C); τὸ τῆς μ. ἔργον ἐν ταῖς τρισὶ ταύταις ἀρεταῖς ἐξυφαίνεται· ἐν τῷ λογισμοὺς καθαρεῖν, καὶ ἀδιαλείπτως προσεύχεσθαι, καὶ τὰς ἐπερχομένας θλίψας ὑποφέρειν...ἄνευ τῶν προειρημένων τριῶν ἀρετῶν οὐ δύναται τελειωθῆναι τὸ τῆς μ. ἔργον *Schol.*29 in Jo.Clim.*scal.*5(M.88.792C,D); πέντε εἰσὶν οἱ τρόποι τῆς μ.· κατάγνωσις τῶν ἡμαρτημένων· τὸ ἀφιέναι τοῖς πλησίον τὰ ἁμαρτήματα· τὸ εὔχεσθαι· τὸ ἐλεεῖν· τὸ ταπεινοφρονεῖν *Schol.*6 *ib.*9(845A); **5.** effects of penitence; **a.** salvation προγινώσκει [sc. ὁ θεός] γάρ τινας ἐκ μ. σωθήσεσθαι Just.*1apol.*28.2(M.6.372B); οἱ Νινευῖται...μ. γνησίᾳ τὴν...ἀντικατηλλάξαντο σωτηρίαν Clem.*prot.*10 (p.72.16; M.8.213B); διὰ τὰς ἐπὶ τοῖς ἁμαρτήμασιν ἡμῶν μ. τὴν κατὰ θεὸν λύπην λυπούμενοι, μ. εἰς σωτηρίαν ἀμεταμέλητον ἡμῖν ἐργαζομένην Or.*Jo.*10.17(13; p.188.10f.; M.14.336C); id.*or.*13.3(p.327.30; M. 11.456C); ὁ ἁμαρτὼν διὰ μετάνοιαν οὐκ ἀπόλλυται *Const.App.*2.10.4; Proc.G.*Is.*59:1–18(M.87.2612D); and faith, Clem.*str.*7.14(p.60.32; M. 9.517C); ἄνθρωποι μὲν μ. ἐπιδέχονται καὶ ἐξ ἀπιστίας εἰς πίστιν μεταβάλλουσιν Or.*Jo.*13.59(58; p.291.1; 512B); **b.** forgiveness, Clem.*str.* 2.15(p.150.14; M.8.1009A); τοὺς ἐκ πλήθους παραπτωμάτων ἐν μ. εἰληφότας ἄφεσιν *Const.App.*2.21.8; Chrys.*poenit.*5.2(2.311B); *ib.*7.4 (2.332C); and destruction of sin, Clem.*str.*4.6(p.260.12; M.8.1240B); Chrys.*Thdr.*1.19(1.32C); id.*poenit.*1.3(2.284B); **c.** purification ὁ...ἐν ἁμαρτίᾳ τινὶ πεφυρμένος τὴν μὲν εἰς τὸ παρὸν καθαρότητα ἀποβάλλει, τὴν δὲ εἰς τὸ μέλλον ἐκ μ. ἐλπιζομένης καθάρσεως οὐκ ἀποστερεῖται †Bas.*Is.*278(1.591E; M.30.609A); εἴ τις ἅγιος, προσερχέσθω· εἰ δέ τις οὐκ ἔστιν, γενέσθω διὰ μ. *Const.App.*7.26.6; πυρὸς δίκην ὑπὸ τῆς μ. ἀναζέσαντες, χρυσίου καθαροῦ καθαρωτέρας τὰς ἑαυτῶν ἀπεργάζονται ψυχάς Chrys.*Thdr.*1.16(1.27A); id.*poenit.*8.2(2.342E); **d.** life, Herm. *sim.*8.6.6; Clem.*str.*2.23(p.193.28; M.8.1097A); ἡ μ. ζωοποιεῖ τὸν τοῖς παραπτώμασι νεκρωθέντα· αὕτη γὰρ γνώρισμα ὑπάρχει τῆς παλιγγενεσίας, τρόπαιον δὲ ἀναστάσεως Nil.*epp.*1.274(M.79.184A); **e.** παρρησία,

Chrys.*poenit.*8.2(2.342E); **f.** other effects *τίνες εἰσὶν οἱ ἄξιοι καρποὶ τῆς μ., τὰ ἀντικείμενα τῇ ἁμαρτίᾳ ἔργα δικαιοσύνης, ἅπερ ὁ μετανοῶν καρποφορεῖν ὀφείλει;* Bas.*reg.br.*287(2.516B; M.31.1284B); *ἐπαλαιώθης σήμερον ἀπὸ τῆς ἁμαρτίας; ἀνακαίνισον σεαυτὸν ἀπὸ τῆς μ.* Chrys.*poenit.*8.1(2.341B); *προσέλθωμεν οὖν τῇ μ., καὶ αὕτη πρεσβεύῃ ὑπὲρ ἡμῶν πρὸς τὸν θεόν* Ant.Mon.*hom.*77(M.89.1660C); *εἶδον ἀκαθάρτους ψυχὰς περὶ ἔρωτας σωμάτων ἐμμανῶς μαινομένας· καὶ δὴ σκῆ[έ]ψιν μ. προσλαβοῦσαι, ἐκ πείρας ἔρωτος, τὸν αὐτὸν πρὸς κύριον μετενηνόχασιν ἔρωτα· καὶ...ἀπλήστως εἰς ἀγάπην θεοῦ ἐνεγκεντρίσθησαν* Jo.Clim.*scal.*5(M.88.777A); **6.** penitence of the perfect *ἐπιγνώμων ἀνήρ, ὁ μὴ πρὸ τῆς τελείας μ. ἀνασχόμενος τῆς...μνείας τῶν οἰκείων ἁμαρτημάτων* Evagr.Pont.*or.*144(M.79.1197B); *οἱ ἀληθῶς εὐηρεστηκότες τῷ θεῷ...ποίας ἔτι χρῄζουσι μ.;...γνώσῃ πῶς καὶ τοιοῦτοι χρῄζουσιν αὐτῆς...τίς οὖν ὁ ψεύδους ἀπείραστος...μηδὲ ἀργοῦ ῥήματος ὑπηρέτης εὑρεθείς, ὥστε μὴ χρῄζειν μ.; εἰ γὰρ καὶ νῦν οὐκ ἔστι τοιοῦτος, ποτὲ δὲ ἐγένετο, μ. κεχρεώστηκεν ἕως θανάτου* Marc.Er.*opusc.*3.10(M.65.980A,B); *σημεῖον μεμεριμνημένης μ. πασῶν τῶν συμβαινουσῶν ὁρατῶν καὶ ἀοράτων θλίψεων ἀξίους ἑαυτοὺς λογίζεσθαι* Jo.Clim.*scal.*5(M.88.780B); *ἐν τῇ μ. μου ἐκκαυθήσεται πῦρ προσευχῆς καιούσης ὕλην ib.*(780D); *μ. μεμεριμνημένη...καὶ πένθος ἀφηγνισμένον πάσης κηλῖδος, καὶ ἡ πανόσιος εἰσαγομένων ταπείνωσις, τοσαύτην ἀπ' ἀλλήλων τὴν διαφορὰν...κέκτηνται, ὅσην ἔχει παρὰ τὸν ἄρτον ἡ ζύμη καὶ ὁ ἄλευρος. συντρίβεται μὲν γὰρ ψυχὴ...διὰ μ. ἐναργοῦς· ἑνοῦται...θεῷ δι' ὕδατος πένθους ἀψευδοῦς· ἐξ οὗ καὶ ἐξάψασα πῦρ κυρίου ἀρτοποιεῖται...ἡ μακαρία ταπείνωσις ib.*25(989D).

I. those excluded from repentance *ἀπόσταται καὶ βλάσφημοι εἰς τὸν κύριον καὶ προδόται τῶν δούλων τοῦ θεοῦ. τούτοις δὲ μ. οὐκ ἔστι... ὑποκριταὶ καὶ διδάσκαλοι πονηρίας...μὴ ἔχοντες καρπὸν δικαιοσύνης... τούτοις οὖν μ. κεῖται, ἐὰν ταχὺ μετανοήσωσιν...διατί, φημί...διὰ τοῦτο, φησί, τούτοις μ. κεῖται, ὅτι οὐκ ἐβλασφήμησαν τὸν κύριον* Herm. *sim.*9.19.1,2; *ἀδύνατον γάρ ἐστι σωθῆναι τὸν μέλλοντα νῦν ἀρνεῖσθαι τὸν κύριον ἑαυτοῦ, ἀλλ' ἐκείνοις τοῖς πάλαι ἠρνημένοις δοκεῖ κεῖσθαι μ. ib.*9.26.6; *οὕτως ἐπὶ Σοδόμων γέγονε. πολλὰ γὰρ ἁμαρτάνοντες καὶ οὐκ ἐπιστρέφοντες, ὕστερον οὕτω προσέκοψαν ἐπὶ τῇ τῶν ἀγγέλων κακῇ βουλῇ...ὥστε μηκέτι αὐτοὺς ἔχειν μ.* Mac.Aeg.*hom.*4.22(M.34.489B); *τίσιν οὐκ ἔστι μ.; ὁ δ' ἐλπίδι τῆς μ. κακουργῶν, κακουργίας ἔχει τὸν τρόπον, καὶ ἀπεστέρηται μ.* †Bas.*poenit.*6(2.608E; M.31.1488B); *ὁ σπείρων μὲν τὴν διὰ τῶν δακρύων ἐξομολόγησιν, οὐδὲν δὲ ἀπὸ ταύτης προσδεχόμενος κέρδος, οὐδὲ ἀνατρέψαι δυνήσεται τὰ διαφθείροντα τὴν μ. διαφθείρει δὲ τὴν μ. τὸ πάλιν τοῖς αὐτοῖς ἐνέχεσθαι κακοῖς* Chrys. *Thdr.*1.18(1.32B).

J. no repentance after death, *2Clem.*8.2; Clem.*prol.*10(p.67.8; M.8.204A); *ἐν ἁμαρτίᾳ τελευτήσαντι μ. οὐκ ἔστιν Const.App.*2.13.2; Chrys.*Thdr.*1.9(1.11C); ref. Dives and Lazarus *ἕως ἂν ἐνταῦθα ὦμεν, ἐλπίδας ἔχομεν χρηστάς· ἐπειδὰν δὲ ἀπέλθωμεν ἐκεῖ, κύριοι λοιπὸν μετανοίας οὐκ ἐσμέν, οὐδὲ τοῦ τὰ ἡμαρτημένα ἡμῖν ἀπονίψασθαι* id. *Laz.*2.3(1.730C); *νυνὶ* [sc. in next life] *δὲ ἐν ὀδύναις...ὧν ἀπαραιτήτοις, κήδεται τῶν αὐτῷ προσηκόντων...ἀπώνατό τι τῆς μ.;...οὐδαμῶς· ἄκαιρος γὰρ ἡ μ. ἐλύθη τὸ θέατρον, ἀπῆλθε τὰ σκάμματα* id.*grat.*3(2. 662D); id.*hom.*14.4 *in Mt.*(7.183B); ‡Chrys.*prov.*3(2.762E); *ἀποκέκλεισται τοῖς ἐντεῦθεν ἐξιοῦσι τῆς μ. ἡ θύρα, καὶ οὐχ οἷόν τε τοὺς μὴ κατὰ τὸν παρόντα βίον τοῖς τῆς μ. χρησαμένους φαρμάκοις, ἐκεῖ τὴν ὑπὲρ τῆς ἁμαρτίας ἐξομολόγησιν προσενεγκεῖν τῷ θεῷ* Thdt.*Ps.*6:1(1. 640); *ib.*6:6(642); *ἐν γὰρ τῷ ᾅδῃ...μ. οὐχ ὑπάρχει* †Jo.D.*B.J.*24(M. 66.1084B); except when Christ descended into Hades, Anast.S.*qu. et resp.*111(M.89.764C); but idea of purgatorial repentance of believers *ὁ πιστὸς ἡμῖν μέτεισιν ἐπὶ τὴν βελτίονα τῆς προτέρας μονήν, μεγίστην κόλασιν ἐπιφερόμενος τὸ ἰδίωμα τῆς μ. ὧν ἐξήμαρτεν μετὰ τὸ βάπτισμα* Clem.*str.*6.14(p.486.25; M.9.332A).

K. in relation to the Fall; **1.** repentance would not have sufficed to remedy its consequences, for it would not have brought about cessation of sin for the future, nor mitigated the corruption which ensued from Adam's sin, Ath.*inc.*7.2–4(M.25.108C,D); **2.** Adam's lack of repentance *Ἀδάμ, ποῦ εἶ...καὶ ποῦ ἐστι τὸ συγχώρησον; οὐδαμοῦ μ. ἀλλὰ τὸ ἐναντίον...τί ποιεῖτε, ἄθλιοι; βάλλετε μίαν μ., ἐπίγνωτε τὸ πταῖσμα ὑμῶν* Dor.*doct.*1.8(M.88.1628A,B), v. s. III.

L. Devil and repentance (v. *μετανοέω*); **1.** no repentance for demons, Tat.*orat.*15(p.17.2; M.6.840A) cit. s. *δαίμων*; **2.** Devil's fear of men's repentance *εἴδετε πῶς μ. ἐνεκωμιάζετο, καὶ ὁ διάβολος τὴν πληγὴν οὐκ ἐβάστασεν...τί δέδοικας, ὦ διάβολε, μ. ἐγκωμιαζομένης;... δικαίως ὀδύρομαι...μεγάλα μου σκεύη ἥρπασεν ἡ μ. ... πολλὰ σκεύη αὐτοῦ ἥρπασεν ἡ μ., καὶ αὐτὴν τὴν ἀκρόπολιν αὐτοῦ καθεῖλε, καὶ καιρίαν ἔχει τὴν πληγὴν τῆς μ.* Chrys.*poenit.*2.1(2.287A).

M. scriptural passages attributing repentance to God *περὶ τῆς μ. τοῦ θεοῦ ἀπαιτούμεθα ἀπολογήσασθαι· δοκεῖ γὰρ...ἀνάξιον, οὐ μόνον τοῦ θεοῦ ἀλλὰ καὶ τοῦ σοφοῦ, τὸ μετανοεῖν...ὁ θεὸς δέ, προγνώστης ὢν τῶν μελλόντων, οὐ δύναται...μετανοεῖν...ὅταν δὲ ἐπιπλέκηται ἀνθρωπίνοις πράγμασιν ἡ θεία οἰκονομία, φέρει τὸν ἀνθρώπινον νοῦν... καὶ ὁ θεὸς δὴ λαλεῖ παιδίοις...ἐπεὶ τοίνυν ἡμεῖς μετανοοῦμεν, ὅταν ἡμῖν διαλέγηται μετανοοῦσιν ὁ θεὸς λέγει· μετανοῶ, καὶ ἀπειλῶν ἡμῖν οὐ προσποιεῖται προγνώστης εἶναι, ἀλλ' ὡς βρέφεσι λαλῶν ἀπειλεῖ* Or.*hom.*18.6 *in Jer.*(p.157.28; M.13.473C); *χαρίζεται* [sc. *ὁ θεός*] *μετανοίᾳ μετάνοιαν οὐχ ὁμοίως ἡμῖν μετανοῶν· οὐ γὰρ νῦν μὲν τοῦτο, νῦν δὲ ἐκεῖνο βούλεται ὁ θεός· ἀλλὰ τὴν μεταβολὴν τῆς ἀπειλῆς μ. προσηγόρευσε* Thdt.*Jon.*3:10(1.1472f.).

N. 'angel of repentance' *οὕτως γράψαι ὁ ποιμὴν ἐνετείλατο, ὁ ἄγγελος τῆς μ.* Herm.*vis.*5.7; id.*mand.*12.4.7; *ib.*12.6.1; id.*sim.*9.1. 1; Clem.*q.d.s.*42(p.190.27; M.9.652A); Or.*Jo.*1.17(18; p.22.17; M.14. 53B).

O. persons exempted from works of penance *ὁ γὰρ μήπω διὰ τῆς ἡλικίας τὸ ἐν ἀνθρώποις τέλειον ἐσχηκώς, μηδὲ τὸν νοῦν ἀπηρτισμένον ἔχων,...οὐδὲ ἀπαιτεῖται τὰ ἔργα τῆς μ.* †Bas.*Is.*297(1.605B; M.30. 640C).

P. *ἡ ἡμέρα μ.* 22nd Oct., observed as day of penitence in Egypt, *POxy.*1357.4.

Q. as name of monastery at Alexandria, *PFlor.*298.54 (saec. vi); Cyr.*hom.div.*18 tit.(M.77.1100D); *ib.*(1101A); another *ἐπιλεγόμενον τῆς Νέας M.* Thphn.*chron.*p.250(M.108.628A).

R. as interprn. of name of Abel, Max.*qu.dub.*52(M.90.825B).

III. *prostration*; made as sign of penitence, esp. in religious life for moral faults, ‡Ath.*renunt.*5(M.28.1416A); ‡Jo.Jej.*can.*(p.436); for faults against rule, e.g., being late for choir, ‡Ath.*ep.Cast.*1.8 (M.28.860A); before confession, Jo.Jej.*canonar.*2(p.438); *ὀφείλει δὲ ὁ ἐξαγορευόμενος ποιεῖν τρεῖς μ. ἐν τῇ εἰσόδῳ τοῦ ἁγίου θυσιαστηρίου* †Jo.Jej.*serm.*(M.88.1921C); but not by women in state of penitence, †Jo.Jej.*poenit.*(1904C); in exorcism, *Exorc.*19(p.339); as sign of respect, esp. in religious life *βάλλειν μ. Apophth.Patr.*(M.65.93B); Dor.*doct.*7.1(M.88.1697B); Jo.Mosch.*prat.*39(M.87.2892C); as a sign of worship *βαλὼν μ. τῷ θεῷ* Jo.Mosch.*prat.*11(M.87.2861A); hence as synonym for prayer *δεῦρο βάλωμεν μ. ἵνα ἕως τοῦ Σινὰ μηδεὶς ἡμῶν φάγῃ...καὶ ἔβαλεν ὁ γέρων μ., καὶ ἕως τοῦ Σινὰ οὐ μετέλαβέν τινος ib.*100(2960A).

μεταντλέω, *draw from one vessel to another*; in gen., *transfer,* Clem. *exc.Thdot.*46(p.121.14; M.9.680D); Bas.Sel.*v.Thecl.*2.11(M.85.584A).

***μέταξις, ἡ,** *silk,* Cosm.Ind.*top.*11(M.88.445D); *ib.*2(96C, v.l. *μετάξιον* Migne); Thphn.*chron.*pp.153,268(v.l. *μέταξαν* M.108.413A,665A).

μέταξον, τό, = foreg., ‡Jo.D.*Const.*14(M.95.329D).

μεταξύ, 1. adv., *in the midst,* used elliptically *λησταὶ δύο μ. αὐτοῦ ἐσταυρώθησαν* Chrys.*hom.*7.3 *in Phil.*(11.249B); *in passing ὅταν μνημονεύωμεν μ. χηρείας* id.*vid.*1.2(1.340E); *after, afterwards τῷ δὲ ποιήσαντί σε θεῷ ἀπιστεῖς δύνασθαί σε καὶ μ. ποιῆσαι* Thphl. Ant.*Autol.*1.8(M.6.1037B); **2.** prep. c. genit., *in the midst of,* of place *μ. θηρίων, μ. θεοῦ* Ign.*Smyrn.*4.2; *τὸ δὲ κήρυγμα μ. τῆς πλάνης...ἔλαμψε* Chrys.*hom.*5.3 *in Jo.*(8.40A); of time *μ. τῆς τραπέζης περὶ σταυροῦ διαλέγεται* id.*hom.*88.1 *in Mt.*(7.782A); *between,* of mediation of Christ *προσάγομεν αὐτῷ* [sc. *εὐχάς*] *ὡς διὰ μ. ὄντος τῆς τοῦ ἀγενήτου καὶ τῆς τῶν γενητῶν πάντων φύσεως* Or.*Cels.* 3.34(p.231.7, conjj. *δι' αὐτοῦ ὡς μ.* or *δὴ μ.*; M.11.964B); *before εἰ βουλόμενος ἐγέννησεν, ἆρα ἦν τὸ βούλημα πρὸ τοῦ υἱοῦ, καὶ ἔσται κἂν ῥοπὴ χρόνου μ. υἱοῦ διὰ τοῦ βουλήματος* Epiph.*haer.*69.26(p.177.24; M.42.245A).

***μεταξυλογέω,** *digress,* Oecum.*2Petr.*3:17(M.119.604D).

μεταξυλογία, ἡ, *digression, cat.Jac.*4:5(p.29.18); Men.*exc.Rom.*3 (p.185.29; M.113.873C).

μεταξύτης, ἡ, *mean,* Or.*comm.in Mt.*13.26(p.250.19; M.13.1161C).

μεταπαιδεύ-ω, *educate differently, teach a better way,* Ath.*inc.* 14.4(M.25.121A); pass., id.*ep.encycl.*7(p.177.10; M.25.239D); id.*ep. Adelph.*6(M.26.1080C); c. dupl. acc., *teach to reject θεῖου δὲ νόμου τὸν ἀνθρώπινον νοῦν τὰ αἰσχίω ~οντος* Cyr.*ador.*1(1.38B).

μεταπαραδίδωμι, *hand over, pass on,* Adam.*dial.*1.26(p.50.24; M. 11.1756A); Eus.*v.C.*2.9(p.44.21; M.20.988C); Ast.Am.*hom.*2(M.40. 189C); of the seasons, *cause to give way* to *θέρους ἀκμὴ τοῦτον* [sc. *ἔαρος αἰῶνα*] *μ.* Eus.*l.C.*6(p.209.1; M.20.1345B); intr., *give way* to *καιροὶ...ἐν εἰρήνῃ μ. ἀλλήλοις 1Clem.*20.9.

μεταπαραλαμβάνω, *take over from,* c. acc. pers., Adam.*dial.*1.26 (p.52.8; M.11.1756B).

***μεταπερισπάω,** *draw away* from, Clem.*str.*3.9(p.226.22; M.8. 1168D).

μεταπήγν-υμι, *coagulate, harden*; med. in trans. sense, †Apoll. *Ps.*65:6(M.33.1401B); pass. intrans. *αἵματος ὅπερ εἰς σάρκα πέφυκε ~υσθαι* Bas.*hom.in Ps.*29(1.130C; M.29.320D); id.*hex.*7.6(1.68D; M. 29.161A); *ἡ...ἄμμος προσομιλοῦσα πυρὶ...εἰς ὕαλον ~υται* Thdt.*eran.*

1(4.11); fig. ὁ οἶνος εἰς χρυσὸν ~νται, τὰ ἔριά σοι ἀποχρυσοῦται Bas. *hom.*6.5(2.47C; M.31.269C).

μεταπηδ-άω, *leap from one place to another*; hence gen., *move about*, Chrys.*hom.*9.2 *in Col.*(11.392A); fig. [sc. πλοῦτος] δραπέτου παντὸς ἀγνωμονέστερον ἀπὸ τούτου εἰς ἐκεῖνον μ. id.*hom.*28.3 *in Gen.*(4.274A); τοῦ γάμου...πρὸς ἱερωσύνην...~ῶντα τὸν ἔρωτα Proc. G.*ep.*78(M.87.2773C); met., *change, change over* συνήθεια τῆς γραφῆς, τὸ ταχέως ~ᾶν ἀπὸ τοῦ περί τινων λόγου εἰς τὸν περὶ ἑτέρων Or.*comm. min.in Cant.*(M.13.36B); Meth.*symp.*3.2(p.28.14; M.18.61C); Chrys. *hom.11.1 in 1Tim.*(11.604D); εἰς νίότητα τὴν θεοῦ καὶ πατρὸς μετέστημεν ἐκ δουλείας, τὸ μὲν οἰκεῖον ἐκβεβηκότες μέτρον, εἰς δὲ τὸ τοῦ χαριζομένου καὶ τοῦτο ἡμῖν ~ήσαντες Cyr.*thes.*32(5¹.315D); id.*Ps.*41:5 (M.69.1004B); μ. ἐπὶ τὰ Θεοδώρου βιβλία τὰ περὶ τῆς ἐνανθρωπήσεως id.*ep.*70(p.16.31; 5².198D); *shift one's ground* in argument, Bas.*Eun.* 1.5(1.216B; M.29.520B).

μεταπήδησις, ἡ, *interval* between musical notes; fig., of harmony of the different parts of scripture τὴν καθ' ἕκαστον προφήτην κατὰ τὰς μ. τῶν προσώπων συνῳδίαν Clem.*str.*6.11(p.476.12; M.9.309C).

μεταπιπράσκω, *sell to another*, Nil.*Eulog.*4(M.79.1097D); Anast.S. *qu.et resp.*46(M.89.745A).

μεταπίπτ-ω, *undergo change* οὔτε δὲ μεταβάλλει οὔτε ~ει τὸ θεῖον Athenag.*leg.*22.5(M.6.940A); τὸ ἀθάνατον...μὴ ~ον ἢ ἐξιστανόμενον εἰς τὴν αἰσχίονα καὶ θνητὴν φύσιν Meth.*res.*1.36(p.275.16; M.41.1101A); οὐκ ἄρα μετέπεσεν ἡ πρὸς θεὸν ἰσότης, ἀλλ' ἀναλλοίωτος ἡ θεότης ἔμεινεν ἐν ταυτότητι Apoll.*corp.et div.*16(p.192.2; M.*PL.*8.875C); Gr. Naz.*or.*39.12(M.36.348C); Chrys.*hom.11.1 in Jo.*(8.63B); οὐ γὰρ εἰς ἄνθρωπον μετέπεσεν ὁ θεὸς λόγος, οὐδὲ οὐσία μετεβλήθη id.*hom.*7.3 *in Phil.*(11.248B); ὁ λόγος σὰρξ ἐγένετο οὐ μεταπεπτωκὼς εἰς σάρκα... οὔτε ἡ ἀναληφθεῖσα σὰρξ ἐχώρησεν εἰς τὴν φύσιν τοῦ ἀνειληφότος Paul.Em.*hom.*2(p.12.24; M.77.1440B); οὔτε τοῦ πνεύματος ἢ εἰς πατέρα ~οντος ἢ εἰς υἱόν, ὅτι ἐκπορεύεται, καὶ ὅτι θεός ‡Cyr.*Trin.*10 (6³.16D; M.77.1144D).

***μεταπλάζω,** *mould anew, refashion*, Clem.*prot.*11(p.79.19; M.8. 229B) cit. s. καινός; Meth.*res.*1.49(M.18.277C; μορφὴν πλασθῆναι p.303.7); Epiph.*haer.*76.20(p.389.32; M.42.596C).

μετάπλασις, ἡ, *remoulding, transformation*, Cyr.*hom.pasch.*10 (5².134D).

μεταπλασμός, ὁ, **1.** *remoulding, refashioning, transformation*, lit. ποία δ' ἂν γένοιτο καὶ ἡ τοῦ σώματος ἀπολύτρωσις, ἢ τίς ὁ μ., ἀναστοιχειοῦται δὲ ὅπως εἰς ἀφθαρσίαν καὶ δόξαν, αὐτὸς ἂν εἰδείη καὶ μόνος ὁ τούτων τεχνίτης Cyr.*Rom.*8:26(p.219.20; M.74.825B); met., ref. Ps. 50:12, id.*Zach.*86(3.773B); ref. Mt.5:17 μὴ τὴν εἰς ἅπαν ἀνατροπὴν τῶν πάλαι τεθεσπισμένων εἴργασθαι διανοοῦ· μᾶλλον δὲ μ. ὥσπερ τινὰ καί, ...μεταχάραξιν τῶν ἐν τύποις ἐπὶ τὸ ἀληθές id.*ador.*1(1.5C); **2.** *quando in prosa vitium fit sermonis, barbarismus vocatur; quando in metro, melaplasmus dicitur*, Isid.H.*etym.*1.32.2.

μεταπλάσσ-ω, 1. *remould, transform*; of resurrection body κἂν γὰρ ἐν πνευματικῷ μεταπλασθῇ σώματι αὐτὸ καὶ ἰδίως τὸ πρῶτον ὑποκείμενον ἐκεῖνο οὐκ ἔσται, ὁμοιότης δέ τις ἐκείνου ἐν λεπτομερεῖ μεταπεπλασμένῃ σώματι Meth.*res.*3.6(p.398.1; M.18.521C); spiritually πλάσαι μὲν τὸν ἄνθρωπον ἐκ χοός, ἀναγεννῆσαι δὲ ὕδατι, αὐξῆσαι δὲ πνεύματι, παιδαγωγῆσαι δὲ ῥήματι...ἵνα τὸν γηγενῆ εἰς ἅγιον καὶ ἐπουράνιον μεταπλάσας ἐκ προσβάσεως ἄνθρωπον Clem. *paed.*1.12(p.148.21; M.8.368A); ἵππος ἄγεται χαλινῷ,...ὁ δ' ἄνθρωπος ~εται λόγῳ *ib.*3.12(p.290.11; 680A); Ammon.*Jo.*6:40(M.85.1436C); Cyr.*Jo.*2.1(4.148A); ζωοποιεῖ δὲ λαβὼν ὁ υἱὸς...καὶ καθάπερ σπινθῆρα πυρὸς ἐγκαταχώσας αὐτοῖς τὴν ζωοποιὸν τοῦ πνεύματος δύναμιν, ὅλους δ' ὅλον ~ει εἰς ἀθανασίαν *ib.*4.1(340D); ~εται γὰρ ὥσπερ τῶν πιστευόντων ὁ νοῦς ἐκ νομικῆς εὐμαθείας εἰς παίδευσιν εὐαγγελικήν id. *2Cor.*3:18(p.338.14; M.74.929C); ~ομένης...εἰς τὰ ἀμείνω καὶ πνευματικὴν πολιτείαν τῆς τῶν πιστευόντων διανοίας id.*Is.*2.1(2.189C); ref. miracles τοῦ πλάστου μ. ἕκαστον τῶν δημιουργημάτων πρὸς ἣν ἂν ἐθέλῃ χρείαν πολλὴν καὶ ἀκώλυτον ἔχοντος ἐξουσίαν Philost.*h.e.*12. 10(M.65.620B); **2.** pass., *be transfigured*, Cyr.*hom.div.*9(5².367E); id. *Lc.*9:27ff.(p.79.19; M.72.653A); **3.** in gen., *change*; from types to realities τὴν τοῦ νόμου σκιὰν ~οντα [sc. τὸν λόγον τοῦ πατρός] ἐπὶ τὸ πνευματικώτερον Ammon.*Jo.*12:5(M.85.1480C); Cyr.*glaph.Gen.*1(1. 2C); id.*Lc.*5:14(M.72.556C); of heretics changing words or sense of scripture, Iren.*haer.*1.8.1(M.7.521A); Meth.*res.*1.58(p.320.9; M.41. 1153C); Bas.*Eun.*2.7(1.243B; M.29.584D); c. dupl. acc., *change into*, Thphyl.*exc.gent.*6(p.483.29; M.113.944D).

***μεταπλέκω,** *unravel*, Gr.Naz.*carm.*1.1.6.13(M.37.431A).

***μεταπληκεύω,** *transfer the camp*, Thphn.*chron.*p.325(M.108.785B).

***μεταπνέω,** *breathe in and out, breathe*, Gr.Naz.*carm.*1.1.8.26(M. 37.448A).

μεταποι-έω, A. act.; **1.** *alter the make of, change*; name, Or.*fr.*106 *in Jo.*(p.561.24); Eus.*e.th.*1.16(p.76.19; M.24.857A); **τὸ βάπτισμα,** τὴν θυσίαν, τὴν ἱερωσύνην, τὴν τοπικὴν λατρείαν ἑτέρως μετεποίησεν [sc. ὁ Χριστός] *Const.App.*6.23.5; **ref. Dt.18:15 κἂν τὸν δι' ἐμοῦ** [i.e. of Moses] **νόμον ἐθέλῃ** [sc. ὁ Χριστός] **~εῖν** Proc.G.*Dt.*18:11(M.87.917C); the significance of a word, Ath.*Ar.*2.46(M.26.245C); **character after** baptism λουσάμενοι τῷ μυστικῷ τούτῳ λουτρῷ κρείττους γεγόναμεν καὶ πρὸς τὸ κρεῖττον μετεποιήθημεν Gr.Nyss.*or.catech.*40(p.160.15; M. 45.101D); this change not an automatic transformation, *ib.*(p.159. 15; 101C); of unconverted soul τὰ μὴ ὄντα λογιζομένη, τὸ ἑαυτῆς δυνατὸν ~εῖ, καταχρωμένη τούτῳ εἰς ἃς ἐπενόησεν ἐπιθυμίας Ath.*gent.* 4(M.25.9C); **2.** *change* to a different opinion, *convert* ἡ παραίνεσις ~εῖ καὶ ἡ διδασκαλία μεταβάλλει τὴν διάνοιαν Tit.Bost.*fr.Lc.*6:43 (p.163.10); Philost.*h.e.*2.5(M.65.468C); **3.** *transform* ἵνα τοῦ φωτὸς ἐν τῇ σκοτίᾳ λάμποντος, μεταποιηθῇ πρὸς τὴν ἀκτῖνα τὸ σκότος Gr.Nyss. *hom.2 in Cant.*(M.44.797C); τῆς γῆς ~ουμένης καὶ καινῆς γενομένης Oecum.*Apoc.*16:19(p.182); reflex., Ath.*Ar.*3.49(M.26.428A); met., *change* one's attitude, one's position in argument, *ib.*1.33(80A); ref. miracles τοῦ οἴνου...ὕδατος μὲν τυγχάνοντος ὅτε ἠντλεῖτο πρότερον, οἴνου δὲ γενομένου ὅτε αὐτὸν μετεποίησεν Ἰησοῦς Or.*Jo.*13.62 (60; p.294.33; M.14.517D); Gr.Nyss.*v.Mos.*21(M.44.308A); Bas.Sel. *or.*37.1(M.85.389B); of man's spiritual transformation in eucharist Gr.Nyss.*or.catech.*37(p.143.5; M.45.93B) cit. s. μετατίθημι; ὁ ἀμνὸς τοῦ θεοῦ βιβρώσκεται...~ῶν πρὸς ἑαυτὸν τῷ πνεύματι τοὺς μεταλαμβάνοντας Max.*ambig.*(M.91.1365C); in future life ~οῦντος ἡμᾶς πρὸς ἑαυτὸν δηλαδὴ τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ id. *myst.*24(M.91.705A); explained οὐ τὴν ἑαυτῶν ἀφέντες φύσιν, πρὸς τὴν θείαν ~ούμεθα ὅταν ἐν γίνεσθαι πρὸς τὸν θεὸν λεγώμεθα, ἀλλ' ὅτι μέτοχοι γεγονότες αὐτοῦ, τοῦτο καλούμεθα Cyr.*thes.*12(5¹.122D); **4.** *transmute*; **a.** ref. sacraments; **i.** baptismal water τῆς σωματικῆς ἕνεκεν διακονίας παρείληπται, οὐδὲν παρ' ἑαυτοῦ πρὸς τὸν ἁγιασμὸν εἰσφερόμενον, εἰ μὴ ~ηθείη διὰ τοῦ ἁγιάσματος Gr.Nyss.*Maced.*19 (M.45.1325A); **ii.** eucharistic elements ~ούμενον εἰς σάρκα καὶ αἷμα τοῦ κυρίου Thdr.Heracl.ap.*cat.*(*symb.*)*Mt.*26:26(p.349); ὁ ἄρτος... ἁγιάζεται διὰ λόγου θεοῦ καὶ ἐντεύξεως, οὐ διὰ βρώσεως προϊὼν εἰς τὸ σῶμα γενέσθαι τοῦ λόγου ἀλλ' εὐθὺς πρὸς τὸ σῶμα διὰ τοῦ λόγου ~ούμενος Gr.Nyss.*or.catech.*37(p.150.3; M.45.97A); παρακαλεῖ...γενηθῆναι ἥτοι ~ηθῆναι τὸν ἄρτον καὶ τὸν οἶνον εἰς σῶμα καὶ αἷμα αὐτοῦ Χριστοῦ ‡Bas.*h.myst.*6o(p.395.13); σάρκα θεοῦ ἐκ σίτου καὶ αἷμα θεοῦ ἐξ οἴνου ἀληθῶς τῇ ἐπικλήσει καὶ ἀρρήτως ~ούμενον Jo.D.*hom.*4.35 (M.96.637C); id.*f.o.*4.13(M.94.1145A); **b.** Christol.; **i.** denied of divine Person οὐ...τῆς θεϊκῆς τελειότητος εἰς ἀνθρωπίνην τελειότητα ~ηθείσης ‡Ath.*Apoll.*1.16(M.26.1124A); τὸ ὅλως ~εῖσθαι δυνάμενον καὶ ἀπό τινος εἰς ἕτερόν τι παραφέρεσθαι, τρεπτῆς ἂν εἴη φύσεως Cyr. *thes.*20(5¹.199C); οὐ...τὸν ἐκ πατρὸς θεὸν λόγον εἰς τὴν τῆς σαρκὸς ~ῆσθαι φύσιν, ἤγουν τὴν σάρκα μεταχωρῆσαι πρὸς λόγον id.*Jo.*4.2(4. 363B); id.*ep.*4(p.26.25; 5².23B); μίαν φύσιν τοῦ θεοῦ λόγου σεσαρκωμένην...κατὰ Εὐτυχέα, ὡς αὐτοῦ τοῦ λόγου εἰς σάρκα ~ηθέντος ἐκδέχεσθαι Leont.H.*monoph.*(M.86.1853C); **ii.** of Christ's human body τὸ σῶμα τῇ ἐνοικήσει τοῦ θεοῦ λόγου πρὸς τὴν θεϊκὴν ἀξίαν μετεποιήθη Gr.Nyss.*or.catech.*37(p.149.2; M.45.96D); ἡ δεξαμένη τὸν κύριον σὰρξ Χριστὸς καὶ κύριος γίνεται, ὃ μὴ ἦν τῇ φύσει εἰς τοῦτο ~ομένη διὰ τῆς ἀνακράσεως id.*Eun.*6(2 p.144.13; M.45.729C); ἡ σὰρξ οὐχ ἡ αὐτὴ τῇ θεότητι, πρὶν ~ηθῆναι καὶ ταύτην πρὸς τὴν θεότητα *ib.*5(2 p.123. 10; 705A); cf. τῆς παρθένου ἐν τοῖς ἰδιώμασιν τῆς φύσεως μεινάσης ...τῶν παρθενικῶν αἱμάτων...~ηθέντων ἄφθαρτον γεγενῆσθαι σάρκα Leont.B.*Nest.et Eut.*2(M.86.1325D); **iii.** of Christ after Resurrection μετεποιήθη ἀπὸ θνητοῦ εἰς ἀθάνατον...γέγονε...τὸ σαρκικὸν πνευματικόν, τὸ παθητὸν ἀπαθές Anast.S.*hod.*13(M.89.212C); Anast.Ant. *serm.*1.2(M.89.1365A); **5.** *make instead* ἐξ ὕδατος οἶνον μ. *Const.App.* 5.7.28; in reputed teaching of Apoll. ὅτι οὐκ ἐκ Μαρίας, ἀλλ' ἐκ τῆς ἑαυτοῦ οὐσίας μετεποίησεν ἑαυτῷ σῶμα παθητὸν ὁ λόγος Ath.*ep. Epict.*2(p.5.2; M.26.1053A); εἰ μὲν γὰρ ἐξ ἑαυτοῦ ~ήσας σάρκα ὁ λόγος μέχρι πάθους κεχώρηκε, μηδὲν παθητικὸν ἢ ἀνάστασιν ἐπιδεχόμενον ἐν ἑαυτῷ προσλαβόμενος, αὐτὸς ἂν εἴη ὁ παθὼν καὶ ἀναστὰς ἐκ νεκρῶν ‡Ath.*Apoll.*2.12(M.26.1152B).

B. med. and pass.; **1.** c. genit., *lay claim to* ὡς οἰκείων ἀλλ' οὐκ ἀλλοτρίων αὐτῶν [sc. τῶν προφητικῶν Ἰουδαίων γραφῶν] ~ούμεθα Eus.*d.e.*3 proem.(p.94.7; M.22.164A); τὴν Ἀντιοχέων ἐκκλησίαν ὡς οἰκείου ἀγαθοῦ ~ηθῆναι αὐτοῦ id.*Marcell.*1.4(p.18.5; M.24.752A); Gr. Nyss.*or.catech.*20(p.79.18; M.45.57A); τῆς θείας μ. χάριτος Max.*ambig.* (M.91.1144A); id.*ep.*44(M.91.645B); **2.** c. genit., *seek after* κεκύλικάς τινας αὐτῶν τῆς ἐκκλησίας ~ουμένους Const.ap.Ath.*apol.sec.*59(p.140. 9; M.25.357B); τὴν κατὰ λόγον μετάνοιαν ἐπιδεδειγμένοι, καὶ τῆς κοινωνίας ~οῦνται Mac.Aeg.*carit.*28(M.34.929D); Cyr.*Is.*3.4(2.494A); **3.** c. genit. or acc., *strive for* προσκαίρου τροφῆς...~ούμενος, τῶν δὲ ἀεὶ παραμόνων οὐκ ἐπιστρεφόμενος; *Const.App.*2.60.1; Ἀβραὰμ

~ουμένου τὴν ὁδὸν τῆς ἀληθείας *ib.*7.33.4; μ. προθύμως τῆς οὐκ ἀθαυμάστου ζωῆς Cyr.*Ps.*36 proem.(M.69.924B); id.*Is.*3.2(2.403C); Sophr.H.*mir.Cyr.et Jo.*16(M.87.3472C); Max.*ambig.*(M.91.1365B); *apply oneself to* εἰσῴχοντο μὲν εἰς τὸν οἶκον τοῦ θεοῦ καὶ μετεποιοῦντο τῶν ἔργων Cyr.*Ag.*11(3.638D); **4.** *support, make common cause with* καταισχύνειν τοὺς Θεοδώρου ~ουμένους Justn.*conf.anath.* (p.104.36; M.86.1029B).

μεταποίησις, ἡ, 1. *changing, alteration* διαφορὰ χειρὸς ἀξία θεοῦ ἢ ἀπὸ κακίας εἰς ἀρετὴν μ. Or.*fr.*9 *in Jer.*(p.201.17; M.13.556D); ἡ πρὸς τὸ μέλαν τῆς εὐχροίας μ. Gr.Nyss.*hom.*2 *in Cant.*(M.44.796A); Soz.*h.e.*3.5.2(M.67.1041A); Christol. κύριος καὶ Χριστὸς πεποιῆσθαι λέγεται...διὰ τὴν πρὸς τὸ θεῖον τοῦ ἀνθρωπίνου μεταβολήν τε καὶ μ. ποίησιν γὰρ ὁ ἀπόστολος λέγει τὴν μ. Gr.Nyss.*Eun.*3(2 p.134.2; M.45.717C); this idea rejected εἰ δὲ ὅλως γίνεται θεότης ἐκ μ. ἡ μὴ οὖσα θεότης, τί τοίνυν μέμφεσθε Ἀρειανοῖς; ‡Ath.*Apoll.*1.10(M.26.1109B); ref. Heb.4:15 οὐ τῆς θεότητος μ. ἐπιδειξάμενος ἀλλὰ τῆς ἀνθρωπότητος καινοποίησιν ἐργασάμενος *ib.*2.5(1140B); of elements in eucharist, Ambr.*fr.*ap.Thdt.*eran.*2(4.145) cit. s. διαστίζω; **2.** *reformation, renewal*; **a.** moral and spiritual, at baptism τὸ φώτισμα...δεσμῶν ἔκλυσις, συνθέσεως μ. Gr.Naz.*or.*40.3(M.36.361B); ἡ διὰ τῆς ἀναγεννήσεως γινομένη τῆς ζωῆς ἡμῶν μ. οὐκ ἂν εἴη μ. εἰ ἐν ᾧ ἐσμεν διαμένοιμεν Gr.Nyss.*or.catech.*40(p.159.12; M.45.101B); gen., Proc.G. *Dt.*32:6(M.87.956D); τιμιωτέρα...τῆς φυσικῆς ἀφθαρσίας ἡ ἐν χάριτι πρὸς τὸν θεὸν κατὰ τὴν θέωσιν μ. Max.*ambig.*(M.91.1176A); not possible at day of judgement, Gr.Naz.*or.*16.9(M.35.945B); **b.** of all things, Bas.*hex.*1.3(1.4C; M.29.9B); τὸν τελευταῖον σεισμὸν...τὴν δευτέραν τοῦ Χριστοῦ παρουσίαν καὶ τὴν τοῦδε τοῦ παντὸς μ. καὶ μετάθεσιν εἰς τὸ ἀκίνητον καὶ ἀσάλευτον Gr.Naz.*or.*21.25(M.35.1109D); ἄλογον τὸ πιστεύειν μὲν θεῷ ἐπὶ τῇ ποιήσει τῶν πάντη οὐκ ὄντων, ἀπιστεῖν δὲ αὐτῷ ἐπὶ τῇ μ. τῶν φθαρέντων ‡Just.*qu.Gr.*15.29(M.6.1485C); ἡ τῶν ὅλων μεταστοιχείωσις καὶ ἐκ φθορᾶς εἰς ἀφθαρσίαν μ. †Proc.G.*Procl.*(M.87.2792^{1}D); ἐλεύσεται ἐπὶ μ. τε καὶ μεταστοιχειώσει τοῦ παντὸς καὶ σωτηρίᾳ τῶν ἡμετέρων ψυχῶν τε καὶ σωμάτων Max. *ambig.*(M.91.1332D); **c.** ὀγδόη ἐστὶν ἡ πρὸς τὴν ἀρχὴν καὶ αἰτίαν τῶν πρακτικῶς πεποιημένων καὶ τῶν θεωρητικῶς ἐγνωσμένων κατὰ τὴν χάριν ἀληθὴς μ. *ib.*(1393A); **3.** *claiming, claiming a share* τῆς τῶν Ἑβραϊκῶν λόγων μ. Eus.*p.e.*7.1(298D; M.21.508C).

***μεταποιητής, ὁ,** *he who refashions*; of Son, Gr.Naz.*or.*30.15(p.132. 1; M.36.124A).

***μεταποιητικός,** *able to refashion*, ‡Just.*qu.Gr.*15.18(M.6.1484B).

***μεταποι-όω,** *change the quality of, make of a different quality* θείας ἐστὶ φύσεως...ποιῶσαι καὶ μ. Leont.H.*monoph.*6(M.86.1773A); pass., *be endowed with a different quality* 'τεκνία' μετὰ τὴν τοῦ σωτῆρος ἀνάστασιν, ὡσπερεὶ ~ωθέντες ἀπὸ τῆς ἀναστάσεως Ἰησοῦ, γίνονται τοῦ πρότερον εἰπόντος 'τεκνία' ἀδελφοί Or.*Jo.*32.30(19; p.476. 20; μεταποιηθέντος M.14.824A).

***μεταπορθμεύω,** *ferry across*, Hegem.*Arch.*8(p.13.5; M.10.1440B).

μετάπρασις, ἡ, *resale, retail trading*, Meth.*symp.*5.4(p.57.23; M. 18.104A); ref. Mt.13:44, Ephr.2.272C.

μεταπρέπω, = *πρέπω, befit*, †Apoll.*met.Ps.*64:2(M.33.1400C).

***μεταπρόσταξις, ἡ,** *permission* μοναχὸς ὁ μὴ εὑρεθὼν [s.v.l.] εἰς τὴν ἀρχὴν τοῦ δόξα ἐν ὑψίστοις...χωρὶς ἀσθενείας...ἢ μ. τοῦ ἡγουμένου †Pach.*poem.*(p.64).

μετάπτωσις, ἡ, 1. *change*, Christol. οὐ τῆς οὐσίας αὐτοῦ μ. εἰς σάρκα *cat.Jo.*1:14(p.186.35) for οὐδὲ γὰρ ἡ οὐσία μετέπεσεν Chrys. *hom.11.1 in Jo.*(8.63E); of change in Christ's natures through confusion postulated by monophysites, ‡Hipp.*Ber.Hel.*5(p.324.26; M. 10.837A); of moral reformation τινὲς αἱρετικοὶ...λέγουσιν...ὅτι...ὧδε ἔχει [sc. ἡ ψυχικὴ φύσις] μ. ὅπερ καλεῖται ἔγερσις Didym.ap.*cat.Ac.* 24:14(p.378.14); πᾶσαν μ. προαιρετικῇ ῥοπῇ γίνεσθαι *ib.*(p.378.27); **2.** moral *lapse, fall* ἐξ ἰδίας αἰτίας τῶν μὴ προσεχόντων ἑαυτοῖς ἀγρύπνως γίνονται τάχιον ἢ βράδιον μ. καὶ ἐπὶ πλεῖον ἢ ἐπὶ ἔλαττον Or.*princ.*1.6.2(p.81.1; M.11.166C); ἡ ἀπὸ τοῦ πλοίου εἰς τὴν θάλασσαν ἔκριψις τοῦ Ἰωνᾶ γεγενημένη τὴν ἀπὸ τοῦ ζῆν εἰς τὸ τελευτῆσαι τοῦ πρωτοπλάστου δηλοῖ μ. Meth.*res.*2.25(p.381.16; M.18.329A); πρὸς νόσον μ. Chrys.*hom.42.4 in Ac.*(9.324A); of '*lapse*' into human condition of Christ's heavenly flesh (Apollinarian) σάρκα ἄκτιστον λέγειν, ὥστε ἢ τὴν θεότητα τοῦ λόγου εἰς μ. σαρκὸς φαντάζεσθαι, ἢ τὴν οἰκονομίαν τοῦ πάθους...καὶ τῆς ἀναστάσεως, ὡς δόκησιν νομίζειν ‡Ath.*Apoll.*1.3(M.26.1097A).

μεταπτωτικός, 1. *liable to change*; neut. as subst., *mutability*, Max.*ambig.*(M.91.1416A); **2.** pass., *that can be changed, removable* ἡ ἄγνοια φαντασία ἐστὶ μ. ὑπὸ λόγου Clem.*str.*2.17(p.152.31; M.8.1013C).

μεταπτωτός, *liable to change*, Or.*comm.in Mt.*13.29(p.260.30; M. 13.1172C) cit. s. δίκαιος; ἀμετάπτωτον ἔχει τὴν υἱότητα ὁ μονογενής...τὴν δὲ τῶν λογικῶν υἱοθεσίαν οὐ κατὰ φύσιν αὐτοῖς ὑπάρχουσαν ἀλλὰ... μ. οἷδεν ὁ λόγος Alex.Al.*ep.Alex.*8(p.25.4; M.18.560C); μ. [sc. οἱ ἄρχοντες τούτου τοῦ αἰῶνος] ἔχουσι τὴν ἀρχήν Eus.*Ps.*145:3(M.24. 64B); ref. deity of H. Ghost ὁ γὰρ χάριτι θεοποιούμενος τῆς μ. ἐστὶ φύσεως Bas.*Eun.*3.5(1.276E; M.29.665C); denied of Son and H. Ghost, Gr.Nyss.*Eun.*1(1 p.104.11; M.45.337B).

***μεταπύρωσις, ἡ,** *rekindling*, met. καρδίας μ. Ephr.3.320B.

μεταπωλέω, *resell*, *T.Jos.*13.1(vv.ll. ἀπεμπολῶν, μετεμπολῶν, μετεμπωλῶν); Bas.*ep.*53.2(3.147E; M.32.400A).

***μεταρρέπω,** *move to and fro*, Bas.*Eun.*3.2(1.274C; M.29.660C).

μεταρριπίζομαι, *be blown to and fro*; met., of opinions, Gr.Nyss. *Eun.*1(1 p.117.3; M.45.352B).

***μεταρροή, ἡ,** *stream*; of inspiration, Gr.Naz.*carm.*1.2.10.60(M. 37.685A).

μεταρρυθμίζ-ω, 1. *change the form* or *fashion of* a thing; *transform*; eucharistic τοῦτο τὸ ῥῆμα [i.e. Mt.26:26] τὰ προκείμενα ~ει Chrys.*prod.Jud.*2.6(2.394B); in day of judgement πάντα ~όμενα id.*hom.76.3 in Mt.*(7.736A); at Pentecost τὴν μίαν ἑκάστου φωνὴν πρὸς τὰς ἁπάντων ἐθνῶν αἰσθήσεις ~ούσης τῆς χάριτος Bas.Sel.*or.*37.1 (M.85.389B); *translate* τὸν εἰς τὴν Ῥωμαίων τοὺς σοὺς πόνους ~οντα γλῶτταν Const.ap.Eus.*v.C.*4.35(p.131.9; M.20.1184B); **2.** *reform, amend*; *break in* a horse, Thdt.*provid.*5(4.556).

C. of divine law; **1.** in gen., of God's moral law, *T.Gad* 3.1; *T.Neph.*2.6; *κατά τινα θεῖον ν. καὶ λόγον* Athenag.*leg.*31.1(M.6.961B); Clem.*str.*7.2(p.8.29; M.9.413B); *παντὸς μὲν ἁγίου ὑπὸ θεοῦ βασιλευομένου καὶ τοῖς πνευματικοῖς ν. τοῦ θεοῦ πειθομένου* Or.*or.*25.1(p.357.4; M.11.496C); id.*Jo.*2.16(10; p.73.1; M.14.141C); *ἐπαναπαύεσθαι τοῖς σοῖς ἁγίοις ν.* Const.ap.Eus.*v.C.*2.56(p.64.11; M.20.1032A); Thdt.*ep.* 7(4.1066); *ὁ δὲ ν. τοῦ θεοῦ θέλημα αὐτοῦ ἐστιν* Jo.D.*Man.*1.43(M.94. 1545D); **2.** its three divisions *τρεῖς ν., τόν τε φυσικὸν καὶ τὸν Μωσαϊκὸν καὶ τὸν εὐαγγελικόν* †Cyr.*coll.VT*(6⁴.52D; M.77.1253B); *τῶν θείων ν. εἴδη τρία παρὰ...Παύλου· τὸν μὲν γὰρ δίχα γραμμάτων...διὰ τῆς κτίσεως καὶ τῆς φύσεως τοῖς ἀνθρώποις δεδόσθαι...τὸν δὲ διὰ... Μωσέως ἐν γράμμασι...καὶ τρίτον...τὸν τῆς χάριτος* Thdt.*Ps.*18:1(1. 716); two divisions *δύο ν., τόν τε φυσικὸν καὶ τὸν γραπτόν, καὶ μηδέτερον θατέρου ἔχοντα πλέον ἢ ἔλαττον* Max.*ambig.*(M.91.1128C); numerous divisions, viz. Mosaic Law; other parts of OT; and *ἡ μυστικωτέρα καὶ θειοτέρα τοῦ ν. ἐκδοχή, ὡς ἐν τῷ 'οἴδαμεν γὰρ ὅτι ὁ ν. πνευματικός ἐστι'. ... ν. ὁ κατὰ τὰς κοινὰς ἐννοίας ἐνεσπαρμένος τῇ ψυχῇ καὶ...ἐγγεγραμμένος τῇ καρδίᾳ λόγος, προστακτικὸς μὲν ὧν ποιητέον, ἀπαγορευτικὸς δὲ ὧν οὐ ποιητέον* Or.*comm.in Rom.*7:7(*JTS* 14 p.11); **3.** of natural law, Athenag.*leg.*3.1(M.6.896C); *ἐποίησεν ἄνθρωπον ἐκ ψυχῆς ἀθανάτου καὶ σώματος νοῦν τε συγκατεσκεύασεν αὐτῷ καὶ ν. ἔμφυτον ἐπὶ σωτηρίᾳ καὶ φυλακῇ τῶν παρ' αὐτοῦ διδομένων* id.*res.* 13(p.63.19; M.6.1000B); Clem.*paed.*3.3(p.249.27; M.8.585B); *ἐκ θεοῦ ὅ τε τῆς φύσεως ὅ τε τῆς μαθήσεως ν., εἷς ὤν* id.*str.*1.29(p.111.19; M.8.929A); *ib.*3.11(p.228.29; 1173B); *ὁ γὰρ γραπτὸς ἐν ταῖς καρδίαις ν. καὶ ἐν ἐθνικοῖς φύσει τὰ τοῦ ν. ποιοῦσιν οὐκ ἄλλος ἐστὶ τοῦ κατὰ τὰς κοινὰς ἐννοίας φύσει ἐγγεγραμμένου τῷ ἡγεμονικῷ ἡμῶν, καὶ τρανωτέρου μετὰ τῆς συμπληρώσεως τοῦ λόγου ὁσημέραι γινομένου. τοῦτο τὸ σημαινόμενον ἦν τοῦ ν. καὶ ἐν τῷ 'ἁμαρτία οὐκ ἐλλογεῖται μὴ ὄντος ν.' ... πρὸ γὰρ τοῦ κατὰ Μωσέα ν. ἐλελόγηται ἁμαρτία...πολλοί τε ἔγνωσαν τὴν ἁμαρτίαν καὶ πρὸ τοῦ Μωσέως ν.* Or.*comm.in Rom.*7:7(*JTS* 14 p.12); contrasted with written civil law, id.*Cels.*5.37(p.40.21; M.11. 1237B); *ἡ ἀνομία δὲ τῆς 'Ιερουσαλὴμ ὑπὲρ τὴν Σοδόμων ἐμεγαλύνθη· οἱ μὲν τὸν φυσικὸν ν. ἔχον μόνον, οἱ δὲ καὶ γραπτὸν καὶ προφήτας* id.*fr. 101 in Lam.*(p.271.16; M.13.562D); *διοσὰ γὰρ ἐν ἡμῖν λογισμῶν γένη, τὸ μὲν ἀπὸ τῆς ἐπιθυμίας...ἥτις ἐξ ἐπιπνοίας...ἐγενήθη τοῦ ὑλικοῦ πνεύματος, τὸ δὲ ἀπὸ τοῦ ν. κατὰ τὴν ἐντολήν, ὃν ἔμφυτον ἐλάβομεν ἔχειν καὶ φυσικὸν ν., πρὸς τὸ καλὸν ἐξεγείροντα...τὸν λογισμόν* Meth. *res.*2.6(p.340.8; M.18.304C); *τρεῖς γὰρ ν. ὑποτιθέμενος...ὁ Παῦλος... ἕνα μὲν κατὰ τὸ ἔμφυτον ἐν ἡμῖν ἀγαθόν, ὃν καὶ ν. σαφῶς νοὸς ἐκάλεσεν ib.*2.7(p.341.1; 304D); *ἁπάσῃ ψυχῇ φυσικὸν ν. βοηθὸν αὐτῇ καὶ σύμμαχον ἐπὶ τῶν πρακτέων ὁ τῶν ὅλων δημιουργὸς ὑπεστήσατο* Eus.*p.e.* 6.6(250B; M.21.425A); *δικαιωθέντων ἐν τῷ φυσικῷ ν.* ‡Ath.*Apoll.*2.9 (M.26.1148B); *δοὺς* [sc. *θεός*] *ἐπὶ πᾶσι ν. προφήτας, καὶ πρὸ τούτων τὸν φυσικὸν ν. ἄγραφον, τῶν πραττομένων ἐξεταστήν* Gr.Naz.*or.*14.27(M. 35.893A); *Ἄβελ καὶ Νῶε...φυσικῷ ν. κινηθέντας ἀφ' ἑαυτῶν προενέγκαι θυσίαν θεῷ Const.App.*6.20.4; *τόν τε γὰρ φυσικὸν ν. οὐκ ἀνεῖλεν, ἀλλ' ἐβεβαίωσεν ib.*6.23.1; *ib.*7.26.3; *ἐξ ἀρχῆς πλάττων ὁ θεὸς τὸν ἄνθρωπον, ν. αὐτῷ φυσικὸν ἐγκατέθηκε. καὶ τί ποτέ ἐστι ν. φυσικός; τὸ συνειδὸς ἡμῖν διήρθρωσε, καὶ αὐτοδίδακτον ἐποίησε τὴν γνῶσιν τῶν καλῶν καὶ τῶν οὐ τοιούτων* Chrys.*stat.*12.3(2.127E); *αὐτοδίδακτον εἶχον ν. ib.*12.4(130A); *διδάσκαλον αὐτῷ τὸν ἔμφυτον ἐναπέθετο ν., ὥσπερ πλοίῳ κυβερνήτην καὶ ἡνίοχον ἵππῳ* id.*scand.*8(3.482C); id. *hom.12.6 in Rom.*(9.550E); dist. from *γραπτὸς ν.*, Isid.Pel.*epp.*4.9 (M.78.1057A); *τῇ φύσει τοὺς ἀναγκαίους τέθεικε νόμους ὁ ποιητής. οὕτω τὸν Κάϊν κατέκρινεν, ἐπειδήπερ αὐτὸν ἡ φύσις ἐδίδασκεν, ὡς ὁ φόνος παράνομος* Thdt.*qu.57 in Gen.*(1.68); *ὁ δὲ ν. ὁ ἐν ἡμῖν τῆς ἐμφύτου θεογνωσίας, ἐκάλει τοὺς ἄνδρας πρὸς τὸ δεῖν ἀνάπτειν τὰ χαριστήρια τῷ...δοτῆρι θεῷ* Proc.G.*Gen.*4:2(M.87.236A); ‡Jo.D. *Artem.*45(p.16.34; M.96.1293B); **4.** of laws of nature **εὐφημοῦμεν** οὖν *Ἥλιον ὡς καλὸν θεοῦ δημιούργημα καὶ τοὺς ν. φυλάσσον τοῦ θεοῦ* Or. *Cels.*8.66(p.282.21; M.11.1616C); Gr.Naz.*or.*28.6(p.29.5; M.36.32C); *ταῦτα τῷ ν. τῆς φύσεως ὑποτεταγμένα καρποῖς διετρέφετο* ‡Gr.Nyss. *or.2 in Gen.1:26*(M.44.284B); ref. Inc. *Κύριλλος εἰρηκώς,...ἐφιέναι αὐτὸν τῇ ἰδίᾳ σαρκί, διὰ τῶν τῆς ἰδίας φύσεως ἰέναι ν.* †Leont.B.*sect.*10 (M.86.1260D); *ib.*(1260C); *τὴν τοῦ κυρίου νόει μοι σάρκα τῶν τῆς φύσεως ν., καὶ μετὰ τὴν...ἕνωσιν, ἀλωβήτων αὐτῆς συντηρηθέντων ib.* (1333D); ref. Virgin Birth *νόμοι γὰρ φύσεως καταλύονται ῥᾷστα τῷ νομοθέτῃ ἐν καιρῷ* Leont.H.*Nest.*1.10(M.86.1444A); *οὐ θεοφιλὴς ἡ ἀπόφασις, θεὸν ποιεῖν τῶν οἰκείων ν. ὑπόδουλον, θεὸν δουλεύειν τοῖς τῶν δούλων ἐθέλειν ἐθίσμασι* Sophr.H.*or.*2.35(M.87.3264C); **5.** of law given to Adam, Meth.*res.*1.58(p.320.15; M.41.1153D); *Hom.Clem.* 8.10; *ἠσφαλίσατο ν. καὶ τόπῳ τὴν δοθεῖσαν αὐτοῖς χάριν* Ath.*inc.*3.4 (M.25.101C); *ὁ πλάσας...τὸν ἄνθρωπον, ἐλεύθερον ἀφῆκε καὶ αὐτεξούσιον, ν. τῷ τῆς ἐντολῆς μόνῳ κρατούμενον* Gr.Naz.*or.*14.25(M.35. 892A); *μὴ διὰ φωνῆς...δέδωκε τῷ Ἀδὰμ τὴν ἐντολὴν ὁ θεός, ἀλλ' ὥστε ἐντυπῶσαι μὲν αὐτῷ κατὰ τὴν οἰκείαν ἐνέργειαν τήν τε γνῶσιν τοῦ ν. καὶ τὴν ἀκοήν* Diod.*Gen.*2:7(M.33.1567C); ref. Rom.7:12 *τινὲς...οὐ περὶ τοῦ ν. Μωϋσέως αὐτόν φασι λέγειν...ἀλλ' οἱ μὲν περὶ τοῦ φυσικοῦ, οἱ δὲ περὶ τῆς ἐντολῆς τῆς ἐν τῷ παραδείσῳ δοθείσης...τὴν δὲ ἐντολὴν τὴν ἐν τῷ παραδείσῳ οὐδὲ ν. φαίνεταί ποτε καλέσας, οὔτε αὐτὸς οὔτε ἄλλος οὐδείς* Chrys.*hom.12.6 in Rom.*(9.550E); Thdt.*haer.*5.17(4.440); **6.** of Gen.2:24 as *ν. γάμου, id.qu.7 in 2Reg.*(1.406); id.*Cant.*2:4–5(2.57); **7.** of laws given to Adam, Noah, Abraham, Moses, as continuous series completed by Christ's teaching, id.*haer.*5.17(4.440); **8.** of Mosaic Law; **a.** known also as *Μωσῆς* q.v.; **b.** its scope; **i.** Pentateuch, opp. 'prophets', *T.Lev.*16.2; Ign.*Smyrn.*5.1; ‡*Diogn.*11.6; Clem.*paed.*3.12(p.284.16; M.8.665C); id.*str.*3.10(p.228.3; M.8.1172B); exeg. Cant.2:9 *λέγοις δ' ἂν καὶ ὄρη τὰ ἐν ν. νοήματα, βουνοὺς δὲ τὰ τῶν λοιπῶν προφητῶν* Or.*Cant.*3(p.201.27; M.13.167D); id.*hom.5.13 in Jer.*(p.42.10; M.13.313A); *εἰς τὰς αὐτὰς σκηνὰς ἀνάγουσι ν. καὶ προφήτας καὶ εὐαγγέλιον, τρεῖς μὲν ἀριθμούμεναι, πρὸς ἓν δὲ τέλος ὁρῶσαι* id.*fr.24 in Lc.*9:33(p.246); Cyr.H.*catech.*4.35; Gr.Nyss.*Eun.* 5(2 p.101.15; M.45.680A); *Const.App.*2.5.4; *ib.*2.25.3; *μετὰ τὴν ἀνάγνωσιν τοῦ ν. καὶ τῶν προφητῶν καὶ τοῦ εὐαγγελίου ib.*2.39.6; **ii.** esp. decalogue, dist. from *δευτέρωσις, ib.*2.5.6; *ib.*6.20.1; *δέδωκεν ν. εἰς βοήθειαν τοῦ φυσικοῦ, καθαρόν, σωτήριον, ἅγιον...δέκα λογίων πλήρη ib.*6.19.2; dist. from law of circumcision, Chrys.*hom.49.3 in Jo.*(8. 292A); **iii.** including whole OT, Thphl.Ant.*Autol.*1.11(M.6.1041B); *προφήτας, ὧν τὰ ῥήματα...ν. λέγεται* Or.*Jo.*19.3(p.301.19; M.14. 529B); incl. Pss., id.*comm.in Rom.*7:7(*JTS* 14 p.11); *Const.App.*1. 6.3; **iv.** including all Jewish *λατρεία* and *πολιτεία,* ‡Just.*qu.et resp.* 92(M.6.1333B); **v.** *ἐντολαὶ αἱ κατὰ νόμον* dist. from *αἱ πρὸ τοῦ ν.,*

Clem.*str.*7.2(p.8.29; M.9.413B); and from *ἐντολὴ ἡ ἐν τῷ παραδείσῳ*, Chrys.*hom.12.6 in Rom.*(9.550E); **c.** division of Law; **i.** into historical, moral, and ceremonial; historical Law, Or.*comm.in Rom.* 7:7(p.11); moral law, including *τὰ φύσει καλὰ καὶ εὐσεβῆ καὶ δίκαια*, observed by patriarchs, dist. from later ceremonial Law, Just.*dial.* 45.3ff.(M.6.572Cff.); moral law of decalogue dist. from laws given on account of sin after making of golden calf, cf.Iren.*haer.*4.15.1(M. 6.1012B); latter not to be observed by Christians, *Const.App.*1.6.9; *ib.*6.20.1; Thdt.*Gal.*2:15–16(3.370); **ii.** literal and spiritual, v. infra i and j; **iii.** Law consists in *μαρτυρία...ὡς τοὺς ἁμαρτάνοντας διαμαρτυρόμενος καὶ...τὴν τιμωρίαν ὑποδεικνύς· δικαιώματα δέ, ὡς διδάσκων τὸ δίκαιον...· ἐντολὴ δέ, ὡς τὸ πρακτέον ἐντελλόμενος* Thdt. *Ps.*18:8–11(1.721); **d.** given by Logos through (not by) Moses, Clem.*paed.*1.7(p.125.19; M.8.321C); through Moses by God, Eus. *e.th.*2.14(p.116.5; M.24.929B); through mediation of Moses as type of Christ, Bas.*Spir.*33(3.27C; M.32.125B); through angels, Or.*hom. 13.1 in Jer.*(p.102.27; M.13.400C); id.*Jo.*13.50(49; p.277.30; M.14. 489B); *ἀγγέλους...καὶ τὸν θεόν· ὧν μέσον ὄντα τὸν υἱὸν τοῦ θεοῦ τὸν ν. χειρὶ μὲν ἰδίᾳ εἰληφέναι φησὶν παρὰ τοῦ πατρός, δι' ἀγγέλων δὲ τῷ πρώτῳ διατεταχέναι λαῷ· ἦν ἄρα...ὁ υἱὸς μεσίτης θεοῦ τε καὶ ἀγγέλων, πρὶν ἢ γενέσθαι μεσίτης θεοῦ καὶ ἀνθρώπων* Eus.*Marcell.*1.1(p.7.29; M.24.725B); **e.** transmitted orally by Moses to 70, to be administered by them in succession; written down by someone other than Moses after latter's death, and found in Temple 500 years later, *Hom.Clem.*3.47; cf.*ib.*2.38; **f.** divine, *A.(Pass.)Petr.et Paul.*39(p.152. 13); Or.*ep.*2.3(p.66.5; M.11.89C); *Hom.Clem.*2.52; **g.** prior in time to Greek philosophy and to poets, cf.Tat.*orat.*40(p.41.12; M.6.884C); cf.Thphl.Ant.*Autol.*3.17ff.(M.6.1144Cff.); cf.Or.*Cels.*4.11(p.281.25; M.11.1040D); *ὅτι δὲ παλαιὸς καὶ πρῶτος ὁ Μωϋσέως ν., καὶ ἐκ τῆς Διοδώρου καὶ τῶν λοιπῶν ἱστοριῶν ἱκανῶς ἡμῖν ἐν τοῖς προάγουσιν ἀποδέδεικται* ‡Just.*coh.Gr.*26(M.6.288B); source of Plato's philosophy, Clem.*str.*1.25(p.103.14; M.8.912B); and Pythagoras', *ib.*2.18 (p.162.14; 1032B); **h.** its purpose; **i.** morality, Clem.*str.*3.6(p.217. 11; 1149A); ‡Gr.Nyss.*or.2 in Gen.1:26*(M.44.288A); through fear, Clem.*str.*2.7(p.130.21; 968C); *ib.*2.18(p.157.6; 1021C); *ib.*2.20(p.178. 11; 1065A); *οὔκουν πάθος ὁ φόβος οὐ γεννητικὸς ὁ ν. ὥστε ὁ ν. ἅγιος καὶ τῷ ὄντι πνευματικός ἐστι κατὰ τὸν ἀπόστολον ib.*4.3(p.253.6; 1224B); **ii.** to dist. Israel from gentiles, Chrys.*dimiss.Chan.*7(3. 438E); ref. Eph.2:14–15 *τινὲς μέν φασιν ὅτι...μεσότοιχον τῶν Ἰουδαίων πρὸς τοὺς Ἕλληνας, ὅτι οὐκ ἀφίησιν αὐτοὺς ἀναμίγνυσθαι. ἐμοὶ δὲ οὐ τοῦτο δοκεῖ· ἀλλὰ...τὸ μεσότοιχον τοῦτο κοινὸν εἶναι, τὴν ἔχθραν ἐν τῇ σαρκί. ... φραγμὸς ὁ ν. ἦν, ἀλλ' οὗτος ἐγένετο μὲν ἀσφαλείας ἕνεκεν* id. *hom.5.2 in Eph.*(11.34C,D); **iii.** as temporary dispensation, ending with Jo. Bapt. and fulfilled in advent of Christ, Iren.*haer.*4.4.2(M. 7.982A); cf.*ib.*4.15.2(1013B); cf.Or.*hom.10.1 in Lev.*(p.441.4; M.12. 525B); Jo.Philop.*pasch.*(p.209.26); **iv.** as pedagogue to bring men to Christ *ὁ γὰρ ν. παιδαγωγία παίδων ἐστὶ δυσηνίων...διὰ τοῦτο αὐτοῖς καὶ ὁ ν. καὶ ὁ φόβος εἵπετο εἰς ἀνακοπὴν ἁμαρτημάτων καὶ προτροπὴν κατορθωμάτων, καταρτίζων εὐηκοΐαν αὐτοῖς τοῦ ἀληθοῦς παιδαγωγοῦ, τὴν εὐπείθειαν* Clem.*paed.*1.11(p.147.19; M.8.365B); id.*str.*1.26(p.104. 13ff.; M.8.916A); *ib.*7.14(p.61.29; M.9.520C); its significance being revealed by Christ's advent, Or.*princ.*4.1.6(p.301.14; M.11.352B); when Law ceased, cf.id.*hom.14.2 in Ezech.*(p.452.33; M.13.766D); *ἐκ τοῦ παρ' ἐκείνοις ν. ... ἡ ἐξ ἡμῶν εἰς εὐσέβειαν ὑπῆρξε προαγωγή* id.*Cant.*2(p.169.27; M.13.141D); Eus.*d.e.*1.6(p.27.22; M.22.56B); id. *e.th.*2.14(p.117.11; M.24.932B); Cyr.*ador.*1(1.5A); *ib.*6(173C); id.*Is.*1.1 (2.20B); *ὅσιος δὲ λόγος ὁ ν. ἦν, ὅτι καὶ θεοῦ, καὶ...παιδαγωγὸς εἰς εὐσέβειαν* id.*Am.*47(3.301D); **v.** prophetic and typical, cf.Just.*dial.* 42.4(M.6.565C); cf.Mel.*pass.*3 p.1.9; cf. *lex...erat...prophetia futurorum*, Iren.*haer.*4.15.1(M.7.1012B); *ν. καθ' ὃν ὑποδείγματι καὶ σκιᾷ ἐλάτρευον τῶν ἐπουρανίων οἱ Ἰουδαίων ἱερεῖς, ἐν ἀπορρήτῳ διηγούμενοι τὸ τοῦ ν. περὶ τῶν θυσιῶν βούλημα καὶ ὧν σύμβολα ἦσαν αὗται* Or.*Cels.*5.44(p.47.24; M.11.1249B); *τυπικῶς ἐποίουν τὰ προσταττόμενα ὑπὸ τοῦ ν. ib.*6.70(p.140.21; 1405A); cf. *Christum autem tamquam verbum dei non solum in evangeliis loqui, sed et in lege certum est...verum in lege incipientes, in evangeliis perfectos docet*, id.*hom. 14.1 in Gen.*(p.122.21; M.12.237A); cf.id.*hom.10.1 in Lev.*(p.441.12; M.12.525C); id.*hom.7.1 in Jer.*(p.52.12; M.13.329C); id.*Jo.*1.6(8; p.11. 11; M.14.36A); *τυπικῶς...καὶ αἰνιγματώδως ἀναφερόμενα εἰς τὸν Χριστὸν τῶν ἀναγεγραμμένων ἐν τῷ ν. πλεῖστα ὅσα ἔστιν εὑρεῖν ib.*13. 26(p.251.7; 445A); *ὁ ν. ἐστὶ...πνευματικός, τὰς εἰκόνας ἐμπεριέχων τῶν μελλόντων ἀγαθῶν* Meth.*symp.*5.7(p.61.21; M.18.109B); Gr.Naz.*or.*6.4 (M.35.728A); *τύπος γὰρ ὁ ν. καὶ σκιά, καὶ τῆς εὐσεβείας ἡ μόρφωσις ὡς ἐν ᾠδίσιν ἔτι, καὶ κεκρυμμένον ἐν ἑαυτῇ τὸ τῆς ἀληθείας ἔχουσα κάλλος* Cyr.*ador.*1(1.3E); hence Law not abolished but completed by Christ, *ib.*(5C); id.*Is.*1.1(2.20B); *ἔργα λέγει τοῦ ν. τούτων δὲ ἡ μὲν παράβασις ἁμαρτία, ἡ δὲ φυλακὴ οὐ δικαιοσύνης τελείας κατόρθωσις· ταῦτα γὰρ ἑτέρων αἰνίγματα* Thdt.*Gal.*2:16(3.370); **vi.** conveys allegorical meaning, cf.*Barn.*10; cf.Just.*dial.*41(M.6.564Bff.); ref. food laws, cf. *praedixit autem figuraliter omnia haec lex, de animalibus delineans hominem...immunda...quae neque duplicem ungulam habent,...hoc est, qui neque in deum fidem habent*, Iren.*haer.*5.8.3(M. 7.1143A); Clem.*paed.*2.1(p.166.7; M.8.405B); *ib.*3.11(p.267.13; 628B); cf.id.*str.*5.6(p.346.28ff.; M.9.56Bff.); *αἱ μὲν γὰρ κατὰ τὸν ν. θυσίαι τὴν περὶ ἡμᾶς εὐσέβειαν ἀλληγοροῦσι ib.*7.6(p.24.22; M.9.445A); Or.*Jo.*6.4 (2; p.111.7; M.14.205A); Mac.Aeg.*hom.*47.16(M.34.808A); **i.** hence to be spiritually interpreted, cf.*Barn.*7ff.; Just.*dial.*12.2(M.6. 500B); *διὰ γραπτῆς νομοθεσίας οἱ τῆς ἀληθείας ν. προφητεύονται. ... προέκειτο γὰρ καὶ τὸ ἔνδυμα τῶν πνευματικῶν, λέγω δὲ τὸ σωματικὸν τῶν γραφῶν* Or.*princ.*4.2.8(p.320.13; M.11.373A); *ἐὰν ἀκούσω τοῦ ν., ἤτοι κεκρυμμένως ἀκούω ἢ οὐκ ἀκούω κεκρυμμένως· ὁ Ἰουδαῖος οὐκ ἀκούει κεκρυμμένως τοῦ ν.* id.*hom.12.13 in Jer.*(p.99.22; M.13.396B); *ὁ γὰρ μὴ πιστεύσας τῇ ἐκδοχῇ τοῦ γράμματος, διὰ μεγαλόνοιαν πιστεύει τῇ πνευματικῇ τοῦ ν. διηγήσει* id.*Jo.*32.21(13; p.462.32; M.14.801A); *ἀπεδράσαμεν μὲν τὰς Ἰουδαίων μυθολογίας σωφρονιζόμεθα δὲ...τῇ τοῦ ν. ... μυστικῇ θεωρίᾳ* id.*Cels.*2.6(p.132.24; M.11.804B); *ib.*7.20(p.171. 31ff.; 1449Bff.); *ὁ τοίνυν νοήσας τὸν πνευματικὸν ν. καὶ τὴν ἐν τοῖς προφήταις...ἀποκεκρυμμένην σοφίαν ὁρᾷ Μωϋσῆν καὶ Ἠλίαν ἐν δόξῃ* id.*fr. 22 in Lc.*9:28(p.243; M.17.344D); *τῇ...δικαιοσύνῃ τοῦ θεοῦ...μαρτυρεῖ οὐδαμῶς μὲν ὁ τῆς φύσεως ν. ... ὁ δὲ Μωσέως ν., οὐ τὸ γράμμα ἀλλὰ τὸ πνεῦμα* id.*comm.in Rom.*7:7(*JTS* 14 p.12); Meth.*symp.*5.7(p.61. 21; M.18.109B); *αἰσχυνέσθωσαν οἱ Ἰουδαῖοι, τὰ βάθη τῶν γραφῶν μὴ συνηθημένοι καὶ πάντα σωματικὰ τὸν ν. ἡγούμενοι...εἰρηκέναι ib.*9.1(p.115.7; 180A); Gr.Nyss.*Eun.*7(2 p.154.16; M.45.741D); Cyr. *ador.*7(1.225C); v. *θεωρία, γραφή*; **j.** hence literal observance of Law not required, cf. *Barn.*3.6; *ib.*10.12; literal observance being *cultus angelorum et non dei*, Arist.*apol.*14.4; and *ν. ἐντολῶν* opp. true law of *δόγματα*, Or.*comm.in Eph.*2:15(p.406); *τὴν συναγωγὴν...καὶ τὴν σωματικὴν τοῦ ν. λατρείαν τῶν πάλαι ἐν τῷ γράμματι συμβόλων, παντελῶς ἀδιάγνωστον ἔχουσαν τὸ φῶς τῆς ἐν νοήμασιν ἀληθοῦς ἐπιγνώσεως* id.*fr.12 in Lc.*8:16(p.238); †Cyr.*coll.VT*(6^{4}.52D; M.77. 1253C); **k.** Saul represents those who interpret Law literally, Gibeonites those who interpret it spiritually, *ib.*(51D; M.1251D); **l.** Law and grace, v. *χάρις*; **m.** Law and faith, v. *πίστις*; **n.** Law and gospel, cf.Clem.*paed.*1.6(p.110.1; M.8.289B); *οὐ δὴ μάχεται τῷ εὐαγγελίῳ ὁ ν., συνᾴδει δὲ αὐτῷ. πῶς γὰρ οὐχί, ἑνὸς ὄντος ἀμφοῖν χορηγοῦ τοῦ κυρίου;* id.*str.*2.23(p.193.23; M.8.1096D); *ib.*4.21(p.305. 29; 1341A); *ἡ τοῦ εὐαγγελίου γνῶσις ἐξήγησίς ἐστι τοῦ ν. καὶ πλήρωσις ib.*(p.307.34; 1345A); *ib.*7.14(p.61.29; M.9.520C); Or.*Cels.*7.25(p.176. 25; M.11.1457A); Law sweetened by gospel of Cross as bitter water by wood (Ex.15:25), id.*hom.10.2 in Jer.*(p.73.4; M.13.360C); id.*Jo.* 1.6(8; p.11.2; M.14.33D); *ib.*1.7(9; p.12.10; 36D); *ὁμοίως τῷ εὐαγγελίῳ στοιχείτωσαν αἱ ἐκ ν. καὶ προφητῶν ἑρμηνεῖαι Const.App.*2.5.4; Chrys.*exp.in Ps.*48:2(5.203C); Mac.Aeg.*hom.*32.4(M.34.736C); Cyr. *glaph.Ex.*3(1.326A); id.*Jo.*3.2(4.258C,D); *τί γάρ ἐστιν ὁ ν.; εὐαγγέλιον προκατηγγελμένον. τί δὲ τὸ εὐαγγέλιον; ν. πεπληρωμένος* ‡Just.*qu.et resp.*101(M.6.1345D); **o.** Law and H. Ghost, Cyr.H.*catech.*17.29; Apoll.*Rom.*7:7(pp.63–65); Chrys.*hom.6.2 in 2Cor.*(10.475E); Thdt. *Rom.*7:14(3.75); id.*2Cor.*3:7–8(3.303); v. *πνεῦμα*; Law contrasted with *πνευματικὴ πολιτεία* of Christianity, Jo.Philop.*pasch.*(p.210.8); **p.** Jewish-Christian observance of Law, Just.*dial.*47.3(M.6.577B); cf. *Ebionaei...Paulum recusant, apostatam eum legis dicentes...ac perseverant in his consuetudinibus, quae sunt secundum legem*, Iren. *haer.*1.26.2(M.7.687A); *Ἐβιωναῖοι...κατὰ νόμον φάσκοντες δικαιοῦσθαι καὶ τὸν Ἰησοῦν λέγοντες δεδικαιῶσθαι ποιήσαντα τὸν ν.* Hipp.*haer.*7.34 (p.221.10; M.16.3342B); Eus.*h.e.*3.27.3(M.20.273B); Epiph.*haer.*30.26 (p.368.10; M.41.449B); (Cerinthus) *ib.*28.5(p.317.19; 384B); **q.** other heret. attitudes to Law; **i.** Tatian, ref. marriage *χωρίζει δὲ καὶ τὸν παλαιὸν ἄνδρα καὶ τὸν καινὸν ὁ Τατιανός, ἀλλ' οὐχ ὡς ἡμεῖς φαμεν· παλαιὸν μὲν ἄνδρα τὸν ν., καινὸν δὲ τὸ εὐαγγέλιον συμφωνοῦμεν αὐτῷ καὶ αὐτοὶ λέγοντες, πλὴν οὐχ ᾗ βούλεται ἐκεῖνος καταλύων τὸν ν. ὡς ἄλλου θεοῦ* Clem.*str.*3.12(p.233.19; M.8.1184A); **ii.** Simon Magus *δύο...θεούς, ἀφ' ὧν ὁ μὲν εἷς ἐστιν ὁ κόσμον κτίσας, ὁ δὲ ἕτερος ὁ τὸν ν. δοὺς Hom.Clem.*3.2; *ib.*18.12; Epiph.*haer.*21.4(p.243.15; M.41.292A); **iii.** rejection of Law by Marcion, Iren.*haer.*3.12.12(M.7.905C); and Apelles, Hipp.*haer.*10.20(p.281.1; M.16.3438B); Clem.*str.*2.7(p.131.7; M.8.969B); regarding it as just, but not good, *ib.*2.8(p.133.28; 973C); *Μαρκιωνιστῶν παράνοια...οἱ τὸν ν. ἀλλότριον εἶναί φασι Χριστοῦ* Or. *fr.78 in Lc.*18:20(p.271; M.17.365D); Epiph.*haer.*42.4(p.99.8; M. 41.700C); Thdt.*haer.*1.24(4.314); **iv.** Basilides *τὸν ν. ὑπὸ τοῦ ἄρχοντος τεθῆναι τῶν Ἰουδαίων ib.*1.4(292); **v.** Valentinian, Or.*hom.20.1 in Lc.*(p.131.15; M.13.1851C); **vi.** Montanist; prophecies superior

to Law, prophets and gospels, Hipp.*haer*.8.19(p.238.12); M.16.3366C); **9.** of Christian law; **a.** Christ's teaching as law *ὑποτάσσεται...τῷ πρεσβυτερίῳ ὡς ν. Ἰησοῦ Χριστοῦ* Ign.*Magn*.2; *ὁ καινὸς ν. τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἄνευ ζυγοῦ ἀνάγκης ὢν Barn.* 2.6; *δοὺς αὐτοῖς τὸν ν. ὃν ἔλαβε παρὰ τοῦ πατρὸς αὐτοῦ* Herm.*sim*. 5.6.3; *ib*.8.3.4; Athenag.*leg*.32.2(M.6.964C); *ὁ ν. αὐτοῦ τὸν φόβον ὑπεκλύειν βούλεται τὸ ἑκούσιον ἐλευθερώσας εἰς πίστιν* Clem.*paed*.3.12 (p.284.4; M.8.665B); *οἱ λογικοὶ ν. ib*.(p.287.23; 673A); id.*str*.1.26 (p.105.26; M.8.917A); Thdt.*Ps*.116:1(1.1424); id.*affect*.11(p.288.51; 4.1001); *ὁ Χριστὸς ν. ἔδωκεν ἡμῖν, τὴν διαθήκην τῶν ἁγίων εὐαγγελίων Didasc.Jac*.1.50(p.774.28); hence **b.** *εὐαγγελικοὶ νόμοι* Or.*mart*.30 (p.26.22; M.11.601A); Thdt.*Ps*.118:134(1.1471); content of gospel as *εὐαγγελικὸς ν.*, id.*Mich*.4:1–3(2.1493); cf.Meth.*res*.2.8(p.345.2; M.41.1176C); **c.** gospels as *νόμοι*, Meth.*symp*.10.2(p.124.3; M.18.196B); ref. Fourth Gospel *ἀπὸ τοῦ ὄρους κάτεισιν ὁ Ἰωάννης τὸν ν. ἐγχειρισθείς, ὡς ὁ θεόπτης πλάκας Μωσῆς* ‡Hipp.Th.*fr*.14(p.46.17); **d.** apostolic *ν.*, Clem.*paed*.3.12(p.287.28; M.8.673A); Thdt.*Ps*.118:136(1.1472); *οἱ τοῦ ἀποστόλου νόμοι, τοῦ δεσπότου Χριστοῦ ν.* id.*1Cor*.7:12(3.204); *ib*. 10:24(230); **e.** Christianity as *ν., A.Petr.et Paul*.60(p.205.4); Const. ap.Eus.*h.e*.10.5.19(M.20.888B); *ib*.10.7.1(893B); Const.II Imp.*ep*.ap. Thdt.*h.e*.2.2.1(3.825); Dam.Papa *ep.Illyr*.ap.Thdt.*h.e*.2.22.5(3.882); **f.** contrasted with Mosaic Law, Just.*dial*.11.2(M.6.497B); as spiritual law of which Mosaic was a shadow, Or.*Jo*.6.51(32; p.160.24; M.14.289C); *ib*.13.13(p.238.11; 420B); Meth.*symp*.10.1(p.122.8; M.18.193A); *Const.App*.2.5.7; Cyr.*Lc*.6:29(M.72.597A); **g.** its obligations compared with those of secular law, Herm.*sim*.1.5–7; Clem.*str*.7.12 (p.49.23; M.9.496C); **h.** Christ as law *νόμος οὗτος υἱὸς θεοῦ ἐστι κηρυχθεὶς εἰς τὰ πέρατα τῆς γῆς* Herm.*sim*.8.3.2; *αἰώνιός τε ἡμῖν ν. καὶ τελευταῖος ὁ Χριστὸς ἐδόθη καὶ ἡ διαθήκη πιστή, μεθ' ἣν οὐ ν., οὐ πρόσταγμα, οὐκ ἐντολή* Just.*dial*.11.2(M.6.497B); *ib*.43.1(568A); *A.Jo*. 112(p.211.9); *ἐν δὲ τῷ Πέτρου Κηρύγματι εὕροις ἂν ν. καὶ λόγον τὸν κύριον προσαγορευόμενον* Clem.*str*.1.29(p.112.3; M.8.929A); id.*paed*. 1.3(p.95.21; M.8.260B); likened to Stoic *ν. ἔμψυχος*, id.*str*.2.4(p.122. 19; M.8.952A); *ψυχή, ἐν ᾗ...ἐνιδρύεται ὁ...βασιλεύς τε καὶ γεννήτωρ τῶν καλῶν, ν. ὢν ὄντως καὶ θεσμὸς καὶ λόγος αἰώνιος...εἷς ὢν σωτήρ ib*.7.3(p.12.18; M.9.421A); Or.*Jo*.1.7(9; p.12.10; M.14.36D); *ἵνα...ζῶντι καὶ ἐμψύχῳ ν. τε καὶ λόγῳ ἐν πᾶσιν ὄντι καὶ διὰ πάντων ἥκοντι τὰ πάντα συναρμόζοιτο ὑφ' ἑνὶ πανσόφῳ δεσμῷ, αὐτῷ δὴ τῷ τοῦ θεοῦ λόγῳ τε καὶ ν. συναγόμενά τε καὶ συνδούμενα* Eus.*d.e*.4.2(p.152. 7; M.22.253C); Thdt.*eran*.2(4.136); **i.** hence of Christian believers as a law *οἱ ἅγιοι οὓς προέγνω...ν. εἰσὶ καὶ οὐκ ἐν ν.* Or.*comm.in Rom*. 3:19,20(*JTS* 13 p.220); Meth.*symp*.11(p.131.4; M.18.208A); *Hom. Clem*.13.15; **10.** of eccl. laws or canons, CNic.(325)*can*.13 cit. s. *κανονικός*; *τοῦ ν. τοῦ κελεύοντος, παρὰ γνώμην τοῦ ἐπισκόπου Κωνσταντινουπόλεως χειροτονίαν ἐπισκόπου μὴ γίνεσθαι· ἠμέλησαν δὲ τοῦ ν. τούτου* Socr.*h.e*.7.28.2(M.67.801B); *εἶναι γὰρ ν. ἱερατικόν, ὃς ἄκυρα ἀποφαίνει τὰ παρὰ γνώμην πραττόμενα τοῦ Ῥωμαίων ἐπισκόπου* Soz.*h.e*.3.10.1(M.67.1057A); of Nicene canons, Thdt.*h.e*.1.8.18(3. 764).

D. met., of practice so firmly established as to become a regular principle *τὸ λάγνον πᾶν ἐπικέχυται ταῖς πόλεσι ν. γενόμενον* Clem. *paed*.3.3(p.248.33; M.8.584C); hence of 'law' of sin (Rom.7:23 etc.), id.*str*.4.6(p.266.11; M.8.1252B); Or.*Cels*.7.69(p.218.15; M.11.1517C); *ib*.8.56(p.273.16; 1601C); Meth.*res*.2.7(p.342.1; M.41.1173B); *ν. ἁμαρτίας τὰ ἐν τῇ σαρκὶ πρὸς τὰς ἐκτόπους ἡδονὰς κινήματα* Cyr.*thes*.34 (5[1].354C); and of death, Tat.*orat*.15(p.17.4; M.6.840A); Meth.*res*.2.8 (p.345.5; M.41.1176D).

III. *rule* or *standard* of any kind *μετροῦντες τὴν εὐσέβειαν θυσιῶν νόμῳ* Athenag.*leg*.13.1(M.6.916A); *κατὰ τὸν ν. τῆς ἰατρικῆς* Gr.Nyss. *or.dom*.4(p.70.6; M.44.1164A); Chrys.*hom.81.2 in Jo*.(8.481A); *ἀλληγορίας δὲ νόμῳ ποιμὴν ἔστιν ὁ Ἄβελ ζῴων, ὅ ἐστι τῶν αἰσθήσεων* Proc.G.*Gen*.4:2(M.87.237A); of rules of a game, Clem.*str*.2.6(p.126. 18; M.8.960B).

νομοφύλαξ, ὁ, *keeper, observer, of laws*; civil, Cyr.*ador*.6(1.199D); divine, id.*Am*.14(3.265B); of Christ *τῷ κατὰ φύσιν μὲν νομοθέτῃ, διὰ δὲ τὴν πρὸς ἡμᾶς ὁμοίωσιν ν.* id.*Jo*.1.4(4.33B); esp. Mosaic, Chrys. *comm.in Gal*.2:6(10.683B).

[*]**νόνα, ἡ,** v. *νόννος*.

***νόναι (*νόνναι), αἱ,** v. ***νῶναι**.

νόννος, ὁ, (Lat. *nonnus*) *father*; fem. *νόνα* perh. in sense of *maternal aunt, IGC As.Min*.16 [Cyzicus], cf. *νέννος, uncle*.

[*]**νονοράριος,** v. ***ὀνοράριος**.

***νοοβλαβής,** *injured in mind, deluded*, Nonn.*par.Jo*.12:14(M.43. 857A).

***Νοουατιανοί, οἱ,** v. ***Ναυατιανός**.

νοσ-έω, *be ill, be sick of, suffer from*, a disease; **1.** ref. mental illness, esp. of heathen, etc., Clem.*str*.7.15(p.64.13; M.9.525B); Eus. *v.C*.3.54(p.101.30; M.20.1117B); *εἰδωλολατρείαν ~οῦσιν* id.*e.th*.2.21 (p.131.20; M.24.957A); *πολιτείαν ~εῖν Ἰουδαϊκὴν* Chrys.*hom.4.5 in Ac.princ*.(3.88A); Diod.*Ex*.20:5(M.33.1583C); Thdt.*1Cor*.7:15(3.205); of heretics *τὰ Ἀρείου ~ούντων* Chrys.*hom.8.5 in Mt*.(7.128C); id. *hom.38.2 in 1Cor*.(10.352B); Thdt.*Ps*.57:6(1.985); id.*Heb*.1:3(3.547); **2.** ref. moral infirmity *οἱ ἐν τῷ βίῳ ~οῦντες* Clem.*paed*.1.9(p.138. 23; M.8.349B); *ib*.3.3(p.248.19; 584A); Eus.*v.C*.4.25(p.126.22; M.20. 1173A); †Bas.*Is*.114(1.458E; M.30.304C); Epiph.*mens*.16(M.43.264B); *τοῖς ἀδικοῦσιν· ἐκεῖνοι γάρ εἰσι μάλιστα οἱ ~οῦντες* Chrys.*hom.18.4 in Mt*.(7.240A); Thdt.*Rom*.11:29(3.125); **3.** ref. spiritual sickness *ἐπῳδὸς [sc. ὁ λόγος]...~ούσης ψυχῆς* Clem.*paed*.1.2(p.93.12; M.8. 256A); Or.*Cels*.8.62(p.278.23; M.11.1609D); *τὸ δὲ ἐπιθυμεῖν ν. ἐστι* Meth.*res*.1.47(p.296.21; M.41.1117B); *Const.App*.2.20.3; *ἄγνοιαν ~οῦσα θεοῦ* Thdt.*Ezech*.28:2(2.908).

νόσημα, τό, *sickness, disease*, spiritual *παθῶν καὶ νοσημάτων* Clem. *paed*.1.2(p.92.1; M.8.253A); id.*q.d.s*.1(p.160.3; M.9.605A); *ψυχικὰ ν. ib*.21(p.174.5; 625D); Gr.Nyss.*or.dom*.4(p.70.9; M.44.1164A); Isid. Pel.*epp*.1.142(M.78.277C); *μὴ περιφρονῶμεν τοῦ μεγάλου ν.* [sc. of drunkenness] *ib*.2.279(345D).

[*]**νοσιλεύομαι,** = *νοσηλεύομαι, be ill*, Thphn.*chron*.p.231(M.108. 584C).

νοσοκομεῖον, τό, *hospital, infirmary*, cf. *Fabiola prima omnium ν. instituit, in quo aegrotantes colligeret de plateis, et consumpta languoribus atque inedia miserorum membra foveret*, Hier.*ep*.73.6 (M.*PL*.22.694A); Pall.*h.Laus*.68(p.164.2; M.34.1219B); *ἔρχεται εἰς τὸ μέρος τοῦ ἀναλώματος τοῦ ἐπισκοπείου καὶ...κελεύει μετενεχθῆναι τὴν πολυτέλειαν τούτων εἰς τὸ ν. ... κτίζει πλείονα ν., προσκαταστήσας δύο τῶν...πρεσβυτέρων, ἔτι μὴν καὶ ἰατροὺς καὶ μαγείρους καὶ χρηστοὺς τῶν ἀγάμων ἐργάτας τούτοις εἰς ὑπηρεσίαν· ὥστε τοὺς ἐπιχωριάζοντας ξένους καὶ ὑπὸ νόσου ληφθέντας...τυγχάνειν ἐπιμελείας* id.*v.Chrys*.5 (p.32.12; M.47.20); †Gregent.*leg.Hom*.proem.(M.86.580B); *ἐν τῷ ν. τοῦ πατριάρχου ἐν τῇ ἁγίᾳ πόλει* Jo.Mosch.*prat*.42(M.87.2896C); Max. *ep*.44(M.91.648A); in monastery, Dor.*doct*.4.10(M.88.1669D); *τὴν διακονίαν τοῦ ν. ib*.11.8(1745A); *ἐν τῷ ν. τῷ λεγομένῳ τοῦ Σαμψὼ* Anast.S.*Ps*.6(M.89.1112B); met. *ἐν τῷ ν. τοῦ παρόντος αἰῶνος* Nil. *epp*.2.110(M.79.248D); *ἐν τῷ τῆς ἀναλγησίας...ν.* ‡Max.*cap.al*.29(M. 90.1408B).

νοσοκόμος, ὁ, 1. *sick-nurse*; in gen., Gr.Naz.*ep*.147(M.37.252B); Nonn.*par.Jo*.5:7(M.43.785B); Thdt.*serm.Chrys*.(5.99); of superintendent of monastic infirmary, Thdr.Stud.*poen*.1.69(M.99.1741C); **2.** as adj., *tending the sick*, Nonn.*par.Jo*.5:15(M.43.788A).

νοσοποιός, *causing sickness*; **1.** lit., Clem.*paed*.3.10(p.266.8; M.8. 625A); Or.*or*.27.9(p.369.16; M.11.513A); Chrys.*hom.17.4 in Heb*.(12. 169D); **2.** of moral disease, Clem.*str*.1.17(p.55.22; M.8.801A); Or. *exc.in Ps*.77:31(M.17.145B); *νοσοποιοῦ τῶν ψυχῶν τυραννικῆς ἐξουσίας* Jo.VI CP *ep*.(M.96.1417A).

νόσος, ἡ, *disease, sickness*; **1.** physical; effected by demons, Tat.*orat*.16(p.18.6; M.6.841B); beneficial as discipline for sinner, Bas.*hom.in Ps*.45(1.171A; M.29.417A); Gr.Naz.*ep*.31(M.37.68B); *ib*. 34(76B); cf.Bas.*reg.fus*.55.4(2.399D,E; M.31.1049A); *ἱερὰ ν. leprosy*, Gr.Naz.*or*.14.6(M.35.865A); ‡Chrys.*poenit*.1.3(9.768C); Jo.Clim.*scal*. 5(M.88.776A); **2.** mental; of heathenism, Eus.*d.e*.1.6(p.27.23; M.22. 56C); Thdt.*1Cor*.7:14(3.205); *ib*.12:1(240); of heresy, id.*h.e*.5.31.3(3. 1070); id.*ep*.113(4.1190); *ib*.145(1246); **3.** moral, Herm.*sim*.6.5.5; Clem.*prot*.3(p.33.30; M.8.129B); *παθῶν, ἃ δὴ ψυχῆς νόσοι ib*.11(p.81. 17; 233B); id.*q.d.s*.11(p.166.28; M.9.616A); *νόσοι ἦσαν ἐν τῷ λαῷ... ἔπεμπεν αὐτοῖς ἰατροὺς ὁ θεὸς τοὺς προφήτας* Or.*hom.14.2 in Jer*. (p.107.4; M.13.405B); Meth.*symp*.3.12(p.41.20; M.18.81A); Bas.*hom. in Ps*.7(1.100E; M.29.236C); *ν. τῆς πλεονεξίας* Gr.Nyss.*or.dom*.1(p.6. 5; M.44.1121C); *Const.App*.6.18.10; Thdt.*Ps*.52:5(1.952); *ἀχαριστίας ν. ib*.77:18(1153).

***νοσουργός,** *baneful*, Geo.Pis.*carm*.4.104.

νοστέω, *season, make palatable*, ‡Chrys.*hom.in Mt.26*:39(10.806C).

νόστος, ὁ, *taste, flavour*, Mac.Aeg.*hom*.27.12(M.34.701B); Rom. Mel.(*SBBAW* 1898[2] p.118); ‡Barth.Edess.*Muham*.(M.104.1456C).

***νοταρικός,** *secretarial*, Thdr.Stud.*or*.11.5(M.99.808B).

***νοτάριος, ὁ,** (Lat. *notarius*) *shorthand writer, secretary*; **1.** in gen., Call.*v.Hyp*.(p.83); Jo.Mal.*chron*.18 p.449(M.97.660C); *ν., Ῥωμαῖα ἡ λέξις· νότα γὰρ τὰ γράμματά εἰσι Ῥωμαϊστί* Anast.S.*hod*.2(M.89. 85A); **2.** of bishops' secretaries, Bas.*ep*.333 tit.(3.451E; M.32.1076C); *βούλομαι...τὸν ν. μου ἐλεύθερον εἶναι* Gr.Naz.*test*.(M.37.392C); *ἀναγνώστης καὶ ν. τοῦ...ἐπισκόπου* CEph.(431)*act*.1(*ACO* 1.1.2 p.10.3; H.1.1360A); CCP(536)*act*.5(*ACO* 3 p.52.27; H.2.1305B); Soz.*h.e*.4.3 tit.(M.67.1113C); Jo.Mosch.*prat*.34(M.87.2884A); *νωτάριος τῆς τῶν Ῥωμαίων ἐκκλησίας* Gr.Mag.*dial*.(tr.Zach.)1.8(M.*PL*.77.186B);

3. attached to Councils, Ath.*syn.*29(p.257.30; M.26.744B); διάκονος ν. CCP(536)*act.*5(*ACO* 3 p.52.30; H.2.1305B); **4.** of secretary of monastic steward, Sophr.H.*mir.Cyr.et Jo.*39(M.87.3576A); **5.** of clerk who recorded proceedings in court of law, *M.Pion.*9.1; **6.** of clerks of senate, *Chron.Pasch.*p.384(M.92.985B); **7.** of imperial notaries; **a.** *tribuni et notarii*; staff of imperial chancery, Eus.*v.C.*4.44 tit.(p.116.14; M.20.1146B); Ath.*h.Ar.*29(p.198.23; M.25.725C); id.*apol.Const.*22(M.25.621D); Pall.*v.Chrys.*4(p.23.12; M.47.15); **b.** *domestici et notarii*, personal secretarial staff of emperor ν. τοῦ βασιλέως Epiph.*haer.*71.1(p.250.26; M.42.376C); Pall.*v.Chrys.*2(p.11.19; M.47.10); Jo.Mal.*chron.*18 p.449(M.97.660C).

νοτιαῖος, *southern*, Cosm.Ind.*top.*proem.(M.88.53A); *Chron. Pasch.*p.29(M.92.127A).

νότιος, *southern*; τὸ ν. *the south*, ref. Manich. doctrine that north, east, west are assigned to the good God, the south to ὕλη, Jo.D. *Man.*2(M.96.1321B).

νοτίς, ἡ, *moisture*; met., *trace* οὐδὲ νοτίδα κακίας ἔστιν εὑρεῖν Serap.*Man.*44(p.62; M.18.1229C).

***νοτωρία, ἡ,** *indictment*, *M.Agap.*3.1.

***νουβίτισσα, ἡ,** (Lat. *novitia*) *novice*, Thphn.*chron.*p.381(M.108.912C).

νουθεσία, ἡ, *admonition*; **1.** in gen. ν. πατέρων *T.Reub.*3.8; Ign. *Eph.*3.1; Clem.*paed.*1.8(p.128.18; M.8.329A); id.*str.*5.1(p.329.10; M.9.16A); Const.*or.s.c.*23(p.189.3; M.20.1305B); id.ap.Eus.*v.C.*2.71(p.70.13; M.20.1045A); **2.** divine τὰς πρὸ τῆς κρίσεως πατρῴας ν. ὑπομένοντες Clem.*str.*7.16(p.72.13; M.9.541B); by Christ, id.*paed.*1.8(p.133.23; M.8.340A); Eus.*d.e.*1.6(p.23.13; M.22.49A); **3.** in scriptures Μωσῆς καὶ προφῆται, γράψαντες τὰ πρὸς νουθεσίαν ἡμῶν Or.*Jo.*13.46(p.272.35; M.14.481B); Meth.*lepr.*14(p.469.20); †Bas.*bapt.*2.2(2.653D; M.31.1581C); **4.** by bishops ὁ προεστὼς διὰ λόγου τὴν ν. ... ποιεῖται Just.*Iapol.*67.4(M.6.429B); *Clem.ep.*12(M.2.48A); ἔστω [sc. ἐπίσκοπος]...μακρόθυμος ἐν ταῖς ν. *Const.App.*2.5.4; *ib.*2.16.2; διὰ παρακλητικῆς ν. *ib.*2.20.4; *ib.*6.18.10.

νουθετητέος, *to be admonished*, Synes.*ep.*58(M.66.1401C).

***νουθετικῶς**, *by way of admonition*, Clem.*paed.*2.2(p.172.23; M.8.421A); Thdr.Stud.*epp.*2.122(M.99.1400A); *ib.*2.152(1473A, v.l. νομοθετικῶς).

***νουμεράριος, ὁ,** (Lat. *numerarius*) *accountant* (*tabularius*), Bas. *ep.*142 tit.(3.235A; M.32.592B); *ib.*143 tit.(235C; M.592C); Nil.*epp.*1.130 tit.(M.79.137D).

***νουμέραρχος, ὁ,** *captain of a detachment of troops*, Agath.*v.Gr. Ill.*15; *ib.*19 (νουμέναρχος cod.).

***νουμέριος,** *of* or *belonging to a detachment of troops*, Thphn. *chron.*p.185 (v.l. νουμέροις M.108.482B).

***νούμερος, ὁ (νούμερον, τό),** (Lat. *numerus*) *independent cohort*, *M.Acac.*3(p.762C); *M.Seb.*1(p.171.10); σπεῖρά ἐστιν, ὃ καλοῦμεν νυνὶ ν. Chrys.*hom.22.1 in Ac.*(9.177D); Cyr.S.*v.Sab.*1(p.87.11); ἀπὸ νουμέρων *ex-soldier*, Nil.*epp.*2.67 tit.(M.79.229D).

***νουμίον, τό,** (= Lat. *nummus*, sc. *assarius*), a Roman coin τὸ δὲ ν. τετύπωται ἀπὸ τοῦ Νουμᾶ τινος βασιλέως τῶν Ῥωμαίων Epiph. *mens.*24(M.43.289A); *Apophth.Patr.*(M.65.253C); Zos.*alloquia* 14(M. 78.1700C); Jo.Mosch.*prat.*127(M.87.2992A).

νουνεχής, *sensible, intelligent*; neut. as subst., *good sense*, Men. *exc.Rom.*19(p.216.22; M.113.920B).

νοῦς, ὁ, [discussion of declension of word, Max.*schol.c.h.*1.2(M. 4.32B)]; **I.** *mind*;

A. in gen.; descriptions of mind and its functions; **1.** ref. man's distinctive nature ἔστι γὰρ ἄνθρωπος οὐχ, ὥσπερ οἱ κορακόφωνοι δογματίζουσι, ζῷον λογικὸν ν. καὶ ἐπιστήμης δεκτικόν· δειχθήσεται γὰρ κατ' αὐτοὺς καὶ τὰ ἄλογα ν. καὶ ἐπιστήμης δεκτικά· μόνος δὲ ὁ ἄνθρωπος εἰκὼν...τοῦ θεοῦ Tat.*orat.*15(p.16.11ff.; M.6.837A,B); τῇ τοῦ δημιουργήσαντος ἡμᾶς γνώμῃ, καθ' ἣν ἐποίησεν ἄνθρωπον ἐκ ψυχῆς ἀθανάτου καὶ σώματος νοῦν τε συγκατεσκεύασεν αὐτῷ Athenag.*res.*13 (p.63.18; M.6.1000B); ταὐτὸ γάρ ἐστιν ἐκ νοερᾶς ψυχῆς καὶ σώματος τὸν ἄνθρωπον λέγειν, καὶ ἰδιαζόντως τὸν ν. ἐφ' ἑαυτοῦ ἀριθμήσαντα, τριχῆ διελεῖν τὴν περὶ τὸν ἄνθρωπον θεωρίαν Gr.Nyss.*Apoll.*8(M.45.1140B); **2.** in rel. to other faculties ν. καὶ λόγος δέδοται τοῖς ἀνθρώποις πρὸς διάκρισιν νοητῶν Athenag.*res.*15(p.66.20; M.6.1004C); τεσσάρων δὲ ὄντων ἐν οἷς τὸ ἀληθές, αἰσθήσεως, ν., ἐπιστήμης, ὑπολήψεως, φύσει μὲν πρῶτος ὁ ν., ἡμῖν δὲ καὶ πρὸς ἡμᾶς ἡ αἴσθησις, ἐκ δὲ αἰσθήσεως καὶ τοῦ ν. ἡ τῆς ἐπιστήμης συνίσταται οὐσία, κοινὸν δὲ ν. τε καὶ αἰσθήσεως τὸ ἐναργές Clem.*str.*2.4(p.119.21ff.; M.8.944B,C); ψυχὴ...εἶναι πέφυκε τόν γε πρῶτον λόγον, οὗπερ ἂν ὁ ν. ᾖ Gr.Thaum.*pan.Or.*6(p.17.20; M. 10.1072C); ἀναθεὶς ἐμοὶ καὶ τὴν ψυχὴν καὶ τὴν αἴσθησιν καὶ τὸν ν. Meth. *symp.*5.2(p.54.13; M.18.100A); dist. from ψυχή and σῶμα, id.*lepr.*9 (p.463.2); τὴν ἑκάστου ψυχὴν εἶναι, καὶ τὸν ἐν αὐτῇ ν. Ath.*gent.*30(M. 25.61A); λογισμοὶ τῆς ψυχῆς· λέγω δέ, τὸ θέλημα, ἡ συνείδησις, ὁ ν., ἡ ἀγαπητικὴ δύναμις Mac.Aeg.*hom.*1.3(M.34.452C); *ib.*7.8(528B); εἰς... τὸ βάθος τῆς ψυχῆς, τοῦτ' ἔστιν, εἰς τὸν ν. Diad.*perf.*79(p.100.11); cf. *ib.*33(p.38.15); τὸ φρόνημα, καὶ αἱ μνῆμαι, καὶ ὁ ν. Nil.*epp.*1.34(M.79. 140B); **3.** partic. in rel. to sense perception, ν. αἴσθησις; ὁ τὸν φαινόμενον κόσμον νοῶν, θεωρεῖ τὸν νοούμενον· τυποῖ γὰρ τῇ αἰσθήσει τὰ νοητὰ φανταζόμενος, καὶ κατὰ νοῦν σχηματίζει τοὺς θεαθέντας λόγους· καὶ μεταφέρει, πρὸς μὲν αἴσθησιν πολυειδῶς, τοῦ νοητοῦ κόσμου τὴν σύστασιν, πρὸς δὲ νοῦν, τοῦ αἰσθητοῦ κόσμου πολυπλόκως τὴν σύνθεσιν· καὶ νοεῖ, ἐν μὲν τῷ νοητῷ, τὸν αἰσθητόν, μετενέγκας πρὸς τὸν ν. τοῖς λόγοις τὴν αἴσθησιν, ἐν δὲ τῷ αἰσθητῷ, τὸν νοητόν, πρὸς τὴν αἴσθησιν ἐπιστημόνως τοῖς τύποις μετεγκλοιώσας τὸν ν. Max.*cap.*4.91(M.90. 1344C); ref. trees of knowledge and life ἀμφότερα τὰ ξύλα κατὰ τὴν γραφήν, τινῶν εἰσι διακριτικά, ἤγουν ὁ ν., καὶ ἡ αἴσθησις· οἷον, ὁ μὲν ν. ἔχει δύναμιν διακριτικήν, νοητῶν καὶ αἰσθητῶν, προσκαίρων καὶ αἰωνίων...ἡ δὲ αἴσθησις ἔχει δύναμιν διακριτικὴν ἡδονῆς σωμάτων καὶ ὀδύνης *ib.*2.33(1233A); **4.** its various processes, cf. *prima etiam motio ejus* [sc. Nus] *de aliquo, ennoia appellatur; perseverans autem et aucta...enthymesis vocatur. haec autem enthymesis multum temporis faciens in eodem...sensatio nominatur...unum autem et idem est omnia quae praedicta sunt, a No initium accipientia, et secundum augmentum assumentia appellationes*, Iren.*haer.*2.13.2(M.7.743A); **5.** as guiding principle in man; **a.** in gen., cf. *animum, sive mens est, νοῦς apud Graecos, non aliud quid intelligimus quam suggestum animae ingenitum et insitum...quo agit, quo sapit, quem secum habens ex semetipsa se commoveat in semetipsa, atque ita moveri videatur ab illo tanquam substantia alia*, Tert.*de anima* 12(M.*PL.*2. 666A); ὁ δὲ κυβερνήτης, ὁ ν. ὁ ἀνθρώπινος Clem.*paed.*2.2(p.173.18; M. 8.424A); ὡς γὰρ ἡ κεφαλὴ τὸ κυριώτατον μέρος ἐστὶν ἐν τῷ σώματι, οὕτω τῆς ψυχῆς ἡμῶν τὸ κυριώτατόν ἐστιν ὁ ν. Meth. *fr.12 in Job* (p.514.14f.); **b.** owing to its power of discernment τοῦτο δ' ἐστὶ ν. ἀνθρώπου, καὶ κριτήριον ἐλεύθερον ἔχων ἐν ἑαυτῷ καὶ τὸ αὐτεξούσιον τῆς μεταχειρίσεως τῶν δοθέντων Clem.*q.d.s.*14(p.169.4; M.9.617C); ταύτῃ καὶ τὸν ν. εἰλήφαμεν, ἵνα εἰδῶμεν ὃ ποιοῦμεν, καὶ τὸ 'γνῶθι σαυτόν' ἐνταῦθα, εἰδέναι ἐφ' ᾧ γεγόναμεν id.*str.*7.3(p.15.8; M.9.425A); ἔχειν ἐν ψυχῇ τὸν ν. διορατικώτατον Or.*fr.11 in Lc.*8:16(p.237; M.17. 336B); *ib.53 in* 11:34(p.258); ἄλλος παρὰ τὰς σωματικὰς αἰσθήσεις ἐστὶν ὁ τῶν ἀνθρώπων ν.· διὰ τοῦτο γοῦν ὡς ἄλλος ὤν, αὐτῶν τῶν αἰσθήσεων γίνεται κριτής· καὶ ὧν ἐκεῖναι ἀντιλαμβάνονται, ταῦτα οὗτος διακρίνει...καὶ δείκνυσιν αὐταῖς τὸ κρεῖττον Ath.*gent.*31(M.25.61C); *ib.*(64A) cit. s. αἴσθησις; ν. ἐστι φύσεις ἐπινοητικὴ παντὸς πράγματος. ν. ἐστι ὅρασις ἀσώματος εἰς πᾶν ἐκτεινομένη. ν. ἐστι ὥσπερ ὄψις τις ὑπὸ τοῦ δημιουργοῦ ἐν τῇ ψυχῇ ἀποκείμενος ἤτουν ὀφθαλμός *Doct. Patr.*33(p.263.15ff.); but καλὸν τοῦ ν. ἡ ἐνέργεια· καὶ ὅτι ἀεικίνητος ὢν οὗτος, πολλάκις μὲν φαντασιοῦται περὶ τῶν οὐκ ὄντων ὡς ὄντων Bas.*ep.*233.1(3.355E; M.32.864D); **c.** hence compared to an eye or a light ὀφθαλμὸν...κυρίως φησὶν τὸν ἐν ἡμῖν ν., περὶ οὗ ἐστιν ἡ ἀρχὴ ἐν μόνῳ τῷ σπουδαίῳ τῆς ἁπλότητος, μηδεμίαν ἔχοντι διπλοὴν καὶ δόλον...νοῦν γὰρ ἐν ψυχῇ ἀνθρώπου ὁ θεὸς ἐποίησεν Or.*fr.53 in Lc.* 11:34(p.258); *ib.*(p.259); *ib.59 in* 12:35(p.261); exeg. Mt.5:8 ἡ γὰρ καρδία ὀφθαλμός ἐστιν, ὁ δὲ ὀφθαλμὸς ἡ φύσις τοῦ ν. id.*fr.in Mt.*5:8 (p.50); ὅρασις δὲ τῆς ψυχῆς, ὁ συμφυὴς αὐτῇ ν.· ἀλλ' οὐχ ὡς ἕτερον ἐν ἑτέρῳ, ἀλλὰ ταὐτὸν ψυχή τε καὶ ν. ‡Bas.*const.*2.1(2.541B; M.31.1340A); Nil.*epp.*1.135(M.79.140B); **d.** in metaphor of charioteer ὁ ν. ἡνίοχός ἐστι καὶ ζεύγνυσι τὸ ἅρμα τῆς ψυχῆς κατέχων ἡνίας τῶν λογισμῶν Mac. Aeg.*hom.*40.5(M.34.765B); Gr.Nyss.*virg.*22(p.332.22; M.46.404D); *Const.App.*7.34.6 cit. s. αἴσθησις; ὁ ἡνίοχος ν. τὸν μὲν εὐθύνει τῶν ἵππων, τὸν δὲ ἀνακόπτει, τὸν δὲ καθικνεῖται διὰ τῆς μάστιγος...μέχρις ἂν τοῖς πᾶσι μίαν σύμπνοιαν πρὸς τὸν δρόμον ἐμποιήσῃ Nil.*epp.*3. 268(M.79.517A); **e.** other comparisons τὸν τοῦ σκηνώματος ἡμῶν οἰκοδεσπότην καὶ οἰκονόμον, τὸν ν. λέγω, πάντα τὰ ἐν ἡμῖν εὖ διατίθεσθαι ἑκάστῃ τε τῶν τῆς ψυχῆς δυνάμεων...πρὸς τὸ καλὸν κεχρῆσθαι Gr.Nyss.*virg.*18(p.317.24; M.46.389C); = ἁρμοστής, id.*hom.opif.*9.3 (M.44.149C); ἀνάπτυξόν μοι τούτου τὸ συνειδός, καὶ ὄψει πολὺν ἔνδοθεν θόρυβον τῶν ἁμαρτημάτων...καθάπερ ἐν δικαστηρίῳ τὸν ν. ἐπὶ τὸν θρόνον ἀναβάντα τὸν βασιλικὸν τοῦ συνειδότος, καὶ ὥσπερ τινὰ δικαστὴν καθήμενον Chrys.*Laz.*1.11(1.723E); τὸ μὲν σῶμα πολλῷ φαυλοτέρᾳ περίβαλε στολῇ, τὸν δὲ ν. ἀλουργίδα ἔνδυσον, καὶ στέφανον ἐπίθες αὐτῷ ...σὺ γὰρ τοὐναντίον ποιεῖς, τὴν μὲν πόλιν καλλωπίζων ποικίλως, τὸν δὲ βασιλέα ν. ἀφεὶς σύρεσθαι δεδεμένον ὀπίσω τῶν ἀλόγων παθῶν id. *hom.69.2 in Mt.*(7.682D); **6.** in teaching of Or. and his followers διὰ τὸν μιασμὸν τοῦ ν., σώματι ταπεινώσεως ἀνθρώπων ἐνδεδεμένου Or. *Cels.*6.17(p.88.6; M.11.1316C); cf. νοῦς, *id est mens, corruens facta est anima, et rursum anima instructa virtutibus mens fiet*, id.*princ.*2.8. 3(p.161.6; M.11.223C); γεγόνασιν ἀπὸ νόων ἄγγελοι, ἀρχάγγελοι καὶ τὰ ἑξῆς Antip.Bost.*fr.*(M.96.504A); εἴ τις λέγει, πάντων τῶν λογικῶν

τὴν παραγωγὴν νόας ἀσωμάτους καὶ ἀύλους γεγονέναι δίχα παντὸς ἀριθμοῦ καὶ ὀνόματος...ἀ. ἔ. CCP(543)*anath.*2(Hahn p.227); πρὸ τῶν αἰώνων ν. ἦσαν πάντες καθαροί, καὶ οἱ δαίμονες καὶ ψυχαὶ καὶ οἱ ἄγγελοι, λειτουργοῦντες τῷ θεῷ †Leont.B.*sect.*10.5(M.86.1264D).

B. in pagan philosophy θεὸν μὲν τὸν ν. τοῦ κόσμου ἄγει [sc. Thales] Athenag.*leg.*23.2(M.6.941B); ἔφη [sc. Anaxagoras] τὴν τοῦ παντὸς ἀρχὴν ν. καὶ ὕλην, τὸν μὲν ν. ποιοῦντα, τὴν δὲ ὕλην γινομένην. ὄντων γὰρ πάντων ὁμοῦ, ν. ἐπελθὼν διεκόσμησεν Hipp.*haer.*1.8(p.13.8ff.; M. 16.3032C); ἐδογμάτισαν [sc. Plato and Aristotle] τὴν τῶν πάντων γένεσιν...οἱ δὲ περὶ τὸν Πλάτωνα ἐκ τριῶν· εἶναι ταῦτα λέγουσι θεὸν καὶ ὕλην καὶ παράδειγμα...θεὸν δὲ τὸν ταύτης εἶναι δημιουργόν, τὸ δὲ παράδειγμα ν. *ib.*10.7(p.268.4; 3419A); Ἕλλήνων δὲ οἱ θεολογικώτεροι, καὶ μᾶλλον ἡμῖν προσεγγίσαντες, ἐφαντάσθησαν μέν, ὡς ἐμοὶ δοκεῖ· περὶ δὲ τὴν κλῆσιν διηνέχθησαν, ν. τοῦ παντός, καὶ τὸν θύραθεν ν., καὶ τὰ τοιαῦτα προσαγορεύσαντες Gr.Naz.*or.*31.5(p.150.5; M.36.137B).

C. ref. spiritual life; **1.** God as object of the mind; **a.** ref. mind's capacity for knowing God ἔστιν οὖν...τῷ ν. ἡμῶν τοιαύτη τις καὶ τοσαύτη δύναμις, ἣ μὴ τὸ ὂν δι' αἰσθήσεως ἔλαβεν; ἢ τὸν θεὸν ἀνθρώπου ν. ὄψεταί ποτε μὴ ἀγίῳ πνεύματι κεκοσμημένος; φησὶ γὰρ Πλατών, ἦν δ' ἐγώ, αὐτὸ τοιοῦτον εἶναι τὸ τοῦ ν. ὄμμα καὶ πρὸς τοῦτο ἡμῖν δεδόσθαι, ὡς δύνασθαι καθορᾶν αὐτὸ ἐκεῖνο τὸ ὂν εἰλικρινεῖ αὐτῷ ἐκείνῳ Just. *dial.*4.1(M.6.481D–484A); τὸ...θεῖον ἀγένητον εἶναι καὶ ἀΐδιον, ν. μόνῳ καὶ λόγῳ θεωρούμενον Athenag.*leg.*4.1(M.6.897B); *ib.*10.1(908B); οἱ ὀφθαλμοὶ πρὸς τὰ ὁρατὰ καὶ ὦτα πρὸς τὰ ἀκουστά, οὕτω ν. πρὸς τὰ νοητὰ καὶ τὸν ἐπέκεινα τῶν νοητῶν θεόν Or.*mart.*47(p.43.7; M.11. 629B); ὁ θεὸς καθ' ἡμᾶς τῷ μὲν μὴ εἶναι σῶμα ἀόρατός ἐστιν· τοῖς δὲ θεωρητικοῖς καρδίᾳ θεωρητός, τουτέστι νῷ id.*Cels.*6.69(p.139.11; M. 11.1404A); τὸν μηκέτι σώματος ὀφθαλμοῖς μόνῳ δὲ νῷ διαυγεῖ καὶ καθαρῷ νοούμενον τὸν...θεοῦ λόγον Eus.*l.C.*11(p.226.22; M.20.1380D); τὴν ἑκάστου ψυχὴν εἶναι, καὶ τὸν ἐν αὐτῇ ν. δι' αὐτοῦ γὰρ μόνου δύναται θεὸς θεωρεῖσθαι καὶ νοεῖσθαι...οὐ γὰρ ἐχόντων ἔστι ν. ἀρνεῖσθαι τὸν τούτου ποιητὴν...θεόν Ath.*gent.*30(M.25.61A); **b.** ref. creation of mind κατ' εἰκόνα: καθαρὸς γὰρ ὢν...ὁ ν. δεκτικός πως ὑπάρχει τῆς τοῦ θεοῦ δυνάμεως, ἀνισταμένης ἐν αὐτῷ τῆς θείας εἰκόνος Clem.*str.*3.5(p.215. 24; M.8.1145C); *ib.*5.14(p.388.16; M.9.140A) cit. s. εἰκών; Or.*Cels.*7.33 (p.184.3; M.11.1468B); Eus.*p.e.*7.10(316C; M.21.536A); Bas.*ep.*233.1 (3.355D; M.32.864C); τὸ δέ, 'κατ' εἰκόνα', ὡς ἐμοὶ δοκεῖ, νοητέον, ὅτι ἐκ τοῦ θεϊκοῦ φυσήματος τὸ πνεῦμα τὸ ἀθάνατον ἔχομεν, καὶ ν. ἀεὶ θεόντα, καὶ κυβερνῶντα, ἐφ' ὃ χρή Didym.*Trin.*2.7(M.39.565C); δέδωκεν ὁ θεὸς καὶ τῷ ἀνθρώπῳ τῷ ὑπ' αὐτοῦ κτισθέντι ἐν τῷ νοερῷ ταμείῳ τῆς ψυχῆς, τοῦτ' ἔστι τῷ νῷ, ἔχειν διὰ τῶν ἀρετῶν τὸ 'κατ' εἰκόνα αὐτοῦ καὶ ὁμοίωσιν' Gel.Cyz.*h.e.*2.15.9(M.85.1260B); **2.** mind and body; **a.** mind enslaved by senses, Clem.*paed.*2.1(p.157.7; M. 8.385B); λύπαις καὶ ἡδοναῖς...συνδεσμοῦσι τὸν ν. τοῖς αἰσθητοῖς οἱ δαίμονες Thal.*cent.*2.17(M.91.1440A); ἡ πρὸς τὴν αἴσθησιν σχέσις τοῦ ν., δοῦλον αὐτὸν καθίστησι τῶν τοῦ σώματος ἡδονῶν *ib.*2.55(1444A); σαλεύεται ὁ ν. ἐκ τοῦ τόπου τῆς γνώσεως, ὅτε τὸ παθητικὸν αὐτοῦ κινηθῇ ἐκ τῶν ἰδίων ἀρετῶν *ib.*2.56(1444A); **b.** mind controlling senses ὅταν ὁ ν. πλουτήσῃ τὴν τῆς μονάδος γνῶσιν, τότε καὶ τὴν αἴσθησιν πάντη δεδουλωμένην ἔχει *ib.*2.47(1441C); ἀδύνατον τὸν ν. τῇ γνώσει ποιωθῆναι, εἰ μὴ πρότερον τὸ παθητικὸν ταῖς οἰκείαις ἀρεταῖς ἐξ αὐτοῦ πελάσει *ib.*2.50(1441D); **3.** mind and sin; **a.** mind's responsibility for sin οὐ γὰρ τὰ ὄργανά εἰσιν βλαστικά, ἀλλὰ ὁ ν. ὁ συγκαταβαίνων τῇ ἁμαρτίᾳ *A.Jo.*54(p.178.22); but cf. τὰ ὄργανα τὰ παιδογόνα ...βρίθοντα τὸν ν. Meth.*symp.*4.4(p.49.17; M.18.92A); **b.** mind obscured and coarsened by sin, *T.Reub.*3.8; ποία δὲ χείρων ταλαιπωρία τοῦ τετυφλῶσθαι τὸν ν. καὶ μὴ βλέπειν τὸν παντὸς ν. δημιουργόν; Or.*Cels.*8.38(p.253.19; M.11.1573D); καταπεπτώκασι τῇ διανοίᾳ καὶ ἐσκοτίσθησαν τὸν ν., ὥστε καὶ τὰ μηδ' ὅλως μηδαμῶς ὑπάρχοντα... θεοποιῆσαι Ath.*gent.*9(M.25.20A); τί βούλεται τοῖς δαίμοσι ἐνεργεῖν ἐν ἡμὶν γαστριμαργίαν, πορνείαν, φιλαργυρίαν...; ἵνα παχυνθεὶς ὁ ν. ἐξ αὐτῶν, μὴ δυνηθῇ ὡς δεῖ προσεύξασθαι Evagr.Pont.*or.*50(M. 79.1177B); Marc.Er.*opusc.*2.72(M.65.941A); **c.** various faults ἀρχὴ πλάνης, νοῦ κενοδοξία, ἐξ ἧς κινούμενος ὁ ν., ἐν σχήματι καὶ μορφαῖς περιγράφειν πειρᾶται τὸ θεῖον Evagr.Pont.*or.*116(M.79.1193A); νοός ἐστι ἀκαθαραία, πρῶτον μέν, τὸ γνῶσιν ἔχειν ψευδῆ· δεύτερον δέ, τὸ ἀγνοεῖν τι τῶν καθόλου· ὡς πρὸς ἀνθρώπινον ν. λέγω· ἀγγέλου γάρ ἐστι τὸ μηδὲν τῶν ἐπὶ μέρους ἀγνοεῖν· τρίτον δέ, τὸ ἐμπαθεῖς ἔχειν λογισμούς· τέταρτον δέ, τὸ συγκατατίθεσθαι τῇ ἁμαρτίᾳ Max.*carit.*3.34(M.90. 1028B); **d.** mind between good and evil τρεῖς οὖν εἰσιν οἱονεὶ βίων καταστάσεις· καὶ ἰσάριθμοι τούτοις, αἱ τοῦ ν. ἡμῶν ἐνέργειαι. ἡ γὰρ πονηρὰ ἡμῶν τὰ ἐπιτηδεύματα...οἷον μοιχεῖαι, κλοπαί, εἰδωλολατρίαι... ἢ μέση τίς ἐστι τῆς ψυχῆς ἡ ἐνέργεια, οὔτε κατεγνωσμένον τι ἔχουσα, οὔτε ἐπαινετόν·...ποία γὰρ κακία κυβερνητικῆς ἢ ἰατρικῆς...ὁ μέντοι τῇ θεότητι τοῦ πνεύματος ἀνακραθεὶς ν., οὗτος ἤδη τῶν μεγάλων ἐστὶ θεωρημάτων ἐποπτικός Bas.*ep.*233.1(3.356B,C; M.32.865B); ὁ ν. ἡμῶν μέσος ἐστὶ δύο τινῶν, ἑκάστου τὰ ἴδια ἐνεργοῦντος· τοῦ μέν, τὴν ἀρετήν· τοῦ δέ, τὴν κακίαν· τουτέστι ἀγγέλου καὶ δαίμονος. ἐξουσίαν δὲ ἔχει ὁ ν., καὶ δύναμιν ᾧ θέλει εἴτε ἕπεσθαι, εἴτε ἀντιστῆναι Max.*carit.*3.92 (M.90.1045B); id.*cap.*2.35(M.90.1233C); Thal.*cent.*1.58(M.91.1433A); **4.** mind's way to perfection; **a.** struggle against temptation, Clem. *fr.*44(p.221.18,22); ὅταν μὴ δυνηθῇ τὴν μνήμην κινῆσαι ἐν τῇ προσευχῇ ὁ...δαίμων, τότε τὴν κρᾶσιν τοῦ σώματος ἐκβιάζεται εἰς τὸ ποιῆσαί ξένην τινὰ φαντασίαν τῷ νῷ Evagr.Pont.*or.*68(M.79.1181B); Marc.Er. *opusc.*2.68(M.65.940C); ὅταν ὁ ν. ἡμῶν ἄρξηται τῆς τοῦ ἁγίου πνεύματος αἰσθάνεσθαι παρακλήσεως, τότε καὶ ὁ σατανᾶς ἐν ἡδυφανεῖ τινι αἰσθήσει ἐν ταῖς νυκτεριναῖς ἡσυχίαις...τὴν ψυχὴν παρακαλεῖ. ἐὰν οὖν εὑρεθῇ ἐν θερμῇ μνήμῃ λίαν κρατῶν ὁ ν. τὸ ὄνομα τὸ ἅγιον τοῦ...Ἰησοῦ καὶ ὥσπερ ὅπλῳ κέχρηται κατὰ τῆς ἀπάτης...ἀναχωρεῖ μὲν ὁ πλάνος τοῦ δόλου...ὅθεν ἐπιγινώσκων ὁ ν. τὴν ἀπάτην τοῦ πονηροῦ πλέον εἰς τὴν πεῖραν προκόπτει τῆς διακρίσεως Diad.*perf.*31(p.34.18ff.); οὐ πρὸς τὰ πράγματα ὁ ν. πολεμεῖ τοῦ θεοφιλοῦς, οὐδὲ πρὸς τὰ τούτων νοήματα· ἀλλὰ πρὸς τὰ πάθη τὰ τοῖς νοήμασι συνεζευγμένα Max.*carit.*3.40(M.90. 1028D); **b.** stages of progress ἀναβῆναι τῷ νῷ ἀπὸ ὁρατῶν καὶ πάντων αἰσθητῶν ἐπὶ τὸν ὅλων δημιουργόν Or.*Cels.*6.66(p.136.21; M.11.1400A); κἂν ὑπὲρ τὴν θεωρίαν τῆς σωματικῆς φύσεως ὁ ν. γένηται, οὔπω τέλεον τὸν τοῦ θεοῦ τόπον ἐθεάσατο· δύναται γὰρ ἐν τῇ τῶν νοητῶν εἶναι γνώσει, καὶ ποικίλλεσθαι πρὸς αὐτήν Evagr.Pont.*or.*57(M.79.1180A); ἡ θεαρχία τοὺς ἐν οἷς ἂν ἐγγένηται ν. ἀποκαθαίρει πρῶτον, εἶτα φωτίζει, καὶ φωτισθέντας ἀποτελειοῖ πρὸς θεοειδῆ τελεσιουργίαν Dion.Ar.*e.h.*5. 1.7(M.3.508D); διὰ μὲν τῆς ἐργασίας τῶν ἐντολῶν, τὰ πάθη ὁ ν. ἀποδύεται· διὰ δὲ τῆς τῶν ὁρατῶν πνευματικῆς θεωρίας, τὰ ἐμπαθῆ τῶν πραγμάτων νοήματα. διὰ δὲ τῶν ἀοράτων γνώσεως, τὴν τῶν ὁρατῶν θεωρίαν· ταύτην δέ, διὰ τῆς γνώσεως τῆς ἁγίας τριάδος Max.*carit.*1.94 (M.90.981B); *ib.*1.97–100(981D–984A); *ib.*3.97(1045D); threefold way in rel. to angelic hierarchies καθ' αὐτὸν ἕκαστος οὐράνιός τε καὶ ἀνθρώπειος ν. ἰδικὰς ἔχει καὶ πρώτας καὶ μέσας καὶ τελευταίας τάξεις τε καὶ δυνάμεις, πρὸς τὰς εἰρημένας τῶν καθ' ἕκαστον ἱεραρχικῶν ἐλλάμψεων οἰκείας ἀναγωγὰς ἀναλόγως ἐκφαινομένας, καθ' ἃς ἕκαστος ἂν μετουσίᾳ γίνεται κατὰ τὸ αὐτῷ θεμιτόν τε καὶ ἐφικτὸν τῆς ὑπεραγνοτάτης καθάρσεως, τοῦ ὑπερπλήρους φωτός Dion.Ar.*c.h.*10.3(M.3.273C); ascent from sensible to intellectual ὅταν δὲ ὁ ν. διὰ τῶν αἰσθητῶν ἀνακινεῖσθαι σπεύδῃ πρὸς θεωρητικὰς νοήσεις, τιμιώτεραι...εἰσὶν αἱ ἐπιδηλότεραι τῶν αἰσθήσεων διαπορθμεύσεις, οἱ σαφέστεροι λόγοι, τὰ τρανέστερα τῶν ὁρατῶν, ὡς ὅταν ἀτράνωτα ᾖ τὰ παρακείμενα ταῖς αἰσθήσεσιν, οὐδὲ αὐταὶ τῷ νῷ παραστῆσαι τὰ αἰσθητὰ καλῶς δυνήσονται id.*d.n.*4.11(M.3.708D–709A); **c.** qualities and virtues of progressing mind αἴσθησίς ἐστι νοὸς γεῦσις ἀκριβὴς τῶν διακρινομένων. ὃν γὰρ τρόπον τῇ γευστικῇ ἡμῶν αἰσθήσει τοῦ σώματος τὰ καλὰ ἐκ τῶν φαύλων ...διακρίνοντες τῶν χρηστῶν ὀρεγόμεθα, οὕτω καὶ ὁ ν. ἡμῶν, ὅταν εὐρώστως καὶ ἐν πολλῇ ἀμεριμνίᾳ κινεῖσθαι ἄρξοιτο, δύναται καὶ τῆς θείας παρακλήσεως πλουσίως αἰσθάνεσθαι καὶ ὑπὸ τῆς ἐναντίας μηδεπώποτε συναρπάζεσθαι Diad.*perf.*30(pp.33.24–34.2); τρεῖς ἀρεταί εἰσι προνοοῦσαι τοῦ ν. διὰ παντός, καὶ χρείαν αὐτῶν ἔχει. ἡ κατὰ φύσιν ὁρμή, καὶ ἡ ἀνδρεία, καὶ ἡ ἀοκνησία. τρεῖς εἰσιν ἀρεταὶ ἃς ἐὰν ἴδῃ ὁ ν. μετ' αὐτοῦ, πιστεύει ὅτι ἐφθασεν εἰς τὴν ἀθανασίαν. ἡ διάκρισις, τὸ ἀφορίσαι ἕκαστον ἀπ' ἀλλήλων, καὶ τὸ προβλέπειν πάντα πρὸ καιροῦ, καὶ τὸ μὴ συμπείθεσθαι μετά τινος ἀλλοτρίου. τρεῖς ἀρεταί εἰσιν ἐπιχορηγοῦσαι φῶς τῷ νῷ διαπαντός. τὸ μὴ εἰδέναι πονηρίαν τινὸς ἀνθρώπου, καὶ τὸ ἀγαθοποιῆσαι τοὺς κακοποιοῦντάς σε, τὸ ὑποφέρειν τὰ ἐπερχόμενα ἀταράχως...ὁ ν. χρήζει τῶν τεσσαρῶν ἀρετῶν πάντοτε τούτων—τὸ εὔχεσθαι τῷ θεῷ προσπίπτοντα ἀδιαλείπτως, καὶ τὸ παραρίπτεσθαι ἐνώπιον τοῦ θεοῦ, καὶ τὸ ἀμεριμνῆσαι ἀπὸ παντὸς ἀνθρώπου τοῦ μὴ κρῖναι αὐτόν, καὶ τὸ κωφεῦσαι πρὸς τὰ λαλοῦντα αὐτῷ πάθη Esaias *or.*7.1(cf.M.40.1126Cff.); **d.** divine assistance, Just.*dial.*121.2(M.6.757B); λόγος ὁ ὑγιής, ὃς ἐστιν ἥλιος ψυχῆς, δι' οὗ μόνου ἔνδον ἀνατείλαντος ἐν τῷ βάθει τοῦ ν. αὐτῆς καταυγάζεται τὸ ὄμμα Clem.*prot.*6(p.52.16; M.8.173B); *ib.*11(p.79.32; 229C); τοῦ λόγου ...χειραγωγήσαντος τὸν τοῦ βουλομένου σώζεσθαι ν. πρὸς τὸν ἀγένητον ...θεόν Or.*Cels.*6.66(p.136.26; M.11.1400A); id.*or.*2.4(p.302.1; M.11. 421A); πρὸς ὑποδοχὴν τοῦ νοητοῦ...σπέρματος, ὃ σπείρει μὲν αὐτὸς ὑπηχῶν καὶ καταφυτεύων ἐν τῷ βάθει τοῦ ν. Meth.*symp.*3.8(p.35.17; M.18.73A); *ib.*8.10(p.92.8; 153A); οἱ μὲν λοιποὶ διὰ τῆς ἀλλοιώσεως τοῦ σώματος ἐμποιοῦσι τῷ νῷ λογισμούς...ὁ δέ γε θεὸς τοῦνάντίον δρᾷ, αὐτῷ τῷ νῷ ἐπιβαίνει, καὶ ἐντιθεὶς αὐτῷ γνῶσιν,...καὶ διὰ τοῦ ν. τὴν τοῦ σώματος ἀκρασίαν κατευνάζων Evagr.Pont.*or.*63(M.79.1180D); ἡ τοῦ λόγου νόησις, ἀρίδηλος τοῦ γεννήσαντος αὐτὸν ν. καθέστηκε γνῶσις, ὡς ἐν ἑαυτῷ δεικνύντος ὑφιστάμενον κατ' οὐσίαν τὸν ν., πρὸς ὃν ἀνάγει τὸν ἐφιέμενον τῆς πρὸς θεὸν κατὰ χάριν ταυτότητος νοῦν Max.*qu.Thal.* 25(M.90.332Df.); **e.** ascent of the mind, exeg. 1Cor.11:3ff. τῷ τῆς ἀναγωγῆς προσβαίνοντες λόγῳ, φαμὲν ἄνδρα εἶναι τὸν πρακτικὸν ν., κεφαλὴν ἔχοντα τὸν λόγον τῆς πίστεως· πρὸς ὃν ὡς Χριστὸν ἀφορῶν...

παρθενεύ-ω, *live a virgin life, be celibate*; **1.** in gen. τοὺς μὲν ἀπ' ἀρχῆς ~οντας ὁρῶμεν, τοὺς δὲ ἀπὸ χρόνου †Just.*fr.res.*(p.39; M.6.1577A); Meth.*symp.*3.14(p.44.10; M.18.85A); ἀγνείαν...ἣν...γεωργοῦμεν ἡμεῖς αἱ ~ουσαι καὶ προσφέρομεν κυρίῳ *ib.*9.4(p.119.16; 188A); διαφέρουσιν οἱ μὴ ἐπιθυμοῦντες καὶ ἀγνεύοντες τῶν ἐπιθυμούντων τε καὶ ~όντων *ib.*11(p.138.10; 216B); ref. Mt.19:11 δέδοται γὰρ...τοῖς βουλομένοις...εἰ γὰρ τῆς ἄνωθεν δόσεως μόνης ἐστί, καὶ οὐδὲν αὐτοῖ συνεισφέρουσιν οἱ ~οντες, περιττῶς αὐτοῖς τὴν βασιλείαν τῶν οὐρανῶν ἐπηγγείλατο Chrys.*hom.*62.4 *in Mt.*(7.624C); as counsel, not precept, id.*hom.*21.5 *in 1Cor.*(10.186B); ὁ πορνεύων καὶ ὁ ~ων ἀμφότεροι τοῦ νόμου τὰ μέτρα ἐξέβησαν...ἀλλ' ὁ μὲν ἐπὶ τὸ χεῖρον κατενεχθείς, ὁ δὲ ἐπὶ τὸ βέλτιον ἐπαρθείς id.*comm.in Gal.*5:13(10.718C); οὐ πᾶς ὁ ποθῶν τὸ πρᾶγμα καὶ ~ει, ἀλλ' ὁ δυνάμενος Pall.*v.Chrys.*1(p.4.15; M.47.5); ref. inferiority of virginity to humility οὐ γὰρ ὁ ~ων γέγραπται, ἀλλ' ὁ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται Isid.Pel.*epp.*1.286(M. 78.352A); τῶν γὰρ...ἀνοήτων φροντίδων ἐλευθέραν ὁ ~ων ἔχει ψυχήν, καὶ τὸν μέλλοντα μιμεῖται βίον ὡς ἔνεστι Thdt.*1Cor.*7:32(3.210); Gr. Mag.*dial.*(tr.Zach.)4.17(M.*PL.*77.349A); motive prescribed εἴ τις ~οι...ὡς ἂν βδελύττων τῶν γάμων ἀναχωρήσας καὶ μὴ δι' αὐτὸ τὸ καλὸν καὶ ἅγιον τῆς παρθενίας, ἀνάθεμα ἔστω CGangr.*can.*9; of BMV πρὶν τόκου ~ουσα, παρθένος μετὰ τόκον Ephr.1.545F; Isid.Pel.*epp.* 1.404(M.78.408C); Jo.D.*carm.pasch.*33(p.219; M.96.841A); myst., of birth of Christ in soul ὅπερ...ἐν τῇ...Μαρίᾳ γέγονε σωματικῶς, τοῦ πληρώματος τῆς θεότητος ἐν τῷ Χριστῷ διὰ τῆς παρθενίας ἐκλάμψαντος· τοῦτο καὶ ἐπὶ πάσης ψυχῆς κατὰ λόγον παρθενευούσης γίνεται ...τοῦ κυρίου...πνευματικῶς εἰσοικιζομένου Gr.Nyss.*virg.*2(p.254.27; M.46.324B); **2.** met.; **a.** of purity of life and actions ἅπας ὁ βίος καὶ ἡ ζωὴ καὶ τὸ ἦθος ~ειν ὀφείλει Bas.*ascet.*1.1(2.319B; M.31.872B); πᾶν δὲ μέλος...ὄντως ~ειν Gr.Naz.*or.*43.62(M.36.577A); γλῶσσα ~έτω id.*carm.*1.2.3.51(M.37.636A); Gr.Nyss.*virg.*2(p.254.27; M.46.324B); Nil.*epp.*3.298(M.79.532A); ~ειν οὖν χρὴ τὰς κόρας τῶν ὀφθαλμῶν, ἰσωνυμίαν τῶν παρθένων τετιμημένας ‡Caes.Naz.*dial.*140(M.38.1060); **b.** of freedom from heresy κατὰ τὴν πίστιν π. Thdr.Stud.*epp.*2.19 (M.99.1176B); **3.** *be a monk* or *nun* Ἀγαλίαδις διάκονος καὶ Εὐτυχία ~σασα καὶ Κλαυδιανὴ ~σασα *ICG As.Min.*209 (Melos, ? saec. iv); ἐπέστη...τινι ~ούσῃ ‡Pall.*h.mon.*11.2(p.54.6; M.65.448D); θυγάτηρ ~ουσα ἐτελεύτησε Jo.Mosch.*prat.*78(M.87.2933C); †Jo.D.*B.J.*30(M. 96.1148A); **4.** of Indian ascetics, Clem.*str.*3.7(p.224.8; M.8.1164B).

παρθενία, ἡ, *virginity*;

A. def. and descriptions; etym. παρθεία γὰρ ἡ π. κατὰ μίαν ὑπαλλαγὴν καλεῖται στοιχείου, ὡς δὴ μόνη τὸν ἔχουσα καὶ τετελεσμένον αὐτῆς τὰς ἀφθόρους τελετὰς θεῷ παρεικάζουσα Meth.*symp.*8.1(p.81.4; M.18.137C); π. δέ, ὅτι παρὰ τῷ θεῷ τὸ νοούμενον τῆς τοιαύτης σωφροσύνης ἐστί ‡Pion.*v.Polyc.*14; οὐ γὰρ ἐν μόνῳ τῷ φείσασθαι τῆς παιδοποιΐας κατορθοῦται τὸ χάρισμα τῆς π., ἀλλ' ἅπας ὁ βίος...καὶ τὸ ἦθος παρθενεύειν ὀφείλει, διὰ παντὸς ἐπιτηδεύματος τοῦ ἀγάμου τὴν

ἀφθορίαν ἐπιδεικνύμενος. ἔστι γὰρ καὶ λόγῳ πορνεῦσαι, καὶ ὀφθαλμῷ μοιχεῦσαι...ὁ γὰρ ἐν τούτοις πᾶσιν ὑπὸ τὸν κανόνα τῆς π. ἑαυτὸν ἐγκρατείᾳ φυλάσσων, ἀληθῶς δείκνυσι τελείαν ἐν ἑαυτῷ...τῆς π. τὴν χάριν Bas.*ascet.*1.1(2.319B); M.31.872B); *π. μέν, τὴν ὄντως φημί...τοῦ κατὰ ψυχὴν ἀφθόρου κάλλους...ἐστὶν ἐξαίρετος* †Bas.Anc.*virg.*2(M.30.672D); *ἀληθὴς π. ἡ παντὸς τοῦ ἐξ ἁμαρτιῶν μολυσμοῦ καθαρεύουσα* Gr.Nyss. *virg.*proem.(p.248.14; M.46.317C); *νέκρωσις δὲ σώματος ἡ π. ἐστί ib.* 19(p.323.9; 396B); *παρθενίας ὅρος τό, καὶ σώματι καὶ πνεύματι εἶναι ἁγίαν* Chrys.*virg.*6(1.272C); *οὐκ ἐν τοῖς ἱματίοις, οὐδὲ ἐν τοῖς χρώμασιν ἡ π., ἀλλ' ἐν σώματι καὶ ψυχῇ ib.*7(272E); *ἡ π. διὰ τοῦτο καλόν, ὅτι πᾶσαν ἐκκόπτει φροντίδος ὑπόθεσιν περιττῆς ib.*77(329D); *ἡ ὄντως π. ἐν κυρίῳ, ἁγία ἐστὶν τῷ σώματι καὶ τῷ πνεύματι, ἀπερισπάστως...τῷ κυρίῳ λατρεύουσα ἐν πνεύματι θεοῦ, καθαρῶς...ἀρέσκουσα τῷ κυρίῳ... καὶ ἐν πνεῦμά ἐστιν πρὸς κύριον* Ant.Mon.*hom.*21(M.89.1497C).

B. as highest state of human life; **1.** unknown in OT and pagan antiquity *μὴ...νομίσῃς τὸ τῆς π. μέγεθος μικρὸν εἶναι. τοσοῦτόν ἐστιν ἡ π., ὅτι οὐδεὶς ἠδυνήθη τῶν ἀρχαίων τοῦτο τηρῆσαι. διὰ τοῦτο γὰρ ἡ χάρις μεγάλη, ὅτι ἃ ἦν φοβερὰ ἐν τοῖς προφήταις...ταῦτα ἐγένετο νῦν εὐκαταφρόνητα...βάρυ γὰρ τὸ τῆς π. κτῆμα οὕτως, ὡς μηδένα ταύτην ἀσκῆσαι. Νῶε...γυναικὶ προσωμίλησεν· ὁμοίως δὲ Ἀβραὰμ...βάρυ γὰρ ἦν τὸ ἐπάγγελμα τῆς π. ἐκ τότε ἰσχυρὰ ἡ π. ἐγένετο, ἐξ ὅτε τὸ ἄνθος τὸ τῆς π. ἐβλάστησεν· οὐδεὶς τοίνυν τῶν παλαιῶν ἠδυνήθη π. ἀσκῆσαι· μέγα γὰρ πρᾶγμα, σῶμα χαλινῶσαι* Chrys.*poenit.*3.3(2.298A–C); *χρημάτων μὲν ἕνεκεν ὀλίγους, εἶχον δὲ ὅμως δεῖξαί τινας Ἕλληνες παρ' αὐτοῖς φιλοσοφήσαντας...π. δὲ ἄνθος οὐδαμοῦ παρ' αὐτοῖς...ὁμολογοῦντες ἀνωτέρω τῆς φύσεως εἶναι τὸ κατόρθωμα* id. *fem.reg.*1(1.249A); *τὸ τῆς π. καλὸν ἀποστρέφονται μὲν Ἰουδαῖοι...θαυμάζουσι δὲ Ἕλληνες καὶ καταπλήττονται, ζηλοῖ δὲ μόνη ἡ ἐκκλησία τοῦ θεοῦ* id.*virg.*1(1.268A); *παρὰ δὲ Ἕλλησιν καὶ...φιλοσόφοις, οὐ μόνον δὲ ὅτι οὐδέπω ἐφάνη π., ἀλλ' οὐδὲ πιστεύουσίν τινα ἄνθρωπον...ταύτῃ ἀντοφθαλμῆσαι· καὶ δικαίως· πῶς γὰρ πιστεύσωσιν περὶ παρθενίας, οἱ τὰ αἰσχρὰ πάθη θεοποιήσαντες...; Ἰουδαῖοι δὲ μέχρι τῆς σήμερον, π. μὲν οὔτε ἀσπάζονται, οὔτε μετέρχονται* Ant.Mon.*hom.*21(M.89.1496C,D); though practised by some OT saints, Jo.D.*f.o.*4.24(M.94.1209A); **2.** revealed by Christ and present in Church *ἐξεταστέον, δι' ἣν αἰτίαν πολλῶν προφητῶν...πολλὰ καὶ καλὰ διδαξάντων...π. οὐδεὶς οὔτε ἐνεκωμίασεν οὔτε εἵλετο. μόνῳ...ἐφυλάσσετο τοῦτο πρεσβεῦσαι τὸ μάθημα τῷ κυρίῳ, ἐπεὶ καὶ μόνος παρελθὼν ἄνθρωπον ἐδίδαξε χωρεῖν εἰς θεόν...τὸ δὲ παλαιὸν οὐδέπω τέλειος ὁ ἄνθρωπος ἦν, καὶ διὰ τοῦτο τὸ τέλειον οὐδέπω χωρῆσαι, τὴν π., ἴσχυεν* Meth.*symp.*1.4(p.12.16ff.; M.18.44C); *ἡ π. διαδεξαμένη τὸν νόμον Χριστοῦ ταγαῖς τῶν ἀνθρώπων ἐβασίλευσεν ib.* 10.1(p.122.7; 193A); *τίς οὖν ἀνθρώπων μετὰ θάνατον ἢ ὅλως ζῶν περὶ παρθενίας ἐδίδαξε, καὶ οὐκ ἐνόμισεν ἀδύνατον εἶναι τὴν ἀρετὴν ταύτην ἐν ἀνθρώποις; ἀλλ' ὁ ἡμέτερος σωτὴρ...τοσοῦτον ἴσχυσεν ἐν τῇ περὶ ταύτης διδασκαλίᾳ, ὡς καὶ παιδία μήπω τῆς νομίμης ἡλικίας ἐπιβάντα τὴν ὑπὲρ τὸν νόμον ἐπαγγέλλεσθαι π.* Ath.*inc.*51.1(M.25.185D–188A); *μέγα π. ... καὶ τὸ μετ' ἀγγέλων τετάχθαι...ὀκνῶ γὰρ εἰπεῖν Χριστοῦ, ὅς, καὶ γεννηθῆναι θελήσας διὰ τοὺς γεννητοὺς ἡμᾶς, ἐκ παρθένου γενναῖται, π. νομοθετῶν* Gr.Naz.*or.*43.62(M.36.576C); id.*carm.*1.2.1.193(M. 37.537A); *εἶδες...τῆς π. τὸ ἄνθος; τοῦτο τῆς ἐκκλησίας τὸ ἱμάτιον* Chrys.*exp.in Ps.*44:15f.(5.180D); foretold in Ps.44:16, †Chrys.*Jud. et gent.*7(1.568A); *ἐφ' οὗ γὰρ...Χριστὸς...ηὐδόκησεν ἐκ τῆς...ἀειπαρθένου Μαρίας τῷ κόσμῳ ἐπιφανῆναι...εὐχερῶς ἐξανύεται παντὶ τῷ βουλομένῳ· τοιαύτη τῆς π. ἡ ἀρετή* Ant.Mon.*hom.*21(M.89.1497A); highest grade of life in Church, Epiph.*exp.fid.*21(p.521.33f.; M.42. 824A); **3.** even in Church only counselled, not prescribed; **a.** in gen. *οὐ νομοθετεῖ...οὔτε διὰ Μωϋσέως π. ὁ κύριος...οὔτε ἐν εὐαγγελίῳ ...οὐδαμοῦ ἐν ταῖς ἐντολαῖς π., οὔτ' ἐν παλαιᾷ, οὔτε ἐν καινῇ διαθήκῃ, νομοθετήσας* †Bas.Anc.*virg.*55(M.30.780C); *τοσοῦτον γάρ ἐστιν ἡ π. πρᾶγμα...ὅτι κατελθὼν ὁ Χριστὸς ἐξ οὐρανοῦ...οὐδὲ τότε ἐθάρρησεν ἐπιτάξαι τοῦτο...ἀλλ' ἀποθνήσκειν μὲν ἐνομοθέτησεν...καὶ ἐχθροὺς εὐεργετεῖν, παρθενεύειν δὲ οὐκ ἐνομοθέτησεν* Chrys.*ep.*2.7(3.542C); Ant. Mon.*hom.*21(M.89.1496B); **b.** exeg. Mt.19:11 *μεγάλα περὶ παρθενίας διελέχθη εἰπών· εἰσὶν εὐνοῦχοι...ἐστι φύσει τὸ πρᾶγμα μέγα, καὶ δείκνυται ἐξ ὧν οὔτε ἐν τῇ παλαιᾷ ὑπὸ τῶν...ἁγίων ἀνδρῶν...κατωρθώθη, καὶ ἐν τῇ καινῇ δὲ οὐκ ἦλθεν εἰς ἀνάγκην νόμου* Chrys.*hom.78.1 in Mt.* (7.751B); **c.** exeg. 1Cor.7:25ff. *θεοδώρητον εἶναι τὸ τῆς π. ἐπιτήδευμα παρεγγυᾷ· ὅθεν τοὺς κατὰ πρόφασιν κενοδοξίας τῶν ἀκρατεστέρων ἐπὶ τοῦτο παρελθόντας ἀποβάλλεται, συμβουλεύων γαμεῖν* Meth.*symp.* 3.14(p.44.2; M.18.84C); *ἐπὶ...τῆς παρθένου γνώμην δίδωσιν, ἐνταῦθα* [i.e. for marriage] *δὲ συγγνώμην. ἐπιτάττει δὲ οὐδέτερον οὐ διὰ τὴν αὐτὴν αἰτίαν, ἀλλ' ἐνταῦθα μέν, ἵνα μή τις ἀναβῆναι ἀπὸ τῆς ἀκρασίας βουλόμενος κωλύηται, ὡς ἐπιτάγματος ἀνάγκῃ δεδεμένος· ἐκεῖ δέ, ἵνα μή τις ἀναβῆναι πρὸς τὴν π. ἀδυνατῶν κατακρίνηται, ὡς προστάγματος παρακούων* Chrys.*virg.*34(1.293E); *ἐπειδὴ ὁ κύριος οὐκ ἐπέταξε π., διὰ τοῦτο οὐδὲ ἐγώ· συμβουλεύω δὲ ὑμῖν ib.*42(1.303A); *ib.*47(1.307D); *ib.* 76(329A); Thdt.*1Cor.*7:26f.(3.208); cf. *ὡς οὖν ὁ κύριος τοὺς τρόπους τῆς κατὰ τὴν π. εὐνουχίας ἐρωτηθείς, οὕτως ὁ μαθητὴς τῆς π. τὴν συμβουλὴν εἰσηγήσατο* †Bas.Anc.*virg.*56(M.30.781C); **4.** as gift of God needing divine grace *τὸ γὰρ μέγιστον...δῶρον, οὗ μηδὲν ἀντάξιον ἄλλο προσενέγκασθαι πάρεστιν ἀνθρώποις θεῷ, τὸν ἆθλον τῆς π. εἶναι πέπεισμαι* Meth.*symp.*5.1(p.53.8; M.18.97A); Gr.Nyss.*virg.*1(p.251. 14; M.46.320C); *ib.*19(p.323.20; 396C); *τῆς π. τὸ ἀξίωμα...ὑπεραναβαῖνον τὴν φύσιν τὴν ἀνθρωπίνην, καὶ τῆς ἄνωθεν δεόμενον χειρός* Chrys. *hom.18.4 in Gen.*(4.155B); **5.** as angelic state of life, Ath.*apol.Const.* 33(M.25.640A); †Bas.Anc.*virg.*68(M.30.808D); Cyr.H.*catech.*6.35; *ib.* 15.23; Gr.Nyss.*virg.*13(p.308.23; M.46.380D) cit. s. *ἀνάστασις; π., τὸ τῶν ἀγγέλων πολίτευμα, τὸ πάσης ἀσωμάτου φύσεως ἰδίωμα* Jo.D. *f.o.*4.24(M.94.1209B); **6.** as higher state than marriage *δύο γὰρ οὐσῶν ὁδῶν ἐν τῷ βίῳ...μιᾶς μὲν μετριωτέρας καὶ βιωτικῆς, τοῦ γάμου λέγω· τῆς δὲ ἑτέρας ἀγγελικῆς καὶ ἀνυπερβλήτου, τῆς π.* Ath.*ep.Amun.*(M. 26.1173C); *εἰ γάρ τις...ἐξετάζειν ἐθέλοι τοῦ βίου τούτου* [sc. marriage] *τὸ πρὸς τὴν π. διάφορον, τοσαύτην εὑρήσει τὴν διαφοράν, ὅση σχεδὸν τῶν ἐπιγείων ἐστὶ πρὸς τὰ οὐράνια* Gr.Nyss.*virg.*3(p.257.8; M.46.325C); *ἔτι οὖν τολμήσει τις,...τῇ π. τὸν γάμον παραβάλλειν;...οὐκ ἀφίησιν ὁ ...Παῦλος, πολὺ τὸ μέσον ἑκατέρου τοῦ πράγματος θείς· ἡ μὲν γὰρ τὰ τοῦ κυρίου, φησίν, ἡ δὲ τὰ τοῦ κόσμου μεριμνᾷ* Chrys.*virg.*34(1.293A); *ὅσῳ...ἄγγελος ἀνθρώπου ὑπέρτερος, τοσούτῳ π. γάμου τιμιωτέρα* Jo.D. *f.o.*4.24(M.94.1209C); superior to widowhood, Chrys.*hom.in 1Tim.* 5:9(3.316B); because surpassing nature, †Bas.Anc.*virg.*55(M.30. 780D); because not, like marriage, followed by death, Chrys.*virg.*14 (1.279E); ref. idea that marriage was consequence of Fall *παρὰ τὴν ἀρχήν, εἰ τοῖς προστάγμασιν αὐτοῦ πεισθέντες οἱ περὶ τὸν Ἀδὰμ τῆς ἡδονῆς ἐκράτησαν τοῦ ξύλου, οὐκ ἂν ἠπόρησεν ὁδοῦ δι' ἧς τὸ τῶν ἀνθρώπων γένος αὐξήσει. οὔτε γὰρ ὁ γάμος μὴ βουλομένου θεοῦ δυνήσεται ποιῆσαι πολλοὺς τοὺς ὄντας ἀνθρώπους, οὐδὲ ἡ π., βουλομένου πολλοὺς εἶναι, λυμανεῖται τὸ πλῆθος ib.*15(280B); as having sanctifying efficacy *εἰ καὶ τίμιος ὁ γάμος, ἀλλὰ μέχρι τοσούτου φθάσαι δύναιτ' ἄν, ὥστε μὴ μολῦναι τὸν χρώμενον, τὸ δὲ καὶ ἁγίους ἀποφαίνειν, οὐκέτι τῆς ἐκείνου δυνάμεως, ἀλλὰ τῆς π. ἐστίν ib.*30(290B); but marriage not therefore to be disparaged, CGangr.*can.*9 cit. s. *παρθενεύω; ὁ δὲ τίμιος γάμος ὑπέρκειται παντὸς δώρου γηΐνου, ὡς ἔγκαρπον δένδρον... ὡς ῥίζα τῆς π. ... περίελε...γάμον, καὶ ποῦ εὑρήσεις τὸ τῆς π. ἄνθος; ἔνθεν γὰρ καὶ οὐκ ἀλλοθεν, τὸ τῆς π. ἄνθος ἀναλέγεται. ταῦτα δὲ λέγοντες, οὐ μάχην παρεισβάλλομεν μεταξὺ π. καὶ γάμου...ἄνευ γὰρ... θεοσεβοῦς εὐσεβείας οὔτε π. σεμνή, οὔτε γάμος τίμιος* Amph.*hom.*2.1 (M.39.45Af.); *ὁ...τὸν γάμον κακίζων καὶ τὴν τῆς π. ὑποτέμνεται δόξαν. ὁ δὲ τοῦτον ἐπαινῶν μᾶλλον ἐκείνης ἐπαίρει τὸ θαῦμα...καλὸν ὁ γάμος. καὶ διὰ τοῦτο ἡ π. θαυμαστόν, ὅτι καλοῦ κρεῖττόν ἐστι. καὶ τοσοῦτῳ κρεῖττον, ὅσῳ τῶν ναυτῶν ὁ κυβερνήτης* Chrys.*virg.*10(1.275Bf.); Jo.D. *f.o.*4.24(M.94.1209B).

C. virginity as spiritual rather than physical state; **1.** in gen. *πολλοὶ τῷ ὀνόματι τῆς π. μόνῳ προσέχοντες, οὐδέν τι τῆς ἀληθοῦς π. φροντίζουσι· διὰ τοῦτ' ἀναγκαίως οἶμαι τοῖς τὸν ὑπὲρ παρθενίας στέφανον ποθοῦσι λαβεῖν, ὑποφωνῆσαι τὰ ἐνόντα σπουδάσω, ὡς ἂν μὴ δι' ἄγνοιαν ἀμελήσαντες τοῦ προηγουμένου καλοῦ, προσαναλώσωσι μὲν τῇ τῆς θεραπαίνης δουλείᾳ πάντα τὸν βίον, διὰ δὲ τὸ μηδέποτε τὴν δέσποιναν ταύτης θεραπεῦσαι, καὶ τὴν τοῦ σώματος π. οὐ κοσμουμένην τῷ τῆς ἐνδοθεν κάλλει, μετὰ πολλοὺς ἱδρῶτας ζημιωθῶσιν* †Bas.Anc.*virg.*2(M. 30.673A); cf.*ib.*13(696D); *οὐκ ἀπὸ σωμάτων...ἐπὶ ψυχὰς αὐτὴ ὁδεύει· ἀλλὰ ψυχῆς τῆς ἀσωμάτου οὖσα ἐξαίρετος, τῇ ταύτης θεοφιλεῖ π. ἄφθορα φυλάττει τὰ σώματα. τοῦ γὰρ ὄντως καλοῦ ἡ ψυχὴ φαντασίαν λαβοῦσα...τὴν τοῦ σώματος π., θεράπαιναν εἰς τὴν τοῦ καθ' ἑαυτὴν κάλλους θεραπείαν ἐπάγεται, καὶ πάρεδρον...πρὸς τὴν τοῦ θεοῦ θεωρίαν ταύτην ἔχειν ἀεὶ βουλομένη, τὰς...τοῦ σώματος ἡδονὰς...ἐλαύνει. τὴν μὲν τῶν ὑπὸ γαστέρα ἡδονῶν ἐγκράτειαν, τῆς σωματικῆς π. θεράπαιναν ...ποιουμένη· ὡς τὰ ἄλλα μὲν ἅπαντα, καὶ τροφῶν ἐγκράτειαν...μαχομένην ταῖς ῥεούσαις κατὰ τῆς ἐν σώματι π. διὰ τῶν αἰσθήσεων ἡδοναῖς· ἀλλὰ καὶ αὐτὴν τὴν τοῦ σώματος π. ... δι' ἑαυτὴν...ἀσκεῖσθαι, ἵνα τὴν ἑαυτῆς π. ἄφθορον ἁπάσης μοχθηρᾶς ἐννοίας φυλάξασα, τὴν πρὸς τὸν ἄφθαρτον θεὸν ἐξομοίωσιν...κερδήσῃ ib.*2(672B,C); *οὐχ ἁπλοῦν...τὸ κατόρθωμα τοῦτό ἐστιν, οὐδὲ μέχρι τῶν σωμάτων ἱστάμενον, ἀλλ' ἐπὶ πάντα...διαβαῖνον τῇ πνοίᾳ, ὅσα κατορθώματα ψυχῆς ἔστι...ἡ γὰρ τῷ...νυμφίῳ προσκολληθεῖσα διὰ παρθενίας ψυχή, οὐ μόνον τῶν σωματικῶν μολυσμάτων ἑαυτὴν ἀποστήσει, ἀλλ' ἐντεῦθεν μὲν ἄρξεται τῆς καθαρότητος, ἐπὶ πάντα...μετὰ τῆς ἴσης ἀσφαλείας πορεύσεται* Gr. Nyss.*virg.*14(p.310.3; M.46.381C); hence π. not affected by rape, ‡Chrys.*hom.in Ps.*95:1(5.635E); **2.** preservation of true virginity; **a.** in struggle against temptations *ἐπειδὴ οὖν θεῖον...τι χρῆμα ἡ π. ἐστί...ἡ δὲ παρθένος οὐδὲν τῆς θήλεος ἡδονῆς ἐπιφερομένη ἐκ σώματος μόλυσμα, πάντα δὲ τὰ σαρκὸς πάθη ἐκδῦσα, καθαρὰν ἑαυτὴν τῷ θεῷ... παραστῆσαι φιλοτιμεῖται· δῆλον ὡς βιαστῶν ἆθλον εἶναι τὴν τῶν οὐρανῶν*

βασιλείαν γινώσκουσα βιάσασθαι πρὸς τὸν προκείμενον σκοπὸν τὴν ἑαυτῆς φύσιν ὀφείλει †Bas.Anc.*virg.*4(M.30.677B); τοῦ πολέμου τοῦ πρὸς τὴν π. οὐκ ἔστιν ἀποχή· διάβολος γάρ ἐστιν ὁ πολεμῶν...ἔστηκεν ἀεὶ ζητῶν τὴν παρθένον γυμνὴν εὑρεῖν, ἵνα καιρίαν ἐπαγάγῃ τὴν πληγήν Chrys.*poenit.*3.3(2.298C); πολλῶν ἱδρώτων καὶ μεγάλης ἡ π. δεῖται τῆς ἀγωνίας id.*virg.*13(1.277E); cf.*ib.*(278C); *ib.*41(301E); **b.** in practice of virtue ὑποκείσθω...ἀντὶ θεμελίου τινὸς τῷ κατ' ἀρετὴν βίῳ ἡ περὶ τὴν π. σπουδή, ἐποικοδομείσθω δὲ τῷ θεμελίῳ τούτῳ πάντα τὰ ἔργα τῆς ἀρετῆς Gr.Nyss.*virg.*17(p.317.1; M.46.389A); ὁ τῆς π. κόσμος...οὐ γὰρ λίθοι καὶ χρυσός...ἀλλ' ἀντὶ τούτων νηστεῖαι,...πραότης, ἐπείκεια, πενία...ταπεινοφροσύνη Chrys.*virg.*63(1.320D); *ib.*84(335E); μέγα τὸ τῆς π. ἀξίωμα...π. γὰρ ἀξίωμα οὐκ ἀποσχέσθαι γάμων μόνον, ἀλλὰ τὸ φιλάνθρωπον εἶναι καὶ φιλάδελφον καὶ συμπαθητικόν. τί γὰρ ὄφελος π. μετὰ ὠμότητος id.*hom.*1.7 *in 2Cor.*4:13(3.266B); ref. almsgiving, id.*poenit.*3.3(2.298E); id.*hom.in 1Tim.*5:9(3.316B); ὅτι ἄμωμον...τὴν οἰκείαν π. φυλάξαι σπουδάζουσι...οὐ μόνον τὴν ἐπιθυμίαν κολάσαι ὀφείλουσιν, ἀλλὰ καὶ φιλοχρηματίαν, καὶ κενοδοξίαν, καὶ γαστριμαργίαν ...σὺν πάσῃ κακίᾳ Nil.*epp.*3.298(M.79.532A); v. ἐλεημοσύνη; **c.** in mortified life ἀναγκαῖον τὴν μέλλουσαν τῶν πρὸς τὰς μίξεις ἡδονῶν διὰ παρθενίας κρατεῖν, πολλῷ πλέον πρότερον τῆς κατὰ τὴν γεῦσιν ἡδονῆς, ὡς ἐπαντλούσης ἐκείνῃ τὰς ὕλας, ἄρχουσαν δείκνυσθαι †Bas.Anc.*virg.* 7(M.30.681C); οἷδεν ἀρίστη πολιτεία τρέφειν τοὺς τῆς π. καρποὺς· μᾶλλον δὲ καὶ ῥίζα καὶ καρπὸς παρθενίας ὁ ἐσταυρωμένος βίος ἐστίν Chrys.*virg.*80(1.332C); **d.** in retirement, ref. Rom.10:6ff. οὕτω καὶ ἐπὶ τῆς π. φησί· μὴ εἴπῃς, πῶς ἀναβῶ εἰς τὸν οὐρανόν, ἐκεῖθεν τὴν τῆς π. μου ἀφθορίαν καταγαγεῖν; ἢ πῶς καταβήσομαι εἰς τὴν ἄβυσσον...; ἐγγύς σου ἐστί...καὶ κατὰ φύσιν σοι συγγενναῖται ἡ π. ... καὶ εἰ βούλει ταύτην παρά σοι ἄσυλον μένειν, διὰ βίου σαββάτιζε· τουτέστι, μένε ὃ ἐγεννήθης·...οὐκ ἔχεις τοίχους καὶ περιβόλους ὑπεράλλεσθαι, ἵνα τὴν π. θηράσῃς. ἀλλὰ ταῦτα μὲν πράττουσα, καὶ ἀπολέσεις ἴσως τὴν π. ἐπὶ τῆς κοίτης δὲ σαββατίζουσα, καθαρὰν αὐτὴν φυλάξεις, καὶ οὕτω μὲν εὐκόλως...τὴν π. ... ἕξεις †Bas.Anc.*virg.*59(M.30.788B,C); **e.** with help of a guide ἐπειδὴ νέοι ἔτι καὶ ἀτελεῖς τὴν διάνοιαν οἱ πολλοὶ τῆς π. ἀντιλαμβάνονται, τοῦτο πρὸ πάντων αὐτοῖς ἐπιτηδευτέον ἂν εἴη, τὸ ζητῆσαι τῆς ὁδοῦ ταύτης ἀγαθὸν καθηγεμόνα Gr.Nyss.*virg.*23(p.336. 19; M.46.408D); **3.** as implying consecration to God ἀνατιθέναι λέγομεν τελείως ἑαυτὸν τῷ θεῷ, ὃς καὶ τὴν σάρκα ἄχραντον ἐκ παίδων φιλοτιμεῖται φυλάττειν, π. ἀσκῶν Meth.*symp.*5.3(p.56.12; M.18.101B); ἡ δὲ παρθένος τὸν ἑαυτῆς νυμφίον...περιέπουσα...τούτῳ μᾶλλον τὰς ἀχράντους νύμφας πρὸς ἀφθορίαν προμνηστευέσθω...ἑπομένη τῷ νυμφίῳ, ᾧ τῷ οἰκείῳ φωτὶ τῆς π. καὶ ἑτέρας πρὸς παρθενίαν νυμφεύουσα †Bas. Anc.*virg.*21(M.30.713A); τὴν Χριστῷ διὰ τῆς κατὰ τὴν π. ὑποσχέσεως ἁρμοσθεῖσαν...σοφὴν προσήκει...εἶναι *ib.*50(768C); π. μὲν ὅλην ἀνάθημα θεοῖο Gr.Naz.*carm.*1.2.1.527(M.37.562A); τάχα ὁ τολμήσας εἰπεῖν τὴν σωματικὴν π. τοῦ ἔνδοθεν καὶ πνευματικοῦ γάμου συνεργόν...γίνεσθαι, οὐ πόρρω τοῦ εἰκότος ἀποτολμήσει Gr.Nyss.*virg.*19(p.325.6; M.46. 397A): ‡Chrys.*Thecl.*(2.750E); hence mere fact of physical virginity of no value, ‡Chrys.*hom.in Ps.*95:1(5.635D,E).

D. effects; **1.** natural advantages εἰ βούλει μαθεῖν τὰ δυσχερῆ τοῦ κοινοτέρου βίου, ἄκουσον οἷα λέγουσιν αἱ τῇ πείρᾳ τὸν βίον γνωρίσασαι, ὅπως μακαρίζουσι τὴν ζωὴν τῶν...τὸν ἐν π. βίον προελομένων...ὅτι πάντων τῶν τοιούτων κακῶν ἀνεπίδεκτός ἐστιν ἡ π.· οὐκ ὀρφανίαν θρηνεῖ, οὐ χηρείαν ὀδύρεται Gr.Nyss.*virg.*3(p.264.8; M.46.333C); λυσιτελὲς εἶναι νομίζομεν τοῖς ἀσθενεστέροις εἰς τὴν π. ὡς εἰς ἀσφαλές τι φρούριον καταφεύγειν *ib.*9(p.287.18; 357D); less trouble than in married life, Chrys.*virg.*55–58(1.315A–319A); **2.** union with God τὸ ἐν π. ... μεῖναι μᾶλλον παρίστησι τῷ θεῷ Athenag.*leg.*33.1(M.6. 965A); Meth.*symp.*6.2(p.65.14; M.18.116A); Chrys.*virg.*78(1.331C); θυσιαστήρια, καὶ ναός, καὶ κειμήλια θεοῦ διὰ τῆς π. πεφήνατε Nil.*epp.* 2.31(M.79.212D); **3.** likeness to angels οἱ τὴν π. ἀσκοῦντες ἀγγελοί εἰσιν, ἐν ἀφθάρτοις σαρξὶ τὸν τῶν ἀνθρώπων βίον περιπολοῦντες· καὶ ἄγγελοι οὐκ ἄσημοί τινες, ἀλλὰ...ἐπιφανέστατοι. ὅτι ἐκείνων ἄνευ σαρκῶν κατὰ τὸν οὐρανὸν τὴν ἀφθαρσίαν καὶ τόπῳ καὶ ἀβιάστῳ φύσει παρὰ τῷ...θεῷ φυλαττόντων, οὗτοι ἐπὶ γῆς σαρκὸς ἡδοναῖς ἐνοχλούμενοι, καὶ τῇ πείρᾳ τοῦ διαβόλου ἐκκείμενοι, τὴν ἀφθαρσίαν ἰσάγγελον δι' ἀρετῆς τῷ ποιητῇ παραδοξότερον διεφύλαξαν †Bas.Anc.*virg.*51(M. 30.772B); τῆς ὑψηλῆς ἐπιθυμίας συνεργόν...τῷ ἀνθρώπῳ τὴν π. δεδόσθαι φαμὲν...δοκεῖ καὶ τὸ τῆς π. ἐπιτήδευμα τέχνη τις εἶναι...τῆς θειοτέρας ζωῆς, πρὸς τὴν ἀσώματον φύσιν τοὺς ἐν σαρκὶ ζῶντας ὁμοιοῦσθαι διδάσκουσα Gr.Nyss.*virg.*5(p.276.24; M.46.348B); εἴδες τῆς π. ἀξίωμα; τοὺς ἐπὶ τῆς γῆς διατρίβοντας τοῖς ἐν οὐρανοῖς διαιτωμένοις ὁμοίους πολιτεύεσθαι ποιεῖ...ἀνθρώπους ὄντας εἰς τὸν αὐτὸν τῶν ἀγγέλων ἄγει ζῆλον Chrys.*virg.*11(1.276A); cf. θεῖον...καὶ τῆς...τῶν ἀσωμάτων τάξεως, τὸ...τῆς π. ἔνδυμα Procl.CP *or.*6.2(M.65.724A); **4.** deification μέγα...π., τῷ ἀφθάρτῳ θεῷ...ἐξομοιοῦσα τὸν ἄνθρωπον †Bas.Anc.*virg.*2(M.30.672B); εἰ γὰρ τὸ κατόρθωμα τῆς...π. ἐστὶ τὸ ἄμωμόν τινα γενέσθαι καὶ ἅγιον (ταῦτα δὲ τὰ ὀνόματα κυρίως...εἰς δόξαν προλαμβάνεται τοῦ ἀφθάρτου θεοῦ), τίς μείζων ἔπαινος παρθενίας, ἢ τὸ ἀποδειχθῆναι διὰ τούτων θεοποιοῦσαν τρόπον τινὰ τοὺς τῶν καθαρῶν αὐτῆς μυστηρίων μετεσχηκότας εἰς τὸ γενέσθαι αὐτοὺς κοινωνοὺς τῆς δόξης τοῦ...ἁγίου...θεοῦ, διὰ καθαρότητος αὐτῷ καὶ ἀφθαρσίας οἰκειουμένους; Gr.Nyss.*virg.*1(p.252.4ff.; M.46.320D); **5.** overcoming of death, *ib.*13(p.305.10ff.; 377A,C,D); **6.** access to heaven π. γὰρ βαίνειν μὲν ἐπὶ γῆς, ἐπιψαύειν δὲ τῶν οὐρανῶν ἡγητέον Meth.*symp.*1.1(p.8.4; M.18.37B); ref. Ps.136 αἱ τὸ...εὐπρεπὲς τῆς π. ὑποδῦσαι...κάλλος, καὶ στεῖραι...τῶν ῥευστῶν...εὐρεθεῖσαι παθῶν, ἐπὶ γῆς ἀλλοτρίας οὐ μελῳδοῦσι τὴν ᾠδήν, ὅτι μὴ φέρονται τὰς ἐλπίδας τῇδε...ἀλλ' εὖ καὶ γενναίως μετὰ φρονήματος ὑψηλοῦ τὰς ἐπαγγελίας ἄνω περιαθροῦσι *ib.* 4.5(p.50.21; 93A); *ib.*8.2(p.83.7; 141A); ἡ π. ... τοῦ ἀφθάρτου βίου ...σπέρμα †Bas.Anc.*virg.*51(M.30.772A); ἡ π. κατὰ φύσιν γνωρίσασα, ὅτι ὥσπερ εἰς τὴν τοῦ παρόντος βίου σποράν διὰ τῆς τῶν γάμων ἡδονῆς τὰ σπέρματα τῆς ἀνθρωπότητος κατεβάλετο, οὕτω καὶ εἰς τὸν ἐκεῖ βίον τὰ σπέρματα τοῦ βίου ἡμῶν διὰ τῆς ἀφθορίας ἐντεῦθεν ἤδη καταβάλλεσθαι, σπουδάζει δι' ἑαυτῆς καθαρὰ τὰ τῆς ἀφθαρσίας σπέρματα πρὸς τὸν ἄφθαρτον βίον τῷ γεωργῷ εὐτρεπίζειν *ib.*54(776D); ἡ ἀληθινὴ π. ... εἰς τοῦτον τὸν σκοπὸν καταλήγει, τὸ δι' αὐτῆς δυνηθῆναι τὸν θεὸν ἰδεῖν Gr.Nyss.*virg.*11(p.297.4; M.46.368D); hence linking of earth to heaven, *ib.*2(p.255.4; 324B).

E. types of virginity; **1.** willow, exeg. Ps.136 ἐν τύπῳ γὰρ τῆς π. τὴν ἰτέαν πανταχοῦ παραλαμβάνουσιν αἱ θεῖαι γραφαί, ἐπειδήπερ τὸ ἄνθος αὐτῆς εἰς ὕδωρ ἀποτριβέν, ἐὰν ποθῇ, πᾶν ὅσον εἰς ὀχείας ἀναζεῖ καὶ ἐρεθισμοὺς κατασβέννυσιν...εἰς ὕψος γὰρ τότε τὸ τῆς π. ἔρνος μεγεθύνεται...ὁπόταν ὁ δίκαιος καὶ ἐγκεχειρισμένος τηρεῖν αὐτὴν καὶ ἐργάζεσθαι τοῖς ἡπιωτάτοις τοῦ Χριστοῦ νάμασιν ἀρδεύῃ, σοφίᾳ καταψεκάζων, ὃν γὰρ τρόπον τὸ δένδρον τοῦτο χλοηφορεῖν πέφυκεν ὕδατι καὶ βλαστάνειν, οὕτως ἐπανθεῖν ἀεὶ καὶ ἐπακμάζειν πιαινομένη λόγοις πέφυκεν ἡ π. Meth.*symp.*4.3(pp.48.20–49.11; M.18.89D–92A); **2.** altar in Holy of Holies, *ib.*5.8(p.63.2; 112B); **3.** instrument played by Miriam εὐθέως μετὰ τὴν θάλασσαν...εὔηχον μεταχειριζομένη τὸ τύμπανον...τάχα γὰρ διὰ τοῦ τυμπάνου τὴν π. ἔοικεν ὁ λόγος αἰνίττεσθαι ὑπὸ τῆς Μαρίας πρώτης κατορθωθεῖσαν, δι' ἧς οἶμαι καὶ τὴν θεοτόκον προδιατυποῦσθαι Μαρίαν. ὥσπερ γὰρ τὸ τύμπανον πολὺν τὸν ἦχον ἀφίησι, πάσης ἰκμάδος κεχωρισμένον...οὕτω καὶ ἡ π. λαμπρά τε καὶ περιβόητος γίνεται μηδὲν ἐν ἑαυτῇ τῆς ζωτικῆς ἰκμάδος...προσδεχομένη Gr.Nyss.*virg.*19(p.322.27ff.; M.46.396A,B); **4.** lamps of ten virgins οὐ περὶ ἐλαίου ἐνταῦθα καὶ πυρὸς διαλεγομένη ἡ γραφή, ἀλλὰ περὶ π. καὶ φιλανθρωπίας, καὶ τὴν μὲν π. ἐν τάξει πυρός, τὴν δὲ ἐλεημοσύνην ἐν τάξει ἐλαίου τίθησι, δεικνῦσα ὅτι σφόδρα δεῖται φιλανθρωπίας ἡ π. Chrys.*anom.*8.2(1.515E); λαμπάδας...τὸ τῆς π. χάρισμα id.*hom.*78.1 *in Mt.*(7.751D); **5.** ref. Ps.118:91 ἡμέραν... νοητέον τὴν φωτοειδῆ π. Nil.*epp.*2.118(M.79.252B).

F. reasons why not counselled in pre-Christian times μεγάλη... ὑπερβολῇ τὸ τῆς π. ἀνθρώποις ἀπ' οὐρανῶν κατεπέμφθη φυτόν, καὶ διὰ τοῦτο ταῖς πρώταις οὐκ ἀπεκαλύφθη γενεαῖς. ἔτι γὰρ ὁ ἄνθρωπος ὀλιγοστὸς ἦν, καὶ ἐχρῆν εἰς πλῆθος πρῶτον αὐτὸν αὐξήσαντα τελειωθῆναι Meth.*symp.*1.2(p.9.21; M.18.40C); †Bas.Anc.*virg.*55(M.30.780A); εἶπεν, αὐξάνεσθε καὶ πληθύνεσθε. τοῦτο γὰρ ὁ καιρὸς ἀπῄτει, τῆς φύσεως μαινομένης, καὶ τὸν τῶν παθῶν οἱστρον μὴ δυναμένης ἐνεγκεῖν τί κελεύειν ἐχρῆν; ἐν...π. διάγειν; ἀλλὰ τοῦτο μείζον ἂν τὸ πτῶμα εἰργάσατο...διὰ ταῦτα ἐξ ἀρχῆς οὐκ ἐδόθη ἡ π.· μᾶλλον δὲ ἡ π. μὲν ἐξ ἀρχῆς καὶ τοῦ γάμου προτέρα ἡμῖν ἐφάνη· διὰ ταῦτα δὲ ἐπεισῆλθεν ὕστερον ὁ γάμος...ὡς εἴ γε ἔμεινεν ὑπακούων ὁ Ἀδάμ, οὐκ ἂν ἐδέησε τούτου Chrys.*virg.*17(1.282A,B); a later development in Church οὐκ εὐθέως, τῆς ἐκκλησίας συστάσης, τὸ τῆς π. ἤνθησε καλόν, ἀλλ' ὕστερον καὶ μετὰ χρόνον τινά Nil.*exp.in Ps.*44(5.180D).

G. virginity in paradise, ref. Adam and Eve ἐν...τῷ παραδείσῳ διαιτώμενοι...ἐν ἐκείνῳ τῷ χωρίῳ τῇ π. κοσμούμενοι...ἐπειδὴ δὲ παρήκουσαν τοῦ θεοῦ...ἀπώλεσαν μετὰ τῆς μακαρίας ἐκείνης διαγωγῆς καὶ τὸ τῆς π. καλόν...ἕως μὲν γὰρ ἦσαν ἀνάλωτοι τῷ διαβόλῳ... παρέμεινε καὶ ἡ π. Chrys.*virg.*14(1.279B,D); id.*hom.*18.4 *in Gen.*(4. 155B); ἐν παραδείσῳ π. ἐπολιτεύετο Jo.D.*f.o.*4.24(M.94.1208A).

H. in rel. to martyrdom κόρην...καὶ τῇ μὲν τὸν καθ' ἡδονῶν, τῇ δὲ τὸν κατὰ κινδύνων ἀνατείνουσαν στέφανον· καὶ τῇ μὲν τὴν π., τῇ δὲ τὸ μαρτύριον τῷ...δεσπότῃ προσφέρουσαν. ἦν μὲν οὖν αὐτῇ καὶ τὰ τῆς π., ἃ τοῖς ἀκριβῶς σκοπουμένοις μέγα τι πρὸ μαρτυρίου μαρτύριον. αἱ γὰρ ἡδοναὶ δεινοί τινες τοῦ σώματος δήμιοι...ἃ δὴ πάντα τῇ μακαρίᾳ παρθένῳ μακρόν τι μαρτύριον τὴν π. εἰργάζετο· πυκτευούσῃ ταῖς ἡδοναῖς, ὡς ὁ μάρτυς θηρίοις ‡Chrys.*Thecl.*(2.749A–C).

I. vow of virginity and marriage π. γὰρ τῷ κυρίῳ ἐπαγγειλάμεναι, εἶθ' ὑπὸ τῶν σαρκὸς ἡδονῶν νικηθεῖσαι, τὴν τῆς πορνείας ἁμαρτίαν γάμου ὀνόματι περιστέλλειν ἐθέλουσιν· οὐκ ἀγνοοῦσαι...κἂν ἄγνοιαν δὴ προσποιῶνται, ὅτι ἡ παραβᾶσα τὰς πρὸς τὸν νυμφίον ἑαυτῆς δεξιάς,

οὔτε τούτου ἐστὶ νύμφη ὃν παρανόμως κατέλιπεν, οὔτ' ἐκείνου, ᾧ διὰ πάθος ἔζευξεν ἑαυτήν, κατὰ νόμους γυνὴ δύναται εὑρεθῆναι †Bas.Anc. *virg.*37(M.30.745C); *ib.*39(748B).

J. as gift made to God εἶπεν ὁ θεός...σὺ διδούς μοι ἀδιάφθορον τὸν ἀσύλητον θησαυρόν, τὸ κειμήλιον τῆς π. *Apoc.Esd.*13(p.25); Or.*Cels.* 7.48(p.199.30; M.11.1492B); ἐβούλετο [sc. God] γὰρ μὴ ἐπίταγμα εἶναι τὸ κατόρθωμα τῆς π., ἀλλὰ πλεονέκτημα φιλαρέτου ψυχῆς, ἀπὸ αὐτεξουσίου αὐθεντίας τὸ ὑπὲρ τὴν ἐντολὴν καὶ ὑπὲρ τὴν φύσιν ἀφ' ἑαυτῆς κατορθούσης †Bas.Anc.*virg.*55(M.30.780C).

K. as special responsibility οὐ δεῖ τοῦ ἑαυτῆς ἁβλαβοῦς μόνον φροντίζουσαν, τῆς τῶν βλαβῆναι δυναμένων καταφρονεῖν σωτηρίας, ἀλλὰ πανταχόθεν καὶ ἑαυτῆς ἄσυλον τὸ τῆς π. κάλλος φυλάττειν, καὶ τοῖς ὁρῶσιν αὐτὴν κέρδος ζωῆς, καὶ μὴ τὸν ἐξ ἁμαρτίας θάνατον πραγματεύεσθαι. εἰ γὰρ καὶ αὐτὴ πέποιθε τῷ τῆς π. ἀπτώτῳ, ἀλλ' ὅμως προνοεῖσθαι δεῖ...ὥστε μὴ τιθέναι πρόσκομμα τῷ ἀδελφῷ †Bas.Anc. *virg.*35(M.30.740C); as guarded by guardian angel, *ib.*29(729A).

L. its loss; irreparable, †Bas.Anc.*virg.*59(M.30.788D); τρόπον τινὰ ματαία...ἡ γνῶσις ἐμοὶ τῶν τῆς π. καλῶν, ὡς τῷ βοῒ τὰ γεννήματα τῷ μετὰ κημῶν ἐπιστρεφομένῳ τὴν ἄλωνα...μακάριοι δὲ οἷς ἐν ἐξουσίᾳ τῶν βελτιόνων ἐστὶν ἡ αἵρεσις, καὶ οὐκ ἀπετειχίσθησαν τῷ κοινῷ προληφθέντες βίῳ, καθάπερ ἡμεῖς οἷόν τινι χάσματι πρὸς τὸ τῆς π. καύχημα διειργόμεθα, πρὸς ἣν οὐκ ἔστιν ἐπανελθεῖν ἔτι τὸν ἅπαξ τῷ κοσμικῷ βίῳ τὸ ἴχνος ἐναπερείσαντα Gr.Nyss.*virg.*3(p.256.9ff.; M.46. 325A,B).

M. exeg. Mt.19:11f. οἱ καὶ καλλίονες τῶν ἄλλων ὑπάρχοντες, διότι οὔτε ἐκ τῆς φύσεως πρὸς σωφροσύνην ἐφόδιον ἔχοντες, οὔτε παρὰ ἀνθρώπων κρατούμενοι, αὐτοὶ ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν πρὸς τὴν π. ἀσκοῦσι...ὁ μὲν γὰρ ἐκ κοιλίας μητρὸς εὐνοῦχος,...οὐδὲν ἴδιον ἔργον ἐν τῷ τῆς π. κάλλει ἐπιδείξασθαι ἔχει· φύσει ὅπερ ἔφην πλεονεκτήματι, καὶ οὐχὶ τῇ πρὸς τὴν π. διαθέσει τὸν γάμον ἀποστραφείς. ὥσπερ οὖν καὶ ὁ παρ' ἀνθρώπων εὐνουχισθεὶς τηρήσει τὴν π. ἀσκεῖν βιαζόμενος, οὐκ ἴδιον κατόρθωμα τὴν ἀφθορίαν τῆς π., ἀλλὰ τῶν τηρούντων δεικνύει, ὁ δὲ ἑαυτὸν εὐνουχίσας, ἐξαίρετον ἔργον διὰ τῆς ἐγκρατείας τε καὶ πρὸς πάντα ἀσκήσεως τὸ τῆς π. κάλλος ποιούμενος, ἰδίοις καὶ οὐκ ἀλλοτρίοις κατορθώμασιν ἐν τῇ βασιλείᾳ σεμνύνεται †Bas. Anc.*virg.*57(M.30.784D–785A).

N. heret. τὰς γὰρ τῶν αἱρετικῶν οὐκ ἂν εἴποιμί ποτε παρθένους...αἱ τοίνυν τὸν ἕνα ἄνδρα μὴ στέργουσαι, ἀλλ' ἕτερον αὐτῷ τὸν οὐκ ὄντα ἐπεισάγουσαι θεόν, πῶς ἂν εἶεν ἁγναί; πρῶτον μὲν οὖν κατὰ τὸν λόγον οὐκ ἂν εἶεν παρθένοι· δεύτερον δέ, ὅτι τὸν γάμον ἀτιμάσασαι οὕτως ἦλθον ἐπὶ τὸ ἀποσχέσθαι τοῦ γάμου. τῷ γὰρ νομοθετῆσαι πονηρὸν εἶναι τὸ πρᾶγμα, προλαβοῦσαι τὰ τῆς π. ἑαυτῶν ἀφείλοντο ἔπαθλα Chrys.*virg.*1(1.269A); hence heretics not to be rewarded, but punished for their virginity *ib.*2(270C); τῆς ἐκείνου [sc. διαβόλου] πονηρίας ἐστὶν ἀκριβῶς εὕρημα ἡ τῶν αἱρετικῶν π. *ib.*5(272A); true virginity incompatible with false doctrine, *ib.*(272B).

O. feigned virginity εἰ δὲ ὅτι οὐδεὶς τῶν ἀνθρώπων ὁρᾷ, πρὸς τὸ νεῦμα ἢ τὸν λόγον τολμᾷ, μάλιστα μὲν αὐτόθεν ἑαυτῆς ἐστι κατήγορος... ὅτι τοὺς τῶν ἀνθρώπων ὀφθαλμοὺς ἀπατῶσα, ὡς αὐτῷ ἑαυτὴν διὰ βίου νυμφεύουσα, οὔτ' ἐκείνου νύμφη, οὔτ' ἀνθρώπου καθαρῶς ἐστι γυνή, ἀλλὰ τὴν παρ' ἀνθρώποις δόξαν ἐπὶ τῇ π. διὰ τοῦ παρθενικοῦ σχήματος κλέπτουσα, ἐν ὀφθαλμοῖς τοῦ νυμφίου, παρ' ἀνθρώποις τὴν π. ἑαυτῆς ἐκπομπεύουσα, μοιχεύεται †Bas.Anc.*virg.*28(M.30.728B).

P. ref. BMV; **1.** perpetual virginity; **a.** *in partu*, Gr.Nyss.*nativ.* (M.46.1136A,B); id.*virg.*19(p.324.14; M.46.396D); ὁ Χριστὸς ἐκ τῆς ἀλύτου μήτρας προελθὼν οὐκ ἠφάνισε τὴν σφραγῖδα τῆς π. ‡Chrys. *BMV* 2.3(8.240D); ὁ Ἐμμανουὴλ φύσεως μὲν πύλας ἀνέῳξεν ὡς ἄνθρωπος, π. δὲ κλεῖθρα οὐ διέρρηξεν ὡς θεός, ἀλλ' οὕτως ἐκ μήτρας ἐξῆλθεν, ὡς δι' ἀκοῆς εἰσῆλθεν Procl.CP *or.laud.BMV* 9(p.107.18; M. 65.692A); Thdot.Anc.*hom.*1.1(p.81.1; M.77.1349A); Leo Mag.*ep.*35.3 (p.42.3; M.*PL*.54.808B); Abr.Eph.*occurs.*6(p.452.17); **b.** *post partum* ἡ παρθένος καὶ μετὰ τὸ τεκεῖν παρθένος ἔμεινεν, ἐκ τοῦ τεκεῖν μὴ ζημιωθεῖσα τὴν π. ‡Chrys.*BMV* 2.2(8.240B); παρθένος γὰρ ἡ μήτηρ, καὶ μετὰ τόκον διέμεινε τῆς π. σφραγίς, ἣν ἡ φύσις ἐπέθηκεν ἀπαρασάλευτον φυλάττουσα Hesych.H.*serm.*4(M.93.1460C); **c.** both *in partu* and *post partum* εἴ τις οὐχ ὁμολογεῖ...Μαρίαν...ἀφθόρως γεννήσασαν, ἀλύτου μεινάσης αὐτῆς καὶ μετὰ τόκον τῆς π., εἴη κατάκριτος CLater. *can.*3; ὁ τόκος ἄνευ ὠδίνων τὴν τῆς γειναμένης π. οὐκ ἐλυμήνατο, μεμένηκε γὰρ αὖτη παρθένος καὶ μετὰ τόκον, ὥσπερ ἦν καὶ πρὸ τόκου ‡Cyr.*Trin.*14(6^{3}.20D; M.77.1152A); οὐ γὰρ διήνοιξεν γεννηθεὶς μόνον τὴν μήτραν...ἀλλὰ καὶ κεκλεισμένην τῆς π. τὴν πύλην κατέλιπεν Leont.N. *serm.*1(M.93.1573A); Germ.CP *or.*3.12(M.98.304C); ἡ...παρθένος...ἡ τοσοῦτον τὴν π. ποθήσασα, ὡς ὑπ' αὐτῆς οἱά τινος καθαρωτάτου ποιωθῆναι πυρός. παρθένος γὰρ ἅπασα τῷ τόκῳ τὴν π. λυμαίνεται· αὕτη δὲ καὶ πρὸ τόκου, καὶ τίκτουσα μένει παρθένος, καὶ μετὰ γέννησιν Jo.D.*hom.*9.2(M.96.724C); **d.** as proof of Christ's divinity ὅτι γάρ ἐστιν ὁ τεχθεὶς λόγος θεοῦ, δῆλον ἐξ ὧν τὴν π. οὐκ ἔλυσεν. ἡ τίκτουσα σάρκα ψιλὴν τῆς π. παύεται· ἀλλ' ἐπειδὴ ἐτέχθη σαρκὶ λόγος θεοῦ, φυλάττει τὴν π., ἑαυτὸν λόγον δεικνύς Thdot.Anc.*hom.*1.1(p.81.14ff.; M.77.1349C); εἰ γὰρ οὐκ ἠλλοιώθη ἡ παρθένος καὶ μήτηρ ἐγένετο· οὐδὲ ἀλλοιωθείσης π. τόκος ἐγένετο, θεοῦ θαυματουργήσαντος παρθένῳ τὸν τόκον· τί θαυμάζεις, εἰ ἐν ἀπαθεῖ φύσει θελήσας θεὸς ὑπεδέξατο πάθος, οὐκ ἀποθέμενος τὴν ἀπάθειαν id.*exp.symb.*14(M.77.1333A); οὐ γὰρ ἕτεκον τῷ κόσμῳ ψιλὸν ἄνθρωπον, ἀλλὰ θεὸν σεσαρκωμένον. καὶ μάρτυς ἀξιόπιστος, ἡ σφραγὶς τῆς π. μου Eulog.*palm.*10(M.86.2933A); Chrysipp.*enc.in BMV* 2(p.340.9); cf.Jo.D.*hom.*8.8(M.96.712A); monophysite ἦ γὰρ ἂν πάντη...ἔλυεν τὴν π. ἡ ἀνθρώπου φύσις· εἰ γὰρ ἦν ἄνθρωπος κατὰ φύσιν...ὁ μέλλων ἀποτελεῖσθαι ἄνθρωπος ἐν μήτρᾳ τῆς παρθένου, οὐκ ἂν ἐτέχθη ἐξ αὐτῆς, εἰ μὴ πρῶτον τῆς π. λυθείσης Tim.II Al. *fr.*(M.86.276A); **e.** hence BMV not ἀνθρωποτόκος, Thdot. Anc.*exp.symb.*18(M.77.1340C); **f.** in rel. to Assumption ἔδει τῆς ἐν τῷ τίκτειν φυλαξάσης τὴν π. ἀλώβητον, ἀδιάφθορον τηρηθῆναι τὸ σῶμα, καὶ μετὰ θάνατον. ἔδει...τοῖς θείοις ἐνδιατρίβειν σκηνώμασιν Jo.D.*hom.*9.14(M.96.741B); **2.** spiritual foundations of her virginity ἐξ ἄκρας ταπεινώσεως καὶ τῆς πρὸς θεὸν ἀγάπης, τὸν τῆς π. ἄμωμον χιτῶνα ἑαυτῇ κεχαριτωμένη ἐξύφανεν Ant.Mon.*hom.*21(M.89.1497B); εὗρε χάριτος ἄβυσσον, ἣ σῶαν τὴν ὁλκάδα τῆς διπλῆς π. τηρήσασα, καὶ τὴν ψυχὴν γὰρ παρθένον ἐτήρησεν, οὐ τοῦ σώματος ἔλαττον. ὅθεν καὶ ἡ τοῦ σώματος π. τετήρατο Jo.D.*hom.*8.7(M.96.709B); **3.** her virginity a mystery, hidden from the Devil, Ign.*Eph.*19.1; Ζαχαρίας...τὸ τῆς π. μυστήριον ἐπὶ τοῦ ἀφθάρτου τόκου κατανοήσας Gr.Nyss.*nativ.*(M. 46.1137A); πρότερον οὖν γέγονε τὸ κατὰ τὴν π. μυστήριον καὶ ἡ περὶ τὸ πάθος οἰκονομία id.*Eun.*3(2 p.20.13; M.45.585A); id.*Apoll.*3(M.45. 1128C); **4.** her vow of virginity Μαριάμ, ἡ τὸ τῆς π. ῥόδον ἀμάραντον φυλάξαι προσευξαμένη Tim.Ant.*descr.BMV* 6(M.28.952B); **5.** OT types of her virginity ὁ μέν σε ῥάβδον Ἰεσσαὶ καλεῖ, ἵνα τὸ ἄτρωτον καὶ ἀκαμπὲς τῆς π. αἰνίξηται. ὁ δὲ βάτῳ προβάλλει καιομένῃ, καὶ μὴ κατακαιομένῃ Hesych.H.*serm.*5(M.93.1461C); **6.** in epithets of BMV ὁ στέφανος τῆς π. Cyr.*hom.div.*4(p.102.21; 5^{3}.355E); ἡ στήλη τῆς π. †Serg.*acath.*228(p.145; M.92.1344D); τὸ τῆς π. κειμήλιον ‡Jo.D.*hom.* 6.5(M.96.668C).

Q. ref. Christ ὁ κύριος...ἄφθορον ἐφύλαξεν ἐν π. τὴν σάρκα κοσμήσας. καὶ ἡμεῖς ἄρα, εἰ μέλλοιμεν καθ' ὁμοίωσιν ἔσεσθαι θεοῦ, τοῦ Χριστοῦ φιλοτιμώμεθα τὴν π. τιμᾶν Meth.*symp.*1.5(p.13.13ff.; M.18.45B); *ib.* 10.1(p.122.12; 193A); ὅτι σπέρμα τοῦ ἀφθάρτου βίου τὴν π. ὁ κύριος ἡμῶν ἐκ γῆς εἰς οὐρανὸν παραδόξως πεμπόμενον ἐβουλήθη γενέσθαι, ἐμμελετῆσαι τὰ σώματα ἡμῶν τὸ τῆς ἀφθορίας κάλλος διὰ τῆς τῶν παρθένων ἀφθορίας ἤδη θελήσας, δῆλόν ἐστιν ἐξ ὧν πάντα τῷ νόμῳ πεισθεὶς μόνον τὸν γάμον ἀπείπατο †Bas.Anc.*virg.*54(M.30.777B); Χριστὸς...τὴν π. τὴν ἀληθῆ...δεικνὺς ἐν ἑαυτῷ Jo.D.*f.o.*4.24(M.94. 1209C).

R. praise of virginity μεγάλη τίς ἐστιν...ἔνδοξος ἡ π. ... τὸ οὔθαρ τῆς ἐκκλησίας καὶ τὸ ἄνθος...αὐτῆς τοῦτο τὸ ἄριστον Meth.*symp.*1.1 (p.7.10; M.18.36B); *ib.*7(p.71.22; 125A); μεγάλα ἐγκώμια τῆς π. ὦ π., πλοῦτος ἀκατάληπτος· ὦ π., στέφανος ἀμαράντινος· ὦ π., ναὸς θεοῦ καὶ ἁγίου πνεύματος οἰκητήριον· ὦ π., μαργαρῖτα τίμιε Ath.*virg.*24 (p.59.11ff.; M.28.280C); παρθενίη...θεόσδοτε, δῶτερ ἐάων, μῆτερ ἀκτημοσύνης, Χριστοῦ λάχος, οὐρανίοισι κάλλεσιν ἀζυγέεσσιν ὁμόζυγε Gr.Naz.*carm.*1.2.1.11(M.37.523A); ἔπαινος δὲ μόνος ἱκανὸς τῆς π. ἐστὶ τὸ κρεῖττονα τῶν ἐπαίνων εἶναι τὴν ἀρετὴν ἀποφήνασθαι, καὶ τῷ βίῳ θαυμάσαι μᾶλλον ἢ τῷ λόγῳ τὴν καθαρότητα Gr.Nyss.*virg.*1 (p.252.25; M.46.321B); πολλοὶ τῶν μεγάλων ἀνθρώπων τὴν π. θαυμάζουσιν· καὶ γάρ ἐστι θαυμαστή, ὡς τῶν ἀγγέλων σύμφυτος,...ὡς τῶν ἀσωμάτων φύσεων σύνδρομος, ὡς τῆς ἁγίας ἐκκλησίας λαμπαδοῦχος... θαυμαστὴ...ἡ π., ὡς ἀδούλωτον κτῆμα...ὡς συνεισελθοῦσα τῷ νυμφίῳ Χριστῷ Amph.*hom.*2.1(M.39.44C,D); οἱ καλοὶ τῆς π. λόγοι...αὕτη ὁ λογικὸς τοῦ θεοῦ παράδεισος, ἐν ᾧ πᾶν ξύλον ὡραῖον εἰς ὅρασιν, τουτέστιν πνευματικὴν θεωρίαν· καὶ καλὸν εἰς βρῶσιν, τὴν πνευματικὴν διδασκαλίαν...αὕτη τῆς ἀληθινῆς ἐπαγγελίας ἡ χώρα Procl.CP *or.*6.3 (M.65.724C); *M.Ner.et Ach.*8(p.7.17ff.).

S. met.; **1.** ref. Church ἡ ὑπερβάλλουσα νύμφη [sc. ἐκκλησία] τῷ κάλλει...τῆς π. πάσας Meth.*symp.*7.7(p.78.5; M.18.133B); *ib.*8.11 (p.94.3; 156A); **2.** Trin. ὁ...παράδοξον ἐν πατρὶ π. εὑρίσκεσθαι τῷ καὶ υἱὸν ἔχοντι καὶ δίχα πάθους γεννήσαντι· τῷ δὲ μονογενεῖ θεῷ τῷ τῆς ἀφθαρσίας χορηγῷ συγκαταλαμβάνεται ὁμοῦ τῷ καθαρῷ...τῆς γεννήσεως αὐτοῦ συνεκλάμψασα. καὶ πάλιν τὸ ἴσον παράδοξον υἱὸς διὰ παρθενίας νοούμενος. ἐνθεωρεῖται δὲ ὡσαύτως καὶ τῇ τοῦ ἁγίου πνεύματος φυσικῇ...καθαρότητι· τὸ γὰρ καθαρὸν καὶ ἄφθαρτον ὀνομάσας ἄλλῳ ὀνόματι τὴν π. ἐσήμανας Gr.Nyss.*virg.*2(p.253.11ff.; M.46. 321C).

παρθενικός, 1. *of the Virgin* διὰ π. μήτρας...σαρκωθέντα Just.*dial.* 84.2(M.6.673B); Meth.*symp.*3.5(p.31.19; M.18.68B); Cyr.H.*catech.*

12.28; Gr.Nyss.*Apoll.*54(M.45.1256B); *ηὐδόκησε γὰρ ὁ θεὸς...τὸν υἱὸν...κατελθόντα ἐν μήτρᾳ π. συλληφθῆναι* Epiph.*inc.*1(p.227.20; M. 41.273C); ref. Valent. Christology *μηδὲν δὲ ἀπὸ τῆς π. μήτρας εἰληφέναι, ἀλλὰ ἄνωθεν τὸ σῶμα ἔχειν* id.*haer.*31.7(p.396.11; M.41. 488A); Chrys.*hom.12.1 in Mt.*(7.160D); *τὸ μὲν γὰρ πνεῦμα αὐτὸν διέπλασεν...οὐ μὴν ἐξ οὐκ ὄντων...ἀλλ' ἐκ τῆς σαρκὸς τῆς π.* id.*hom. 26.1 in Jo.*(8.149D); id.*hom.4.1 in 1Cor.*(10.24B); *ἐβαστάζετο ἀγκάλαις π.* Sophr.H.*ep.syn.*(M.87.3173B); **2.** ***virginal, virgin*** *π. ὠδῖνος* Chrys.*hom.26.2 in Jo.*(8.151D); *π. ... μήτηρ* Nonn.*par.Jo.* 2:2(M.43.760C); *ib.*19:27(904B); *ἡ τοῦ σώματος σύμπηξις ἐκ πανάγνων αἱμάτων π.* ‡Cyr.*Trin.*14(6^{a}.20D; M.77.1152A); met. *παρθενικοῖς δὲ δραμοῦσι καλῶς ἄφθαρτον ἄεθλον δώσει Orac.Sib.*2.48; *ἀνάψυξον ἡ π. μου πίστις Apoc.Bar.rel.*6.4; in Barbeliote Gnostic system *ὑπέθεντο ...αἰῶνα τινὰ ἀνώλεθρον ἐν π. διάγοντα πνεύματι, ὃ Βαρβηλὼθ ὀνομάζουσι* Thdt.*haer.*1.13(4.304); **3.** *consisting of maidens σύλλογος π.* Cyr.H.*procatech.*14.

***παρθενικῶς,** **1.** *as befitting a virgin π. ἀποκρίνεται* Sophr.H.*or.*2. 45(M.87.3277B); Thdr.Stud.*nativ.BMV* 7(M.96.692B); **2.** *as from a virgin, virginally ὁ τόκος...θεῖος διὰ τῆς ἀρραγοῦς μήτρας π. ἐδείχθη* Leont.H.*Nest.*4.36(M.86.1709D); *ἐκυήθη π.* Thdr.Stud.*epp.*2. 23(M.99.1188C).

παρθένιος, *ἡ, chalk,* Clem.*str.*1.10(p.8.8; M.8.697A).

***παρθενογενής,** *of virgin birth,* Tim.Ant.*Sym.*(M.86.245B).

***παρθενογέννητος,** *born of a virgin διὰ τοῦτο ἀληθινὸς θεός, ἐπειδὴ π.* Leont.H.*Nest.*4.41(M.86.1716A).

παρθενοκομία, *ἡ, hostel for girls,* Gr.Naz.*or.*43.34(M.36.541C).

***παρθενόλυτος,** *ending virginity π. ... γάμων* Isid.Pel.*epp.*2.92(M. 78.536D).

***παρθενομάρτυς,** *ἡ, virgin martyr, Hymn.*(*AS* 1 p.644).

***παρθενομήτηρ,** *ἡ, virgin mother,* as adj. *π. κόρη* Ephr.3.534C.

***παρθενομήτωρ,** *ἡ,* = foreg. *π. ὡς θεοτόκος ἡ...Maria* ‡Ath.*Jov.* (M.28.532B); Cyr.*Arcad.*(p.66.33; 5^{2}.49E); id.*deip.BMV* 4(p.20.33; M.76.260C); Mod.*dorm.*3(M.86.3288A); Sophr.H.*or.*2.21(M.87.3241A); *τῆς ἀχράντου π.* CTrull.*can.*79.

***παρθενοποι-έω,** *make virgin,* exeg. parable of ten virgins *ἀποστάσας τῆς εἰδωλολατρείας τῷ παραδέξασθαι...τὸν τοῦ θεοῦ καθαρὸν λόγον καὶ ~ηθείσας* Or.*comm.ser.63 in Mt.*(p.145.23; *virginificatae* M.13.1699D).

***παρθενοπρεπῶς,** *in a manner becoming virgins ὁσίως καὶ π.* Thdr.Stud.*epp.*2.115(M.99.1384C).

παρθένος, *ἡ, virgin;*

I. of the consecrated virgin also called (*π.*) *κανονική* q.v.; **A.** as bride of Christ; **1.** in gen. *π. ... Χριστὸν ἔχουσα νυμφίον* Gr.Naz. *carm.*1.2.3.67(M.37.638A); *ib.*1.2.29.315(907A); **2.** as calling for renunciation *εἰ γὰρ οἱ τῷ κόσμῳ συναπτόμενοι καταλιμπάνουσι τὸν πατέρα καὶ τὴν μητέρα καὶ συνάπτονται ἀνθρώποις θνητοῖς, πόσῳ μᾶλλον ἡ π. ἐγκρατευομένη ὀφείλει καταλιπεῖν τὰ γήϊνα πάντα καὶ τῷ κυρίῳ μόνῳ κολληθῆναι* Ath.*virg.*2(p.36.25; M.28.253B); *πᾶς μὲν τόπος...ἐν τῇ ψυχῇ τῆς π. τῆς ὄψεως Χριστοῦ πεπληρώσθω...μηδενὸς οὖν...μὴ παρόντος, μὴ ἀπόντος ἀνθρώπου κάτοπτρον ἔστω ἡ τῆς π. ψυχή, ἢ τοῦ ἁγίου αὐτῆς νυμφίου* †Bas.Anc.*virg.*49(M.30.768A); *ὅλῃ τέτασο πρὸς θεόν, ὦ π., τῇ ψυχῇ...καὶ οὐ μή τί σοι φανῇ τῶν ἄλλων καλόν, ὅσα τοῖς πολλοῖς· οὐ γένος, οὐ πλοῦτος...οὐ...κάλλος...εἰ ὅλην ἐκένωσας πρὸς θεὸν τοῦ φίλτρου τὴν δύναμιν, εἰ μὴ δύο σοι εἴη τὰ ποθούμενα, καὶ τὸ ῥέον, καὶ τὸ ἀόρατον· ἆρα τοσοῦτον ἐτρώθης τῷ ἐκλεκτῷ βέλει, καὶ τοῦ νυμφίου κατέμαθες, ὥστε καὶ δύνασθαι λέγειν... γλυκασμὸς εἶ* [cf.Cant.5:16] Gr.Naz.*or.*37.11(M.36.296C); id.*carm.*1. 2.2.658(M.37.630A); **3.** as receiving blessings *ἄφθορος οὖν οὐ τῇ πρὸς τὸν ἄφθαρτον λόγον ἑνώσει ἡ π. μένει μόνον, ἀλλὰ καὶ μετὰ τὴν ἕνωσιν γίνεται...ἀλλ' ἐφθαρμένην διὰ τῶν σαρκικῶν ἡδονῶν παρὰ διαβόλου λαβών, καὶ γυναῖκα αὐτοῦ διὰ τῆς φθορᾶς κακῶς γενομένην, τῇ πρὸς αὐτὸν κοινωνίᾳ ἄφθορον ἐκ γυναικὸς παρθένον ποιεῖ* †Bas.Anc.*virg.*50 (M.30.769C); *ἡ δὲ π. καὶ ποθεῖ τὴν τελευτήν...σπεύδουσα τὸν νυμφίον ἰδεῖν πρόσωπον πρὸς πρόσωπον* Chrys.*virg.*59(1.319B).

B. compared with angels *οὐ γαμοῦσιν, οὐδὲ γαμίζονται ἄγγελοι; ἀλλ' οὐδὲ ἡ π. παρεστήκασι διαπαντὸς...τῷ θεῷ; τοῦτο καὶ ἡ π.* Chrys. *virg.*11(1.275E); *ἡ δὲ π. ἐπὶ μείζοσιν ἀπεδύσατο, καὶ τὴν ἀνωτάτω φιλοσοφίαν ἐζήλωσε, καὶ τὴν τῶν ἀγγέλων πολιτείαν δεῖξαι ἐπὶ τῆς γῆς ἐπαγγέλλεται, καὶ μετὰ τῆς σαρκὸς ταύτης τὰ τῶν ἀσωμάτων αὐτῇ δυνάμεων κατορθῶσαι πρόκειται* id.*sac.*3.17(p.88.26; 1.398B).

C. conduct; **1.** in gen., Polyc.*ep.*5.3 cit. s. *ἀγνός; δεῖν τὴν σώφρονα...π. παντὸς πάθους κατὰ πάντα τρόπον τῆς ψυχῆς ἁπτομένου χωρίζεσθαι* Gr.Nyss.*virg.*15(p.313.5; M.46.385A); *ἡ π. ... ἔστω ἁγία σώματι καὶ ψυχῇ, ὡσανεὶ θεοῦ, ὡς οἶκος Χριστοῦ, ὡς πνεύματος ἁγίου καταγώγιον. δεῖ γὰρ τὴν ἐπαγγειλαμένην, ἄξια τῆς ἐπαγγελίας ἔργα διαπρασσομένην, δεικνύειν τὸ ἐπάγγελμα αὐτῆς ὅτι ἔστιν ἀληθὲς καὶ διὰ σχολὴν εὐσεβείας, οὐ κατὰ διαβολὴν γάμου γινόμενον Const.App.*4.14.2; **2.** external appearance; should express sanctity, Gr.Naz.*carm.*1.2. 6.27(M.37.645A); *ὅλην σεαυτὴν ἁγνὴν τήρει π. ... ὅμμα σου σωφρονείτω ...μὴ νοῦς πορνεύῃ, μὴ γέλως, μὴ ποῦς ἄτακτα βαίνων. τὴν πιναρὰν στολὴν σου, καὶ τὴν αὐχμηρὰν κόμην, μᾶλλον αἰδοῦμαι μαργάρων ib.*1.2. 3.49(636A); *δεῖ...αὐτὴν εἰς ἀγορὰν ἐμβάλλουσαν, ὥσπερ ἄγαλμα φιλοσοφίας ἁπάσης φαίνεσθαι, καὶ πάντας ἐκπλήττειν, ὡς ἄγγελον ἐξ οὐρανοῦ καταβάντα...οὕτω καὶ τὴν π. τοὺς ὁρῶντας ἅπαντας εἰς θαῦμα...τῆς ἁγιωσύνης αὐτῆς ἐμβάλλειν δεῖ* Chrys.*fem.reg.*7(1.262E); should conceal beauty, †Bas.Anc.*virg.*16(M.30.704B); *ib.*18(708A); *ib.*(708B); *ἡ π. καὶ μόνη οὖσα, τῆς ἀναμαρτησίας ἑαυτῆς προνοήσεται, οὐ τὰς τῶν λοιπῶν ἀνθρώπων ὄψεις μόνον, ἀλλὰ πολλῷ πλέον...τὰς ἑαυτῆς καὶ τῶν ἁπανταχοῦ ὁρώντων ἀγγέλων ἐντρεπομένη...οὐ γὰρ δεῖ, κἂν ἐν οἴκῳ μόνῃ καθέζηται καθ' ἑαυτὴν ἡ π., διότι μηδεὶς πάρεστι τῶν ἀνθρώπων, ἀδιαφόρως γυμνοῦσθαι...αἰδείσθω οὖν...ἡ π. τοὺς ἀγγέλους ...καὶ ὅταν συμβαίνῃ ἀναγκαίως ἐπιμελεῖσθαι τοῦ σώματος, τά τε κατὰ κεφαλὴν καὶ τὰ καθ' ἕκαστον περιστέλλουσα, ἐπισπευδέτω τὸ ἔργον ib.* 34(737C–740A); **3.** custody of the senses *π. οὖν ἔστω τῆς π. καὶ ἡ ἀκοὴ καὶ τὸ βλέμμα, ἔτι δὲ ἡ ἁφὴ καὶ ὅλον τὸ κίνημα* †Bas.Anc.*virg.*15(M. 30.704A); *π., π. ἴσθι καὶ οὖσα, καὶ φαείσσι, καὶ γλώσσῃ* Gr.Naz.*carm.* 1.2.2.74(M.37.584A); *ἡ π. ὀφείλει ταῖς τῶν αἰσθητηρίων ὁπαῖς τὸν λογισμὸν φρουρὸν ἐπιστήσασα, τήν τε ἐπὶ τὰ ἔξω τούτων φορὰν... ἠρεμαῖον παρέχειν* †Bas.Anc.*virg.*4(M.30.677C); ref. individual senses *δεῖ μάλιστα τὴν π. τάς τε διὰ τῶν βλεμμάτων καὶ τῆς φωνῆς κολακείας, τῆς φθειροποιοῦ ἡδονῆς φάρμακον οὔσας, τῶν ἰδίων αἰσθήσεων...ἐλαύνειν· τὴν μὲν ἀκοὴν ἔνδοθεν σώφρονι λογισμῷ ἀποφράττουσαν, τοὺς δὲ ὀφθαλμοὺς ἀποστρέφειν κατὰ φύσιν γινώσκουσαν ib.*15 (700C); *δεῖ τὴν π. ... καὶ π. φυλάττειν τὴν γλῶσσαν...ἐκεῖνα γὰρ μόνον τῇ π. ῥητέον, ὅσα τε ἀκουσθέντα τὸν νοῦν ὠφελήσει τῶν ἀκουόντων ib.*20 (709C); reasons for these precautions *ἱστέον οὖν τοῖς τὴν θεράπαιναν τῆς ὄντως παρθενίας, διὰ τῆς ἀποχῆς τῶν τροφῶν...παρθένον φυλάττουσιν, ὅτι δυνατὸν π. ἔχοντα σῶμα, μὴ π. ἔχειν τὴν ψυχήν. ἱκανὸν γὰρ καὶ βλέμμα τύπους ἐμποιῆσαι τῶν αἰσχρῶν τῇ ψυχῇ, καὶ λόγος πεφαρμακωμένος πρὸς ἡδονὴν ἐμπεσὼν τῇ ἀκοῇ φθεῖραι πρὸς ἀκολασίαν τὸν νοῦν. εὐλαβεῖται γοῦν ὁ νυμφαγωγός, μήπως φθαρῇ οὐ τὸ σῶμα, ἀλλὰ τὰ νοήματα τῶν νυμφευομένων Χριστῷ. διὸ δεῖ τὴν π. πρὸ τοῦ σώματος μάλιστα τηρεῖν τὴν ψυχήν...ὡς ἂν μήτε διὰ φωνῆς ταύτης λόγος ῥυείς, πρὸς ἡδονὴν τὸν ἀκουστὴν τοῦ λόγου φαρμάξειε, μήτ' ἔξωθεν αὖθις διὰ τῆς ἀκοῆς λόγος...ἐμπεσών, τὴν καρδίαν αὐτῆς πρὸς ἐπιθυμίαν κυμήνῃ. οὕτω γὰρ καὶ ἐπὶ τοῦ βλέμματος προσήκει ποιεῖν...διὸ δεῖ...μηδενὶ ἀτενὲς τὴν π. ἐπιβάλλειν τὸ ὄμμα ib.*13(693C–696B); *ἐρωτικὸν βλέμμα, ἢ λόγος ἡδονῆς...εἰς τὴν τῆς π. ψυχήν, ὥσπερ εἰς καθαρὸν ὕδωρ... ἐμπεσών, ἄλλας ἐπ' ἄλλας ἐρωτικάς, ὡς ἐν βύθῳ, ἐγείρων ἐννοίας, ὅλην αὐτὴν πρὸς τὴν τοῦ βάλλοντος φαντασίαν πληγεῖσαν κυμαίνει ib.*14 (700C); **4.** abstinence and other austerities *οὕτως γὰρ οὐκ ἐξίσταται ἄνθρωπος ἀπὸ οἴνου καὶ παραπαίει, ὥσπερ ἀπὸ ζήλου καὶ ὀργῆς· οὕτως οὐ μεθύσκεταί τις ἀπὸ οἴνου καὶ παραφρονεῖ, ὡς ἀπὸ λύπης, ὡς ἀπὸ ἔρωτος, ὡς ἀπὸ ἀκρασίας. ἀπὸ ταύτης προστέτακται τῆς ἀμπέλου μὴ γεύσασθαι τὴν π., ἵνα νηφάλιος ὑπάρχουσα καὶ ἄυπνος ἀπὸ μερίμνης βιωτικῆς* Meth.*symp.*5.5(p.59.22; M.18.108A); *οὐ μόνον δὲ τῶν ἐκ τῆς ἀμπέλου κατεργαζομένων ἐκείνης προστέτακται μηδαμῶς...προσψαύειν τὴν π., ἀλλὰ καὶ τῶν ἀντιμίμων αὐτῆς...σίκερα γὰρ πᾶς ὁ σκευαστὸς οἶνος καλεῖται καὶ νόθος...ὅπως...μὴ μόνον τῶν γενικῶν ἁμαρτημάτων φυλασσομένη τῆς πονηρίας ὑπὸ τῶν ἀντιμίμων αὐτῆς χραίνηται... ἑτέρων μὲν κρατοῦσα, ὑφ' ἑτέρων δὲ κρατουμένη, τουτέστιν ἱματίων διαφερόντων ὑφαῖς ἁβρυνομένη...ἃ δὴ καὶ αὐτὰ μεθύσκει τὴν ψυχήν ib.* 5.6(p.60.6; 108A); *πρώτης οὖν τῆς γεύσεως ἡ π. κρατήσει, τὰς πηγὰς τῶν γαστρὸς ἡδονῶν...παρθένον γὰρ καὶ τὴν γεῦσιν εἶναι δεῖ τῆς π.* †Bas. Anc.*virg.*7(M.30.682B); *ἡ π. ... διὰ νηστειῶν καὶ ἀσκήσεως τούς τε ἀναδιδομένους...βρασμοὺς καταστείλασα ib.*47(761C); *καλῶς ὀδεύεις, π., εἰς ὄρος...νηστεία σε κενούτω, ἀγρυπνία, προσευχαί, δάκρυα, χαμευνία* Gr.Naz.*carm.*1.2.3.33(M.37.635A); **5.** seclusion *ἡ ὑπακοὴ τῶν π. ἔστω ἁγία, καὶ μόναι ἡσυχαζέτωσαν· ἐν δὲ ταῖς προόδοις βαδιζέτωσαν δύο δύο A.Phil.*142(p.82.8); *οὐ γὰρ ἁπλῶς ἀγελαίαν δεῖ τὴν π., ἀποστραφεῖσαν τὰ γάμων δεσμά, ἁπανταχοῦ μετὰ αὐθεντίας σοβεῖσθαι* †Bas. Anc.*virg.*19(M.30.709A); *κάλλιον τὴν π. τὸ ἀσφαλὲς ἑαυτῇ καὶ ἀπρόσκοπον τῶν ὁρώντων πραγματευομένην, πανταχόθεν φρονίμως ἀνεπίμικτον εἶναι ib.*53(776B); *χρὴ τὴν π. πανταχόθεν τειχίζεσθαι, καὶ ὀλιγάκις...προβαίνειν τῆς οἰκίας* Chrys.*sac.*3.17(p.91.19; 1.399C); **6.** various virtues *οὐκ ἀπὸ τῶν φανερῶν ἁμαρτημάτων μόνον... ἀγνεύειν χρὴ τὴν παρθένον ψυχήν,...ἀλλὰ καὶ πολλῷ πλέον ἀπὸ τῶν κρυφίων* Mac.Aeg.*perf.*5(M.34.845A); *τὴν π. οὐ τοῦτο ποιεῖ π., τὸ μὴ ὠμιληκέναι γάμῳ, ἀλλὰ πολλῶν καὶ ἑτέρων δεῖ, τοῦ ἀμέμπτου, τοῦ εὐπροσέδρου* Chrys.*hom.13.2 in 1Tim.*(11.619D); id.*ep.*2.4(3.539A); *ποῖον γὰρ ὄφελος ἔσται τῷ τὸ σῶμα π. τηρήσαντι, εἰ τὴν ψυχὴν ὑπὸ τοῦ τῆς παρακοῆς μεμοίχευται δαίμονος;* Diad.*perf.*42(p.48.19); *τὸ γὰρ*

λέγεσθαι π., καὶ τὰς ἀρετὰς μὴ ἔχειν ἀναλόγους, καὶ...ἁρμοζούσας τῇ π., μωρὰν τὴν τοιαύτην π. φησὶν ὁ κύριος Ant.Mon.*hom.*21(M.89.1497B); πρὸ δὲ πάντων χρὴ τὴν π. τῷ ἐλαίῳ τῆς εὐποιΐας κατακοσμῆσαι τὴν ἑαυτῆς λαμπάδα *ib.*(1500C).

D. opp. married women; **1.** separation advocated μεμερισμένη γοῦν πρὸς τὴν ἔγγαμον ἡ π., τόν τε βίον, καὶ ὅλον τὸ ἦθος, τὰ ἐπιβάλλοντα ἔργα τῇ π. ἐν παντὶ ἐπιγνώσεται †Bas.Anc.*virg.*21(M.30.713C); *ib.*(712C); **2.** sorrows of married women and joys of virgins δεσπότην μετὰ προικὸς ἡ γυνὴ ὠνουμένη τὸν ἄνδρα, δούλη μὲν ἀντὶ ἐλευθέρας ἐστί, μικρᾶς τῆς κατὰ τὸν γάμον ἡδονῆς τὴν φυσικὴν ἐλευθερίαν ἀπεμπολήσασα, θύραν δὲ ἀμυθήτων ὠδίνων...ἑαυτῇ τὸν γάμον ἀνοίξασα...ἡ δὲ π. τὸν πρὸς τὸν ἄνδρα ζυγὸν ἀπορρήξασα, καὶ πρὸς τὸν κύριον ὅλη δραμοῦσα, συναπέρρηξε τῷ ζυγῷ καὶ τὴν ἐκ τῆς κατάρας ὀδύνην...τὴν ἐκ τῆς συμπλοκῆς τῶν σαρκῶν συμβαίνουσαν φθορὰν πρώτην φυγοῦσα, ἄφθορος ὅλη ἐν ἀσάρκῳ ψυχῇ, τῷ κυρίῳ νυμφεύεται *ib.*23(717C); ἡ δὲ π. ἀνωτέρω ταύτης ἕστηκε τῆς ὠδῖνος [sc. childbirth] καὶ τῆς ἀρᾶς. ὁ γὰρ τὴν ἀπὸ τοῦ νόμου κατάραν λύσας καὶ ταύτην ἔλυσε μετ' ἐκείνης Chrys.*virg.*65(1.322A); *ib.*68(323B); **3.** their spiritual state καὶ ἡ ὑπὸ ζυγὸν ἔστω τι Χριστοῦ· καὶ ἡ π. ὅλη Χριστοῦ. ἡ μὲν μὴ παντελῶς ἐνδεσμείσθω τῷ κόσμῳ· ἡ δὲ μηδ' ὅλως γινέσθω τοῦ κόσμου. ὃ γὰρ ἐστι τῇ ὑπὸ ζυγὸν τὸ μέρος, τοῦτο παντελὲς τῇ π. Gr.Naz.*or.*37.10(M.36.296A); αἱ ὑπὸ ζυγόν, δότε τι καὶ θεῷ...αἱ π., τὸ πᾶν θεῷ *ib.*44.8(616B); **4.** their mutual harmony ἀλλήλαις συνδεσμεῖσθε, καὶ π., καὶ γυναῖκες, καὶ ἔν ἐστε ἐν κυρίῳ, καὶ ἀλλήλων καλλώπισμα. οὐκ ἂν ἦν ἄγαμος, εἰ μὴ γάμος. πόθεν γὰρ εἰς τοῦτον παρῆλθε τὸν βίον π.; οὐκ ἂν ἦν γάμος σεμνός, εἰ μὴ π. καρποφορῶν *ib.* 37.10(293C).

E. temptations; **1.** to become '*subintroduciae*', v. συνείσακτος; **2.** spiritual trials ἡ δὲ π. δι' ὅλου θαλαττεύειν ἀναγκάζεται, καὶ πέλαγος πλεῖν ἀλίμενον· κἂν ὁ χαλεπώτατος διεγερθῇ χειμών, οὐδὲ οὕτως θέμις ὁρμίσαι τὸ σκάφος αὐτῇ καὶ ἀναπαύσασθαι...ὁ...πειρατὴς τῇ π. πολὺν ἐπάγει τὸν χειμῶνα...πάντα ἄνω καὶ κάτω κυκῶν,...ἤκουσε γὰρ ὅτι τὸ 'Ἐπὶ τὸ αὐτὸ συνέρχεσθαι ἡ π. οὐκ ἔχει, ἀλλ' ἀνάγκη δι' ὅλου παλαίειν αὐτήν Chrys.*virg.*34(1.292B,C); ἡ δὲ π. οὐκ ἔχουσα ὅπως ἀβέσῃ τὸ πῦρ...ἑνὸς γίνεται μόνου τοῦ μὴ φλεχθῆναι μαχομένην πυρί *ib.*(292E).

F. work and influence ἔστωσαν...πᾶσαι αἱ π. αἱ πιστεύουσαι καθ' ἑκάστην τὴν ἡμέραν ἐπισκέπτουσαι τοὺς νοσοῦντας *A.Phil.*142(p.79.5); ἡ π. σωφροσύνης εἰκών, μᾶλλον δὲ αὐτοαρετῆς ἄγαλμα οὖσα, καὶ μόνον ὀφθεῖσα, τὰς τῶν ὁρώντων ὄψεις πρὸς τὴν τοῦ θείου ἔννοιαν ἐπιστρέφειν ὀφείλει †Bas.Anc.*virg.*22(M.30.716A); μεταρυθμιζέσθω τῶν ἁπάντων τῇ π. καὶ βλέμμα καὶ κίνημα πρὸς τὴν τοῦ καλοῦ φαντασίαν· καὶ πάντες μὲν οἱ συντυγχάνοντες ἐπιστυφέσθωσαν τὴν διάνοιαν *ib.*(716B); ἡ π. καὶ γνώμης καὶ κινήσεως καὶ μορφῆς καὶ σχήματος...τοῖς τοῦ νυμφίου φίλοις καθαρῶς ὁμιλήσει. οὐ γὰρ εἰς μισανθρωπίαν φέροντες αὐτὴν ἀπεκλείσαμεν, ἀλλ' ἀκριβέσι τύποις ὅλην ἄνωθεν ἀπὸ κεφαλῆς ἄχρι ποδῶν θεοῦ ἄγαλμα ζωγραφήσαντες, οὕτω πρὸς τοὺς τῆς πίστεως οἰκείους ἐπιδεξίως προάγομεν, ἵνα καὶ σχήματι, καὶ λόγῳ, νύμφη ἀληθῶς τοῦ κυρίου ὀφθεῖσα, ὠφελήσῃ τοὺς ὁμιλοῦντας *ib.*36(740C).

G. reward στέφανος τῶν π. ἐγώ [sc. Christ] *A.Mt.*2(p.219.4); †Bas.Anc.*virg.*24(M.30.720B); τῶν μοναζόντων καὶ τῶν π. τάγμα, τῶν τὸν ἰσάγγελον βίον ἐν κόσμῳ κατορθούντων...μέγας ὑμῖν ἀπόκειται στέφανος Cyr.H.*catech.*4.24; *ib.*13.34; αἱ δὲ π. προσδοκώμεναί εἰσι μετὰ τῶν συνεταιρίδων ἐν οὐρανοῖς Μαρίας ἅμα ἀδελφῆς Ἀαρών, καὶ τῆς Μαρίας καὶ Θέκλης τῆς ἐκτιλάσης τὴν σαρκικὴν ἐπιθυμίαν ἀφ' ἑαυτῆς ‡Ath.*pat.*7(M.26.1305C).

H. in persecutions; gen. sufferings, Ath.*apol.Const.*33(M.25.640C); id.*ep.encycl.*4(p.173.17f.; M.25.232A,B); Gr.Naz.*or.*33.3(M.36.217C); *ib.*43.46(556C); rape, †Bas.Anc.*virg.*52(M.30.773B,C).

I. lapsed virgins; their sin λέγει...ὁ κύριος, ὅτι δύο καὶ πονηρὰ ἐποίησεν ἡ π., ἐμὲ ἐγκατέλιπε τὸν ἀληθινὸν...νυμφίον, καὶ ἀπέδρα πρὸς ἀσεβῆ...ψυχῆς ὁμοῦ καὶ σώματος φθορέα Bas.*ep.*46.3(3.137E; M.32.376B); ἡ π., μετὰ τὴν τῆς παρθενίας ἐπαγγελίαν διαφθαρεῖσα, μοιχείας χεῖρον ἐτόλμησεν Chrys.*vid.*2.3(1.353B); to be judged strictly περὶ τῶν ἐκπεσουσῶν π. τῶν καθομολογησαμένων τὸν ἐν σεμνότητι βίον τῷ κυρίῳ, εἶτα...ἀθετουσῶν τὰς ἑαυτῶν συνθήκας, οἱ μὲν πατέρες ἡμῶν...πραῶς συμπεριφερόμενοι ταῖς ἀσθενείαις...ἐνομοθέτησαν δεκτὰς εἶναι μετὰ τὸν ἐνιαυτόν...ἐμοὶ δὲ δοκεῖ, ἐπειδὴ...πληθύνεται νῦν τὸ τάγμα τῶν π., προσέχειν ἀκριβῶς τῷ τε κατ' ἔννοιαν φαινομένῳ πράγματι, καὶ τῇ τῆς γραφῆς διανοίᾳ...οὐκοῦν ἡ μὲν χήρα, ὡς δούλη διεφθαρμένη, καταδικάζεται· ἡ δὲ π. τῷ κρίματι τῆς μοιχαλίδος ὑπόκειται Bas.*ep.* 199.*can.*18(3.291B–E; M.32.717A–720A); 1Cor.7:28 not applying to them, Chrys.*virg.*39(1.298C); sin of intercourse with virgins μηδεὶς οὕτως ἔστω ἀνόσιος...αὐτὸν τὸν ναὸν τοῦ κυρίου, τουτέστι, τῆς π. τὸ σῶμα, καὶ αὐτὴν τὴν...ψυχὴν τῆς π., ἱερώτατον ἐν τῷ ναῷ τοῦ κυρίου ἀνάθημα, τοῖς ἀκολασίας πυρσοῖς βαρβαρικῶς καταφλέξαι. ἀλλ' εἰ ἐκοῦσαν ἐπέδωκεν ἑαυτὴν ἡ π. ... μὴ χωρὶς τοιαύτῃ σαυτὸν εἰς κοινωνίαν τῆς ἁμαρτίας †Bas.Anc.*virg.*41(M.30.749D–752A).

J. ideal of a virgin; **1.** attitude to the world τοιοῦτον δεῖ ἔρωτα τὴν π. ἐρῶσαν, καταφρονεῖν μὲν ἡδυπαθείας, καὶ τοῦ πλούτου καὶ τῆς νομιζομένης ἐν τῷ κόσμῳ τρυφῆς· πατοῦσαν δὲ τὴν πρόσκαιρον δόξαν... καὶ τὰς ἐμπαθεῖς κολακείας, ἀμεταστρεπτὶ τῷ κυρίῳ ἀκολουθεῖν †Bas.Anc.*virg.*26(M.30.724B); **2.** perfect purity, *ib.*27(725B); Gr.Naz.*carm.* 1.2.3.1(M.37.632A); **3.** perfect equilibrium ἡ π. ... οὔτε τοῖς ἐκ σαρκὸς πάθεσι τὸ τῆς ψυχῆς φωτεινὸν συνταράξει, οὔτε τοῖς ἀπὸ ψυχῆς ἔχουσι τὴν ἀρχὴν συγχεῖν τὸ ἑαυτῆς κάλλος ἀνέξεται· ἀλλ' ἑκάτερον ἐν τῇ ἰδίᾳ χώρᾳ...καθ' ἡσυχίαν φυλάττουσα, εἰρήνην μὲν τοῖς μέρεσι μετὰ σοφίας βραβεύσει, ἐν ἠρεμίᾳ δὲ μένειν καὶ ψυχὴν καὶ σῶμα κατὰ φύσιν ἀσκήσασα, τὸ ἐξ ἀμφοῖν ἐναρμόνιον εἶδος καθαρὸν ἐπιδείξει †Bas.Anc. *virg.*47(M.30.760D); *ib.*49(765C); ἡ π. ... μυστικῶς...σαββατιζέτω, μὴ χεῖρα, μὴ πόδα, μὴ ὀφθαλμόν, μήτ' ἄλλο τι τῶν μελῶν, ἀλλὰ μηδὲ νοῦν φθοροποιὸν τοῦ φυσικοῦ κάλλους κινοῦσα· ἀλλ' ἑστηκέτω ὡς ἀγαθὸν γλύμμα θεοῦ ἀκίνητον πρὸς πᾶσαν φαντασίαν *ib.*58(785C); *ib.* 66(804B).

***Πατροπασσιανοί, οἱ**, *Patripassians οἱ Π. μὲν παρὰ Ῥωμαίοις, Σαβελλιανοὶ δὲ καλούμενοι παρ' ἡμῖν Symb.Ant.*(345)7(p.253.18; M. 26.732C).

πατροπάτωρ, ὁ, *father of the fathers π. Ἀντώνιε* Thdr.Stud.*cant.* 18.1(p.377).

***πατροποιέω**, *make father by adoption,* ‡Chrys.*caec.Zacch.*4(8. 126C).

***πατροπρεπής**, *suitable for a father εἰπὲ αὐτῷ πατροπρεπεῖ διαλέξει* Thdr.Stud.*epp.*2.160(M.99.1500C).

***πατροπροβλήτως**, *as sent forth from the Father*; of H. Ghost, Jo. D.*carm.pent.*73(p.215; *πατριπ-* M.96.836C).

***πατροσθενής**, *having the power of the Father,* Jo.D.*carm.pent.*60 (p.215, conj. for *πατρόθεν* M.96.836B).

πατροσύνη, ἡ, v. *****πατρωσύνη.

***πατρότης, ἡ**, *fatherhood*; **1.** in gen. *ὁ φύσει πατὴρ ὁρίζει τοὔνομα* [sc. *υἱόν*] *τοῖς τῆς π. ... ἑπομένοις νόμοις* Cyr.*inc.unigen.*(5[1].699E); *υἱοθεσίαι τε καὶ π. τοῖς αὐτοῖς ὑποκειμένοις...ἐμφέρονται* Leont.H. *Nest.*2.1(M.86.1536C); *ὁ Πλάτων φησὶν ὅτι π. ἐστὶ προϋπαρξις υἱότητος, ἡ δὲ ἐκκλησία...συνάναρχον λέγει τὸν υἱὸν τῷ πατρί* Anast.S.*hod.*1(M. 89.49D); **2.** as complimentary title of bishops, *Ep.*ap.CSyr.(*ACO* 3 p.97.21; H.2.1373A); and of abbots, Thdr.Stud.*epp.*1.26(M.99. 992B); *ib.*2.16(1165A); **3.** theol. *τῇ...ἀιδιότητι συμπαρεκτεινομένην ἔχει τὴν...π.* Bas.*Eun.*2.12(1.247B; M.29.593B); *κοινὴ μὲν ἡ θεότης· ἰδιώματα δέ τινα π. καὶ υἱότης ib.*2.28(265C; M.637B); *τῆς οὐσίας λόγος κοινός...ἡ δὲ ὑπόστασις ἐν τῷ ἰδιώματι τῆς π.* id.*ep.*214.4(3.322E; M. 32.789B); *αἱ περὶ τοῦ θεοῦ ὑπολήψεις...ἡ π., ἡ ἀγεννησία* Gr.Nyss. *Eun.*1(1 p.187.16; M.45.432D); *ὁμοούσιον ὄντα τὸν πατέρα τῷ υἱῷ, οὐκ εἰς τὸν τῆς υἱότητος τόπον...καταφέρει λόγος, οὔτε μὴν ἀνατίθησι τὸν υἱὸν εἰς τὴν τῆς π. θέσιν* Cyr.*Jo.*1.4(4.35C); *ἀπὸ γὰρ τῆς υἱότητος ἡ π. νοεῖται· καὶ τὸ ἀντίστροφον* id.*thes.*7(5[1].59B); *πάντα εἶχεν ὅσα ὁ πατήρ, πλὴν αὐτῆς τῆς π.* Thdt.*Trin.*16(M.75.1173B); *ἓν γὰρ θεὸν... ἐν μόναις δὲ ταῖς ἰδιότησι τῆς τε π. καὶ τῆς υἱότητος* ‡Cyr.*Trin.*10(6[3]. 15D; M.77.1144A); Dion.Ar.*d.n.*2.8(M.3.645C); Max.*schol.myst.*3(M. 4.424D); *υἱῷ...ἴσῳ τῷ πατρὶ χωρὶς τῆς π.* ‡Ath.*Lat.*1(M.28.825C); of God's fatherhood towards man *οὐκ ἀρχὴ μόνον ἐστίν, ἀλλὰ καὶ π.* Chrys.*hom.15.4 in 2Cor.*(10.549E); exeg. Eph.3:15 *τὸ τῆς...π. ὄνομα οὐκ ἐξ ἡμῶν κυρίως ἔχει θεός, ἀλλ' ἡμεῖς μᾶλλον ἐξ αὐτοῦ λαβόντες ὁρώμεθα. ... πῶς δ' ἂν...τὸ τῆς...π. ὄνομα καὶ εἰς τοὺς ἄλλους ἐκβῆναι παρὰ θεοῦ δοίη τις ἄν, εἴ γε ὄντως οὐκ ἔστι πατήρ;* Cyr.*Jo.*1.3(4.24B).

***πατροτροφέω**, *provide for parents,* Phot.*nomoc.*11.15(p.599; M. 104.1156C).

***πατροφαής**, *deriving light from the Father,* Gr.Naz.*carm.*2.1.38. 5(M.37.1325A).

***πατροφεγγής**, *with the Father's splendour,* Geo.Pis.*hex.*1783(M. 92.1572A).

***πατροφονία, ἡ**, *parricide, Hom.Clem.*6.18; Bas.*hom.*12.8(2.104D; M.31.401D).

πάτρων, ὁ, (Lat. *patronus*) *patron,* Thphl.Ant.*Autol.*3.27(M.6. 1161C); Nil.ap.Jo.D.*parall.*5(M.95.1429D); of martyred apostles as patron saints, *A.Petr.et Paul.*85(p.219.12).

πατρωνεύ-ω, *be a patron, further* someone's *interests ἑαυτῷ ~εις* Ephr.3.168C.

πατρωνυμία, ἡ, *name from one's father, patronymic ὡς γὰρ ἔοικε, π. ἦν τοῦ λῃστοῦ ὁ Βαραββᾶς, ὅπερ ἑρμηνεύεται διδασκάλου υἱός* Or. *schol.in Mt.*27:12ff.(M.17.308A).

***πατρωνυμικῶς**, *after one's father's name* (Valent.) *τελειότατον κάλλος...τοῦ πληρώματος...τὸν Ἰησοῦν ὃν καὶ σωτῆρα προσαγορευθῆναι καὶ Χριστὸν καὶ λόγον π.* Iren.*haer.*1.2.6(M.7.465A); *σοφίαν τε π.* (*ὁ γὰρ πατὴρ αὐτῆς σοφία κληΐζεται*) *καὶ πνεῦμα ἅγιον ib.*1.4.1(480B); *Ἰησοῦν...π. καλεῖσθαι φῶς διὰ τὸ ἄνω φῶς* Epiph.*haer.*31.4(p.389.1; M.41.480B).

πατρῷος, **1.** *of* God *the Father εἰς τὴν π. ἀποθήκην σωρευθῶμεν* Clem.*paed.*1.9(p.139.9; M.8.349C); *φιλαργύρους...τῆς π. ἐξέβαλεν αὐλῆς ὁ κύριος ib.*3.11(p.280.1; 657A); *π. νουθεσίας* id.*str.*7.16(p.72. 13; M.9.541B); *π. κληρονομίαν* Or.*Jo.*6.45(26; p.155.2; M.14.280B); *πνεῦμα...ἀπὸ τῶν π. ἀνωθεν...καταπνεόμενον θησαυρῶν* Meth.*symp.* 7.1(p.71.4; M.18.121C); theol., of Father in rel. to Son *ὁ π. λόγος* Clem.*fr.*23(p.202.20; M.103.383A); Eus.*e.th.*3.2(p.143.20; M.24.980A); *μόνου τοῖς π. κόλποις ἀναπανομένου Symb.Ant.*(345)9(p.253.39; M.26. 733A); *ἐν γὰρ τῇ π. θεότητί ἐστι...ὁ υἱός* Ath.*Ar.*3.6(M.26.332C); *δηλοῖ μετὰ τοῦ π. ὀνόματος καὶ τὸν γεγεννημένον* Didym.(‡Bas.)*Eun.*5 (1.311A; M.29.745B); **2.** *of a* spiritual *father*; a monastic superior, Nil.*Eulog.*16(M.79.1113B); a patriarch, Sophr.H.*ep.syn.*(M.87.3196B).

***πατρωσύνη (πατροσύνη), ἡ**, *fatherhood*; of bishop's office *εὐφρανθῶμεν ἐπὶ σῇ π.* Jo.Disc.*v.Epiph.*34(M.41.68D); as complimentary title *ἱκετεύω τὴν σὴν π. ib.*46(84A); *ib.*62(104D); of office of monastic superior *θίγε...τὸ οὖς σου τοῖς τῆς πατροσύνης λόγοις* Nil. *Eulog.*15(M.79.1113A); *ib.*28(1129C); as complimentary title, Thdr. Stud.*epp.*1.39(M.99.1048D); of others regarded as fathers in God *τοῖς ἁγίοις μου πατράσι καὶ ὁμολογηταῖς...συγχαίρων ὑμῖν τῇ π. ib.*2. 83(1325A).

***Παυλιανίζω**, *be a follower of Paul of Samosata*; such to be baptized on submission to the Church, CNic.(325)*can.*19; Steph.Hier. *agn.*(p.156.17) cit. s. *Νεστοριανίζω*; Leont.B.*Apoll.*(M.86.1949B); Thdr.Stud.*epp.*2.169(M.99.1533C).

***Παυλιανικός**, *of Paul of Samosata,* Apoll.*ep.Dion.*4(p.258.10; M.*PL.*8.931A).

***Παυλιανιστής, ὁ**, *follower of Paul of Samosata Π.· οἱ ἀπὸ Παύλου Σαμωσατέως· ταπεινὰ καὶ χαμαιπετῆ περὶ τοῦ Χριστοῦ φρονήσαντες, ὡς κοινοῦ τὴν φύσιν ἀνθρώπου γενομένου, καὶ τὴν ἀρχὴν ἀπὸ Μαρίας ἐσχηκότος* Tim.CP *haer.*(M.86.24C); *ib.*(41B).

***Παυλιανός, ὁ**, **1.** *follower of Paul of Samosata,* Const.ap.Eus.*v.C.* 3.64(p.111.18; M.20.1140B); Eus.*e.th.*1.20(p.88.8; M.24.877C); *πάντες ἅμα ἐκκλησίαζον καὶ ἐκοινώνουν, πλὴν Ναυατιανῶν...Οὐαλεντιανῶν τε καὶ Μαρκιωνιστῶν καὶ Π.* Soz.*h.e.*2.32.1(M.67.1025C); **2.** *'Paulian'*, i.e. follower of S. Paul, word coined by Gr. Naz. to parallel *Χριστιανός*, Gr.Naz.*or.*37.17(M.36.301C).

***Παυλικιανός, ὁ,** *member of Paulician sect,* derived from Paul and John of Samosata (cf. Euthymius Zigabenus *panoplia* 24(M.130.1189cff.)); holding a form of Manichean doctrine, ‡Jo.D.*ep. Thphl.*22(M.95.373B); flourishing in Thrace as result of settlement there by Const. Copronymus of Syrians and Armenians, Thphn. *chron.*p.360(M.108.865A); *Μανιχαίων, τῶν νῦν Π. καλουμένων ib.*p.413 (980D); *ib.*p.420(996A); measures taken for their suppression in Asia Minor by emperor Michael, *ib.*p.419(993B).

***Παῦλος,** *Paul,* ref. fanciful etymology of name *Σαῦλος...ἐσάλευε ...τὴν ἐκκλησίαν, Π. δέ τοι πέπαυται τοῦ διώκειν* Euthal.Diac.*epp. Paul.*proem.(M.85.697B).

***παῦνι,** Coptic month corresponding to June, *A.Barn.*24(p.301. 15n.); Cyr.*ep.*23(p.67.10; 5^2.85C).

[*]παυράκι, *rarely, occasionally,* Gr.Naz.*carm.*1.2.1.709(M.37. 576A).

***παῦσα, ἡ,** *cessation,* Plato *Phaedr.*245C ap.Gr.Nyss.*Eun.*9(M.45. 813C; v.l. for *παῦλαν* 2 p.215.16); Gr.Nyss.*v.Mos.*(M.44.325C; prob. for *παῦλαν* or *παῦσιν*).

παυσίκακος, *ending evil,* Sophr.H.*mir.Cyr.et Jo.*15(M.87.3469B); ‡Gr.Naz.*Chr.pat.*2262(M.38.314A).

***παυσιμέριμνος,** *ending care,* an 'aeon' in Hesiod's cosmology as compared with Valent. system, Epiph.*haer.*31.3(p.387.6; M.41. 477C).

παῦσις, ἡ, *cessation,* ref. Arian exegesis of 1Cor.15:24 *φασι, παύσεως καὶ καταλύσεως τοῦ βασιλεύοντός ἐστι ταῦτα δηλωτικά* Epiph. *haer.*69.74(p.222.8; M.42.321C).

παυσώδυνος, *ending pain,* Sophr.H.*mir.Cyr.et Jo.*26(M.87.3497A).

παχνήεις, *frosty,* Nonn.*par.Jo.*10:22(M.43.836B).

πάχος, τό, *grossness, materiality, unspirituality σώματος ὑλικοῦ καὶ δεσμίου νοῦ π.* Gr.Naz.*or.*45.11(M.36.637B); *νοῦ πρὸς ὕψος ἐκ π. ἐκδημίαις* id.*carm.*2.1.12.579(M.37.1208A); *ὅπερ...ἐν Ἀδὰμ ὡς ἐν π. πραγμάτων...ὁρᾶται συμβεβηκός, τοῦτο καὶ ἐν ἑκάστῳ τῶν καθ' ἡμᾶς νοητῶς...κατίδοι τις ἂν πληρούμενον* Cyr.*ador.*1(1.10D); *τυπικῶς...καὶ ὡς ἐν π. λατρείας Ἰουδαϊκῆς* id.*Juln.*10(6^2.357B); ref. lit. sense of scripture *τῆς ἱστορίας τὸ π.* id.*ador.*5(1.157C); id.*Ps.*35:6(M.69. 917B).

παχόω, *freeze stiff,* Nil.*praest.*24(M.79.1089A).

***παχυβάτωρ,** *thick-flowing, sluggish, Chron.Pasch.*p.30(M.92. 129A).

παχυκάρδιος, *dull in understanding, dense,* Ast.Am.*hom.*7(M.40. 257C).

παχυμέρεια, ἡ, *density, coarseness,* hence *grossness τί γὰρ κοινὸν τῇ ἀύλῳ τῆς ψυχῆς φύσει πρὸς τὴν ὑλικὴν π.;* Gr.Nyss.*hom.*9 *in Cant.* (M.44.965B); id.*anim.et res.*(M.46.28C).

παχυμερής, 1. *gross τὸ λεπτομερέστερον, ἡ ψυχή, οὐκ ἄν ποτε πρὸς τοῦ παχυμερεστέρου ὕδατος* [i.e. of Flood] *πάθοι τι δεινόν. ... ὃ δ' ἂν π. ἐκ τῆς ἁμαρτίας πεπαχυμμένον τύχῃ, τοῦτο ἀπορρίπτεται σὺν τῷ σαρκικῷ πνεύματι* Clem.*str.*6.6(p.458.7; M.9.273C); 2. *unspiritual, material, earthly τὸν νόμον...π. σῶμα λαβὼν λεπτύνει διὰ τῆς θεωρίας* Gr.Nyss.*hom.*7 *in Cant.*(M.44.925D); Leont.H.*Nest.*7.5(M.86. 1768^{d}A); 3. *bodily,* of Inc. *τῇ δὲ θεότητι συνηνωμένος τὸ π. λεπτομερὲς ἐτελείου* Epiph.*haer.*77.29(p.441.28; M.42.684B); *εἰσῆλθε... θυρῶν κεκλεισμένων ἵνα δείξῃ τὸ π. λεπτομερές* id.*anc.*91(p.112.11; M. 43.184C); 4. *rough, cursory,* of bipartite opp. tripartite division of man *κατὰ τὴν παχυμερεστέραν...τομήν* Gr.Nyss.*Apoll.*35(M.45. 1200C).

παχυμερῶς, 1. *crassly, unspiritually*; of lit. exegesis, Gennad.*fr. Gen.*49:11(M.85.1660B); 2. *dull-wittedly, without understanding,* Socr. *h.e.*5.24.2(M.67.648C).

παχύνους, *dull-witted, weak-minded,* Didym.*Trin.*1.15(M.39. 316A); Cyr.*ador.*1(1.7A).

παχύν-ω, *make thick* or *gross*; theol., *make corporeal,* pass., ref. Inc. *ὁ τοῦ θεοῦ λόγος, μένων θεός..., ~εται* Sophr.H.*or.*2.15(M.87. 3233C); Jo.D.*carm.theog.*29(p.206; M.96.820C).

παχύς, 1. *earthly, of this world,* opp. spiritual *παχυτέρᾳ κέχρηται τῇ λέξει* Chrys.*scand.*4(3.472B); *ib.*6(475B); id.*hom.*25.2 *in Jo.*(8. 145A); *ib.*39.2(228C); *οὐχ ὁρατὸς ἢ π. ὁ πόλεμος* Cyr.*ador.*11(1.389D); *ἀναγκαῖα πρὸς θεωρίαν...πνευματικὴν...λέγωμεν, τὸ τῆς ἱστορίας ὑποτρέχοντες π. ib.*12(414B); *ib.*16(562A); of the five loaves as symbol of the *παχυτέρα τῆς πεντατεύχου διδασκαλία* Ammon.*Jo.*6:13(M.85. 1433A); *τύπος π.* [sc. of angels] *τὰ καθ' ἡμᾶς* Max.*schol.c.h.*15.3(M. 4.105C); 2. *carnal σάρκα τοὺς παχυτέρους...ἀνθρώπους λέγει* Thdt.*Ps.* 55:5(1.973); *παχυτέρους καὶ σαρκικούς* id.*Dan.*7:11(2.1200); 3. *dense, insensitive π. ποιεῖ* [sc. *γαστριμαργία*] *διάνοιαν* Chrys.*hom.*45.1 *in Jo.* (8.261D); *τὰ σημεῖα γὰρ...τοῖς ἀπίστοις καὶ παχυτέροις ib.*35.2(8.205A).

παχύσαρκος, *gross, materialistic, cat.Apoc.*8:2(p.298.27).

παχύτης, ἡ, 1. *grossness, materiality τῆς καθαρωτέρας...χώρας... ἔνθα μὴ φθάνουσιν αἱ ἀπὸ τῆς γῆς...παχύτητες* Or.*Cels.*3.35(p.232. 2; M.11.965A); *τὴν ἀπερίγραφον...ἐξουσίαν...μὴ περικλείεσθαι...παχύτητι σώματος* Mac.Mgn.*apocr.*3.14(p.90.15); Chrys.*hom.*25.2 *in Jo.* (8.145A); *θεϊκῶς συναπτόμεθα, καὶ τρόπον ἄλλον ἢ ὃν αἱ π.* Gr.Naz. *or.*34.6(M.36.245C); ref. Christ at parousia *οὐκ ἔτι μὲν σάρκα, οὐκ ἀσώματον δέ,...θεοειδεστέρου σώματος, ἵνα καὶ ὀφθῇ...καὶ μείνῃ θεὸς ἔξω παχύτητος ib.*40.45(424C); ‡Thdt.*nativ.Jo.Bapt.*(5.90); 2. *dullness, insensibility,* Thdt.*Heb.*12:25(3.631); opp. spirituality *τὴν ἐκ τοῦ γράμματος π.* Cyr.*Mich.*70(3.470C); Diad.*perf.*16(p.18.24) cit. s. *γεώδης*; 3. *earthliness ὁ...δεσπότης τοσαύτῃ π. λέξεως ἐχρήσατο πρὸς ὠφέλειαν τῶν ἡμετέρων ψυχῶν* Chrys.*hom.*42.4 *in Gen.*(4.428C).

***πάχωμα, τό,** disease of the eye producing a thick film, *Exorc.* 15(p.338).

***παχών,** Coptic month corresponding to May, Epiph.*mens.*20 (M.43.272A); acc. some the month of Christ's birth *ἔτους κη' Αὐγούστου ἐν πέμπτῃ π. καὶ εἰκάδι* Clem.*str.*1.21(p.90.20; M.8.885A).

***πεδατοῦρα, ἡ,** (Lat. *pedatura*) *space measured in feet,* hence *station* of troops on guard *τοὺς τῆς π. στρατιώτας* Jo.Mal.*chron.*14 p.351(M.97.524B).

πεδάω, 1. *bind with fetters,* met., *ἐσωφρονίσθη πεδηθεῖσα ἡ κακία* Tit.Bost.*Man.*1.25(M.18.1104A); *ταῖς τοῦ κόσμου πεπεδημένος ἐπιθυμίαις* Chrys.*sac.*1.1(p.3.10; 1.363A); 2. perf. ptcpl. pass., *crippled, paralysed,* Thdt.*h.e.*1.7.5(3.755).

***πέδησις, ἡ,** *fettering, restriction,* Ephr.Chers.*mir.Clem.*16(M.2. 644B).

[*]πεδιάσιμος, *consisting in plains,* Bas.*hom.*5.6(2.40B; M.31. 253B); Pamph.Mon.*Soter.*3(p.118.12).

πέδιλον, τό, plur., *sandals*; *boots,* Epiph.*haer.*59.11(p.376.14; M. 41.1033C *πέδια*) cit. s. *ὀδώνιον.*

πεδοσκαφής, *dug in the earth,* Nonn.*par.Jo.*4:6(M.43.773B).

πεδοστιβής, *trodden under foot,* Gr.Naz.*carm.*1.2.8.136(M.37. 659A).

***πεδοτρεφής,** *fed from the earth,* Nonn.*par.Jo.*4:12(M.43.776B).

***πεδουκλόω,** *fetter,* Barth.Edess.*Agar.*(M.104.1424B).

***πεδ-όω,** *fetter οἷα ἀνθρώπου ψυχὴ τῷ σώματι ~ούμενος* Eus.*d.e.*7.1 (p.302.9; M. om.).

πέζα, ἡ, *region,* Nonn.*par.Jo.*3:14(M.43.768C); *ib.*4:4(773B); *ib.* 12:1(840B).

***πεζαίτεροι, οἱ,** v. *πεζέταιροι.*

***πεζέρως, ὁ,** *carbuncle τὸν π. λίθον, αὐτὸν γὰρ καλεῖ ἄνθρακα* Cosm.Ind.*top.*11(M.88.452B).

πεζέταιροι, οἱ, *foot-guards,* Thdt.*h.e.*3.15.4 (v.l. *πεζαίτεροι* 3.930); id.*qu.*40 *in 2Reg.* (*πεζαιτέρων* 1.443); id.*Dan.*4:9 (*πεζαιτέροις* 2. 1144).

πεζεύ-ω, 1. *go on foot upon κύματα ~σει Orac.Sib.*6.13; Mac.Mgn. *apocr.*2.8(p.9.21); 2. *dismount ἐκυνήγησεν...πρόβατον, καὶ ἐπέζευσεν τοῦ σφάξαι αὐτό* Barth.Edess.*Agar.*(M.104.1425C); 3. *make pedestrian ~έ μοι τὴν λέξιν, ἀγροικοστόμει* Gr.Naz.*carm.*2.1.12.295(M.37.1187A); 4. *make passable on foot ἔσχισε τὴν θάλασσαν καὶ ἐπέζευσε τῷ λαῷ αὐτοῦ* Barth.Edess.*Agar.*(M.104.1444D).

***πεζινός,** *on foot,* Jo.Mal.*chron.*18 p.464(M.97.677C).

πεζοβατέω, *go on foot, A.Thom.*A 137(p.243.21n.).

πεζοπορέω, *go on foot*; *walk,* fig., Nil.*epp.*1.331(M.79.201C).

πεζοπορία, ἡ, *travelling on foot ἡ ἐπὶ γῆς τοῦ Χριστοῦ διατριβὴ ἐν πτωχείᾳ καὶ π. γέγονεν* Anast.S.*hod.*13(M.89.237C); †Jo.D.*B.J.*25(M. 96.1089B); of the walking on the water, Ath.*v.Anton.*75(M.26. 949A).

[*]πειθανολογία, ἡ, v. *πιθ-.*

[*]πειθανός, = *πιθανός, persuasive,* †Thdt.*Pss.proem.*(5.74).

[*]πειθανότης, ἡ, *persuasiveness,* Didym.*Trin.*3.11(M.39.860B).

[*]πειθανουργία, ἡ, *plausible argumentation,* Didym.*Trin.*2.6(M. 39.516C); *ib.*2.7(585A).

[*]πειθανῶς, = *πιθανῶς, persuasively,* Gr.Naz.*carm.*1.1.10.29(M. 37.467A).

πειθαρχ-έω, *obey πάντας...~εῖν τῷ λόγῳ τῆς δικαιοσύνης* Polyc.*ep.* 9.1; *θεὸς...ᾧ ~εῖ σελήνη Diogn.*7.2; *~εῖν ταῖς ἐντολαῖς* Meth.*symp.* 10.4(p.126.11; M.18.200A); Eus.*h.e.*6.34(M.20.596A); CNic.(325)*can.* 18; *~εῖν...τῷ ψευδεῖ* Ephr.3.142A.

***πειθάρχημα, τό,** *act of obedience,* ‡Chrys.*hom.*13(13.254B).

πειθήνιος, 1. *persuasive οὗς ὁ λόγος ὁ π. οὐκ ἰᾶται, ἀπειλὴ ἰάσεται* Clem.*paed.*1.7(p.126.6; M.8.324A); *Hom.Clem.*12.12; 2. *obedient,* in gen. *π. οἱ ἀρχόμενοι τοῖς ἄρχουσιν* Clem.*str.*1.25(p.103.23; M.8. 913A); *τὸν ταῖς ἐντολαῖς π. ib.*2.16(p.151.19; 1012B); *κρείττονι γνώμῃ π.* Eus.*v.C.*1.44(p.28.27; M.20.960A); *πόλις...π. ἑαυτὴν...παρέσχηκεν* Constantius ap.Ath.*apol.Const.*30(M.25.632D); Chrys.*hom.*34.1 *in*

Heb.(12.312C); to God ψυχὰς π. πάρεσχον τῷ θεῷ *A.Thom.*A 59 (p.175.19); †Apoll.*met.Ps.*50 tit.(M.33.1381D); Nonn.*par.Jo.*3:1(M. 43.765B); Nil.*epp.*3.33(M.79.400D); Cyr.*Ps.*49:4(M.69.1077D); abs. ἐκ μεταβολῆς π., ἀλλ' οὐκ ἐκ φύσεως τὴν σωτηρίαν Clem.*str.*2.20(p.175. 22; M.8.1060A); Chrys.*hom.15.2 in Ac.*(9.121A); Cyr.*Jo.*5.2(4.486B); neut. as subst., Chrys.*hom.54.3 in Jo.*(8.319E); Cyr.*Jo.*4.1(4.335C).

πειθηνίως, *obediently,* Clem.*str.*7.7(p.32.12; M.9.460A); Chrys. *hom.84.1 in Mt.*(7.798A).

***πειθικός,** *persuasive,* Thphn.*chron.*p.166(v.l. ἠθικῷ M.108.444B).

πείθ-ω, A. trans., *persuade*; ref. God sending Son to earth ὡς βασιλεὺς πέμπων υἱὸν βασιλέα ἔπεμψεν...ὡς ~ων, οὐ βιαζόμενος *Diogn.*7.4; of prevailing over, persuading, God in prayer ἔχων γὰρ τὴν ἐκ τῆς καθαρᾶς βιοτῆς παρρησίαν ῥᾷστα πείσεις τὸν εὐεργετεῖν ἐπειγόμενον Thdt.*ep.*143(4.1239); id.*Jer.*15:1(2.488); opp. ἀναγκάζω, Ath.*h.Ar.*67(p.220.1; M.25.773A).

B. intrans.; **1.** *trust* πεποιθότες ἐπὶ τὸ ὁσιώτατον τῆς μεγαλωσύνης αὐτοῦ ὄνομα *1Clem.*58.1; ἡ περιτομὴ ἐφ' ᾗ πεποίθασιν *Barn.*9.4; Just. *dial.*8.2(M.6.492D); πεποιθότα ἐπὶ κύριον Clem.*str.*7.11(p.48.21; M.9. 493B); τὸ ἐπὶ τῇ ἀληθείᾳ πεποιθέναι *ib.*7.16(p.74.7; 545A); Const.ap. Eus.*v.C.*4.12(p.122.26; M.20.1161A); **2.** *be convinced* π. περὶ τῆς σωφροσύνης σου *T.Jos.*4.2; π. ὅτι...οὐκ...ἔδραμον Polyc.*ep.*9.2; πιστεύοντες, μᾶλλον δὲ καὶ πεπεισμένοι Just.*1apol.*17.4(M.6.353D); πειοθῆναί τε καὶ πιστεῦσαι ὅτι ἀληθῆ ταῦτά ἐστι *ib.*18.2(356A); Clem. *str.*4.22(p.312.29; M.8.1356B); Chrys.*ad.ep.Aeg.Lib.*23(M.25.592D); **3.** *be resolved* ὁ ὑπακούειν ταῖς ἐντολαῖς πεπεισμένος Clem.*str.*2.2(p.116.19; M.8.937B); ὁ τεύξεσθαι πεπεισμένος τῶν ὄντως ἀγαθῶν *ib.*6.9(p.470.6; M.9.297B); **4.** abs., *be a believer, be converted,* Clem.*ecl.*36(p.148.3; M.9.717A); Philost.*h.e.*2.5(M.65.469A); **5.** *obey* ~όμενος τῷ Ἰησοῦ Or. *hom.16.4 in Jer.*(p.136.4; M.13 om.); Meth.*symp.*10.4(p.126.14; M. 18.200A om.); Jo.D.*f.o.*1.5(M.94.800C).

πειθώ, ἡ, 1. *persuasiveness, persuasion*; hence *conviction, assurance* π. καὶ πίστιν...ἐμφορῆσαι Just.*1apol.*53.12(M.6.408B); ἀπὸ τῶν...θεοσεβῶν τὴν π. ἔχομεν id.*dial.*53.6(M.6.593C); Clem.*prot.*10 (p.70.16; M.8.209B); π. δὲ ἡ βεβαίωσις τῆς πίστεως id.*str.*1.11(p.34.2; M.8.749B); Meth.*res.*1.33(p.270.3; M.41.1145A); **2.** *obedience* ἔνθεον πρὸς τὴν διδασκαλίαν π. Clem.*str.*4.4(p.254.14; M.8.1228A); Or.*princ.* 3.1.11(p.212.6; M.11.268A); τὴν πρὸς τὸν ὄφιν π. Meth.*res.*1.29(p.260. 11; M.41.1137C).

***πειναλέως,** *hungrily,* Nil.*epp.*4.51(M.79.573C).

πειν-άω, 1. lit., *hunger (for),* Christol. ἐπείνασε διὰ τὸ ἴδιον τοῦ σώματος Ath.*inc.*21.7(M.25.133C); Leo Mag.*ep.*28(p.15.18; M.*PL.*54. 768); **2.** met. τοὺς ~ῶντας τὸν λόγον Clem.*paed.*1.6(p.118.17; M.8. 305C).

πεῖρα, ἡ, 1. *attempt* π. προσαγαγόντες τῇ γυναικί Or.*Jo.*28.5(p.394. 27; M.14.688D); κἂν τις δι' ἔργων ταύτης [sc. εὐεργεσίας] τυχεῖν πειρασθείη, εἰς μάτην ἔσται ἡ π. Gennad.*fr.Rom.*11:6(M.85.1716C); **2.** *enterprise*; of an athletic contest, met. θεοῦ ζῶντος πεῖραν ἀθλοῦμεν *2Clem.*20.2; **3.** *trial, test,* Just.*dial.*132.2(M.6.784A); π. ὑμῶν ἐποιούμην πῶς διάκεισθε ἤδη τὴν γνώμην *ib.*137.3(792B); βίβλους μηδενὶ...μεταδοῦναι...πρὸ πείρας *Clem.ep.Petr.*1(M.2.25A); of candidates for monastic life χρόνῳ καὶ...ἀγωνίσμασι π. τῆς κρίσεως αὐτῶν λαμβάνοντας...ὥστε ἀζήμιον τὴν π. τῆ ἀδελφότητι γίνεσθαι Bas.*reg. fus.*10.2(2.352E; M.31.945B); of Christ's temptations, Gr.Naz.*or.*40. 30(M.36.401B); **4.** *experience* ἡ πίστις εἰσάξει, ἡ π. διδάξει Clem.*prot.* 9(p.65.20; M.8.200B); ἐκ τῆς π. ἑαυτὸν ἐπανορθούμενος id.*fr.*(p.228. 2); τοῦ δυνατοῦ τὴν π. λαβόντες *Hom.Clem.*7.11; πάντες ἀπέθανον, εἰ καὶ μὴ τῇ π., ἀλλὰ τῇ ἀποφάσει Chrys.*comm.in Gal.*2:20(10.693C); εἰ καὶ μὴ ἔσφαξαν τῇ π., ἀλλ' ἔσφαξαν τῇ γνώμῃ id.*dimiss.Chan.*1(3. 433D); π. ἔχων αὐτοῦ Jo.Mosch.*prat.*83(M.87.2940C); ref. Inc. μιᾶς γὰρ οὔσης τῆς κατὰ θεὸν ζωῆς καὶ θατέρας τῆς κατὰ ἄνθρωπον... ἀμφοτέρων εἰκότως ὁ κύριος διὰ πείρας ἐλθών, ἐν μέσῳ δύο ζωῶν γνωσθῆναι λέγεται Eus.*d.e.*6.15(p.270.11; M.22.444D); ἑκατέρων π. ἔσχε Eust.*fr.in Ps.*15(p.68; M.18.685D); τίς ὁ πείρᾳ μαθὼν τὴν ὑπακοὴν καὶ ταύτην ἀγνοῶν πρὸ τῆς π.; οὐχ ὁ λόγος ὁ ἀθάνατος ὁ ἀπαθὴς...ἀλλὰ τὸ ἐκ σπέρματος Δαυὶδ ληφθὲν ὑπ' αὐτοῦ...ἐν π. δὲ γέγονε τῶν ἡμετέρων παθημάτων...ἡ ἐξ ἡμῶν...ληφθεῖσα φύσις Thdt. ap.Cyr.*apol.Thdt.*10(p.136.22; 6[1].230E); τῇ π. ... μεμαθηκὼς τῆς ἀνθρωπείας φύσεως τὴν ἀσθένειαν...οὔτε ὡς θεὸς διὰ τῆς π. μεμάθηκε τὰ ἡμέτερα id.*Heb.*2:18(3.561); οὐ μόνον ὡς θεὸς οἶδε τῆς ἡμετέρας φύσεως τὴν ἀσθένειαν, ἀλλὰ καὶ ὡς ἄνθρωπος π. τῶν ἡμετέρων ἔλαβε παθημάτων *ib.*4:15(571).

πειράζ-ω, 1. *test, put to trial*; **a.** of God δεῖ σε...θλιβῆναι· οὕτω γὰρ προσέταξεν ὁ ἔνδοξος ἄγγελος τὰ περὶ σοῦ· θέλει γάρ σε πειρασθῆναι Herm.*sim.*7.1; ~ει σε ὁ κύριος ἐκλέξασθαι τὴν ζωήν Clem.*prot.*10 (p.69.26; M.8.208C); εὐλογήσει ~όμενος ὡς ὁ γενναῖος Ἰώβ id.*str.*2. 20(p.170.6; M.8.1048C); Or.*or.*29(p.382.24; M.11.532C); contrasted with tempting by Devil, ‡Dion.Al.*fr.Lc.22*:46(p.247.19; M.10. 1596A); ἀπεῖη πιστεύειν, ὅτι...~ει ὡς ἀγνοῶν, καὶ τίς προγινώσκει; *Hom.Clem.*2.43; οὐ γὰρ ἂν ὁ τὰ πάντα γινώσκων...ἐπείρασεν, ἵνα γνῷ αὐτὸς ὁ τὰ πάντα προγινώσκων *ib.*16.13; ref. Gen.22:1 ἐπείρασεν· οὐχ ὡς αὐτὸς ἀγνοῶν, ἀλλὰ προσῆγεν αὐτῷ τὴν πεῖραν, ἵνα καὶ οἱ τότε παρόντες...παιδεύωνται...τὴν ὑπακοὴν ἐπιδείκνυσθαι Chrys.*hom.47.1 in Gen.*(4.474A); Thdt.*qu.73 in Gen.*(1.85); **b.** of Devil, ref. temptations of Christ ἐπείρασεν αὐτόν, ἵνα γνῷ...καὶ ἀπέστη ἀπ' αὐτοῦ εἰς καιρόν, τουτέστιν ἀνεβάλλετο τὴν εὕρεσιν εἰς τὴν ἀνάστασιν. ᾔδει γὰρ τοῦτον εἶναι τὸν κύριον τὸν ἀναστησόμενον Clem.*ecl.*53(p.152.2; M.9. 721D); **c.** of men tempting God, Meth.*lepr.*10(p.464.12); Chrys. *hom.13.3 in Mt.*(7.171C); Cyr.*Jo.*2.1(4.141C); ref. temptations of Christ, Iren.*haer.*5.22.2(M.7.1183C); οὐχ ὁ σωτήρ γε ἐπείρασεν· εὖ γὰρ ᾔδει...περὶ τῆς τοῦ πατρὸς δυνάμεως τῆς συνεργούσης αὐτῷ Eus.*Ps.* 90:10–12(M.23.1161C); **2.** *tempt, seduce* to evil; **a.** of Christ's temptations, Just.*dial.*125.4(M.6.768A); as recapitulation of temptation of Adam, Iren.*haer.*5.21.2(M.7.1180A–1181B); cf. *quadraginta diebus tentatur..., et quae fuerint tentamenta, nescimus; quae ideo forsitan praetermissa sunt, quia majora erant, quam ut litteris crederentur...* πάντα πειρασμόν, ὃν ἤμελλον οἱ ἄνθρωποι ~εσθαι, πρῶτον ἐπειράσθη κατὰ τὸ ἀνθρώπινον ὁ σωτήρ...ἄνθρωπός ἐστι ~όμενος...ἐπειδὴ γὰρ Ἰωάννης ἀπὸ θεοῦ ἤρξατο, οὐκ ἐγενεαλόγησεν αὐτὸν ὡς θεόν...διὰ τοῦτο, ἐπειδὴ θεός, οὐκ ἐπειράζετο· οἱ δὲ ἄλλοι, ὡς τὰ ἀνθρώπινα διηγούμενοι τοῦ σωτῆρος, εἰσάγουσιν αὐτὸν καὶ ~όμενον Or.*hom.29 in Lc.*(pp.178.15–181.14; M.13.1874D–1876B); as example in human temptations, *ib.*(p.181.26; 1876C); Eus.*Ps.*90:9(M.23.1153Aff.); purpose discussed: to demonstrate completeness of Christ's power over demons and Devil and to compel their recognition of himself (Mt.8:29), id.*d.e.*9.7(p.419.9; M.22.676B); to demonstrate his humanity, cf.Hegem.*Arch.*60(p.88.27; M.10.1516A); give example to newly baptized Christians when tempted, Chrys.*hom.13.1 in Mt.* (7.168Aff.); show his sympathy with human sinners, id.*hom.5.2 in Heb.*(12.53B); τὸ δέ, πειρασθεὶς δύναται βοηθεῖν, ταπεινὸν σφόδρα, πλὴν οὐκ ἔξω τῶν τῆς ἑνώσεως μέτρων...ἑαυτὸν...ὡς ἄμωμον ἱερεῖον προσεκόμισε τῷ πατρί, ἵνα διὰ τῆς ἑαυτοῦ σαρκὸς βοηθήσῃ τοῖς... ~ομένοις Cyr.*Heb.*2:18(M.74.968D); reality dependent on fact of Inc., id.*inc.unigen.*(5[1].681C); **b.** in gen., Clem.*str.*4.5(p.257.2; M.8. 1232C); ~ει γὰρ ὁ διάβολος εἰδὼς μὲν ὅ ἐσμεν, οὐκ εἰδὼς δὲ εἰ ὑπομενοῦμεν· ἀλλὰ ἀποσεῖσαι τῆς πίστεως ἡμᾶς βουλόμενος καὶ ὑπάγεσθαι ἑαυτῷ ~ει *ib.*4.12(p.285.20; 1293B); ὁ γνωστικὸς...~εται ὑπ' οὐδενός, πλὴν εἰ μὴ ἐπιτρέψαι ὁ θεὸς καὶ τοῦτο διὰ τὴν τῶν συνόντων ὠφέλειαν *ib.*7. 12(p.53.13; M.9.501C); ‡Dion.Al. *fr.Lc.22*:46(p.247.18; M.10.1596A); Meth.*symp.*3.11(p.39.20; M.18.77B); **3.** *try, afflict* πεπειρασμένον δὲ κατὰ πάντα καθ' ὁμοιότητα...τουτέστιν, ἐδιώχθη, ἐνεπτύσθη... ἐσταυρώθη Chrys.*hom.7.2 in Heb.*(12.74D); *cat.Jo.*3:19(p.208.27); **4.** *make an attempt* ἵνα μὴ...ὁ θάνατος ἀπόσχηται τοῦ κυρίου, ὡς μάτην ~ων ἐπὶ ἀνηνύτῳ Clem.*exc.Thdot.*5(p.209.12; M.9.656C).

***πειρασία, ἡ,** *temptation, A.Barth.*5(p.139.17).

πειρασμός, ὁ, *temptation, trial*;

A. two kinds distinguished διπλοῦν τὸ εἶδος τῶν π.· ἢ γὰρ αἱ θλίψεις βασανίζουσι τὰς καρδίας, ὥσπερ χρυσὸν ἐν καμίνῳ, διὰ τῆς ὑπομονῆς τὸ δοκίμιον αὐτῶν ἀπελέγχουσαι· ἢ καὶ πολλάκις αὐταὶ αἱ εὐθηνίαι τοῦ βίου ἀντὶ πειρατηρίου γίνονται τοῖς πολλοῖς...παράδειγμα δὲ τοῦ μὲν προτέρου εἴδους τῶν π., ὁ μέγας Ἰώβ...ὃς πᾶσαν τοῦ διαβόλου τὴν βίαν ...ἀσείστῳ καρδίᾳ ὑποδεξάμενος, τοσούτῳ μείζων τῶν π. ἀνεφάνη, ὅσῳ μεγάλα αὐτῷ καὶ δυσέκλυτα ἐδόκει παρὰ τοῦ ἐχθροῦ προβεβλῆσθαι τὰ παλαίσματα. τῶν δὲ κατὰ τὴν εὐημερίαν τοῦ βίου π. ὑποδείγματα ἄλλα τέ τινα, καὶ οὗτος ὁ νῦν ἡμῖν ἀναγνωσθεὶς πλούσιος [sc. Lc.12:16ff.] Bas.*hom.*6.1(2.43D,E; M.31.261A,B); ref. Mt.6:13, Jac.1:2ff. τῶν π. διττὸν ἐπίσταται τὸν τρόπον· τὸν μέν, κατὰ γνώμην, τὸν δέ, παρὰ γνώμην· καὶ τὸν μέν, ἑκουσίων ἡδονῶν δημιουργόν· τὸν δέ, ἀκουσίων ὀδυνῶν ἐπακτικόν. ὁ γὰρ κατὰ γνώμην π., τὰς κατὰ προαίρεσιν ἑκουσίους σαφῶς συνίστησι ἡδονάς· ὁ δὲ παρὰ γνώμην, προδήλως τοὺς ἀκουσίους παρὰ προαίρεσιν ἐφίστησι πόνους...οἶμαι τὸν κύριον...πῶς δεῖ προσεύχεσθαι τοὺς...διδάσκοντα μαθητάς, πρὸς τό, τὸ κατὰ γνώμην εἶδος τῶν π. ἀπεύχεσθαι...τῶν ἡδονικῶν...καὶ ἑκουσίων π., μὴ ἐγκαταλειφθῆναι πεῖραν λαβεῖν...τὸν δὲ μέγαν Ἰάκωβον...πρὸς τὸ τῶν ἀκουσίων π. εἶδος διδάσκοντα μὴ συστέλλεσθαι...δηλονότι τοῖς ἀκουσίοις...καὶ πόνων ποιητικοῖς π. ... τέλειός ἐστιν, ὁ τοῖς ἑκουσίοις δι' ἐγκρατείας μαχόμενος, καὶ τοῖς ἀκουσίοις δι' ὑπομονῆς ἐγκαρτερῶν π. Max.*qu. Thal.*58(M.90.593B–D); id.*or.dom.*(M.90.908B).

B. ref. God's permission κύριος, καὶ τοὺς π. ἐπάγων μὴ ὑπερβαίνοντας ἡμῶν τὴν δύναμιν, ἀλλὰ δοκιμάζων μὲν διὰ τῆς περιστάσεως τοὺς ἀγωνιστὰς τῆς εὐσεβείας, οὐκ ἐῶν δὲ πειρασθῆναι ὑπὲρ ὃ δύνανται ὑπενεγκεῖν Bas.*ep.*219.1(3.332A; M.32.812A); σὺ δὲ τὸν εὐεργέτην [sc. God]...λέγεις κακῶς μηδὲν ἠδικημένος; μὴ γὰρ οὐκ ἠδύνατο λῦσαι τὸν

π.; ἀλλὰ συνεχώρησεν, ἵνα γένῃ δοκιμώτερος. ἀλλ' ἰδού, φησί, καταπίπτω καὶ ἀπόλλυμαι· οὐ παρὰ τὴν τοῦ π. φύσιν, ἀλλὰ παρὰ τὴν ῥᾳθυμίαν τὴν σήν Chrys.*Laz.*3.7(1.747A); διὰ τοῦτο οὐδὲ ἐπιόντας κωλύει τοὺς π. ὁ θεός· πρῶτον μὲν ἵνα μάθῃς ὅτι πολλῷ γέγονας ἰσχυρότερος· ἔπειτα ἵνα μένῃς μετριάζων, μηδὲ τῷ μεγέθει τῶν δωρεῶν ἐπαρθῇς, τῶν π. συστέλλειν σε δυναμένων· πρὸς τούτοις, ἵνα ὁ πονηρὸς δαίμων ἐκεῖνος, ὁ τέως ἀμφιβάλλων περὶ τῆς σῆς ἀποστάσεως, ἀπὸ τῆς βασάνου τῶν π. πληροφορηθῇ, ὅτι τέλεον αὐτὸν ἐγκαταλιπὼν ἀπέστης· τέταρτον, ἵνα ἰσχυρότερος...κατασκευασθῇς· πέμπτον, ἵνα ἀπόδειξιν λάβῃς σαφῆ τῶν πιστευθέντων σοι θησαυρῶν id.*hom.13.1 in Mt.*(7.168A); id.*Dan.*6:4(6.233B); Max.*carit.*2.44(M.90.1000A); οἱ κατὰ τὸν βίον τοῦτον ὑπὸ τῆς θείας προνοίας εἰς εὐσέβειαν ἐγγυμναζόμενοι, διὰ τῶν τριῶν τούτων π. δοκιμάζονται· οἷον, ἢ διὰ τῆς τῶν ἡδέων δόσεως, ὡς ἐπὶ ὑγείας καὶ κάλλους...ἢ διὰ τῆς τῶν λυπηρῶν ἐπιφορᾶς· οἷον, στερήσεως τέκνων...ἢ διὰ τῶν ὀδύνας ἐμποιούντων τῷ σώματι· οἷον νοσημάτων *ib.*2.92(1013C); in life of 'gnostic' οἱ π. προσάγονται οὐκ εἰς τὴν ἀποκάθαρσιν, ἀλλ' εἰς τὴν τῶν πέλας...ὠφέλειαν, εἰ πεῖραν λαβὼν πόνων...κατεφρόνησεν Clem.*str.*7.12(p.54.13; M.9.504B).

C. caused by demons, esp. in case of monks and hermits δαίμονες διὰ ποικίλων π. σπουδάζουσι κλεῖσαι τὸ ἡμέτερον στόμα, ὅπως μὴ ὑμνῶμεν Nil.*epp.*1.137(M.79.140D); εἰσί τινες ἐν κόσμῳ βιωτικοί...καὶ πλείστῃ προσανεχόμενοι ἀγρυπνίᾳ, καὶ προσευχῇ...μηδέποτε δὲ λαβόντες δαιμόνων πεῖραν τὸ σύνολον· διότι οὐδὲ πάνυ περὶ αὐτῶν τῷ διαβόλῳ μέλει, μᾶλλον δὲ κατὰ τῶν τὸν μονήρη καὶ ἡσύχιον ἑλομένων βίον, τὴν ἀμφήκη τῶν μυρίων π. καθεκάστην...ὥραν...ὀξύνει μάχαιραν *ib.*3.153 (456A); ἠξίου δέ τις αὐτὸν τῶν ἀδελφῶν συνδιάγειν αὐτῷ ἐν τῇ ἐρήμῳ βουλόμενος. λέγοντος δὲ αὐτοῦ, μὴ δύνασθαι ὑπενεγκεῖν τοὺς π. τῶν δαιμόνων ‡Pall.*h.mon.*13.12(p.67.17; M.34.1162B); ἀμφοτέρους δὲ τοὺς π., τὸν ἑκούσιόν τε καὶ τὸν ἀκούσιον, περιέπει...ὁ πονηρός· τὸν μέν, σπείρων καὶ διερεθίζων τὴν ψυχὴν ἡδοναῖς σώματος, ἀποστῆσαι τῆς θείας ἀγάπης τὴν ἔφεσιν μηχανώμενος· τὸν δὲ σοφιστικῶς ἐξαιτεῖται, δι' ὀδύνης φθεῖραι τὴν φύσιν βουλόμενος Max.*or.dom.*(M.90.908C).

D. conduct in temptations; **1.** patience and courage παρ' ὅλον τὸν...τοῦ π. χρόνον μὴ διδοίημεν τόπον τῷ διαβόλῳ...μολύνειν ἡμᾶς διαλογισμοῖς πονηροῖς θέλοντι ἀρνήσεως ἢ διψυχίας...προκαλουμένης ἐπὶ τὰ ἐχθρὰ τῷ μαρτυρίῳ Or.*mart.*11(p.11.5; M.11.577A); τοὺς...βαπτισθέντας, εὐθὺς παρασκενάζεσθαι δεῖ πρὸς τοὺς π., καὶ παρ' αὐτῶν τῶν οἰκείων, μέχρι θανάτου Bas.*moral.*62.1(2.281E; M.31.796C); †Bas.*ep.*42.4(3.128B; M.32.353C); μὴ...ἐν π. θορυβώμεθα...ἂν μὴ παρὰ πόδας ἡ λύσις γένηται, ἀλλ' αὐτῷ παραχωρῶμεν τὸν καιρὸν τῷ κυρίῳ τῆς λύσεως Chrys.*exp.in Ps.*145:8(5.479A); μὴ δὴ καταπίπτωμεν ἐν τοῖς π. οὐδεὶς γὰρ κοινωνεῖ τῷ Χριστῷ τρυφῶν...ἀλλ' ὁ ἐν θλίψει καὶ π., οὗτος ἐγγὺς ἕστηκεν ἐκείνου id.*hom.1.4 in 2Cor.*(10.423B); εὐχώμεθα μὲν μὴ εἰσελθεῖν εἰς π.· εἰ δὲ παραγένοιτο, μετὰ πολλῆς ἱστάμενοι τῆς ἀνδρείας, τὴν προσήκουσαν ἐπιδειξώμεθα προθυμίαν *ib.*28.4(639A); τί...προσεδόκησας προαιρουμένος...τὴν ἀναχώρησιν; πάντως θλίψεις καὶ π. ... πῶς οὖν νῦν δυσανασχετεῖς...κεντούμενος...ταῖς τῶν π. λόγχαις...ἀλλ' ὑπόμεινον εὐχαρίστως...καὶ θεάσῃ τὸ τέλος Nil.*epp.*2.137(M.79.257A,B); μή σου τὴν προθυμίαν οἱ ἐχθροὶ ἀμβλυνέτωσαν, τοῖς ποικίλοις...π. τὴν ψυχὴν κολαφίζοντες. ἐκ γὰρ δὴ τῶν θλίψεών σοι...ὁ στέφανος πλέκεται *ib.*3.154(457B); φύγε π. δι' ὑπομονῆς καὶ δεήσεως· εἰ δὲ ἐκτὸς τούτων ἀντιτάσσει, περισσοτέρως ἐπέρχεται Marc.Er.*opusc.*2.98(M.65.944D); **2.** prayer and fasting, ref. Ac.1:14 μέγα γὰρ τοῦτο ὅπλον ἐν τοῖς π. Chrys.*hom.3.1 in Ac.*(9.23A); νηστεύειν ἐδίδασκον ἐν τοῖς π. *ib.*31.2(243E); **3.** obedience διὰ τὴν πρὸς τὸν θεὸν ὑπακοὴν νικῶντες τοὺς ἐπαγομένους ὑπὸ τῶν ἐχθρῶν π. †Bas.*bapt.*2.13.1(2.673A; M.31.1625D); **4.** temptations not to be sought οὐ δεῖ ἑαυτὸν ἐπιρρίπτειν ~οἷς πρὸ καιροῦ τῆς τοῦ θεοῦ συγχωρήσεως, ἀλλὰ καὶ προσεύχεσθαι μὴ ἐμπεσεῖν εἰς π. Bas.*moral.*62.2(2.282D; M.31.797C); ref. Mt.26:41 πῶς οὖν φησιν, εὔχεσθαι μὴ εἰσελθεῖν εἰς π.; διὰ τοῦτο οὐκ ἀνιόντα αὐτὸν ἁπλῶς δείκνυσί σοι τὸν Ἰησοῦν, ἀλλὰ ἀναγόμενον κατὰ τὸν τῆς οἰκονομίας λόγον, αἰνιττόμενος διὰ τούτων, ὅτι οὐκ αὐτοὺς ἐπιπηδᾶν χρή, ἀλλ' ἑλκομένους ἑστάναι γενναίως Chrys.*hom.13.1 in Mt.*(7.168C).

E. effects; **1.** testing of love of God ἐξεταστήριον τῆς πρὸς τὸ θεῖον ἀγάπης νομιστέον ἡμῖν γεγονέναι τὸν ἑστηκότα π. Or.*mart.*6(p.8.2; M.11.572A); **2.** humility, Nil.*epp.*2.58(M.79.225B); **3.** improvement of soul's condition τίνα οὖν ἂν ἔχοιμεν ἀπολογίαν...οὕτως ἀνθρώπινον π. οὐ φέροντες...ὑμεῖς μάρτυρες...ὅσον ἀπὸ τοῦ π. τούτου τὸ κέρδος ἐσχήκαμεν. ὁ ἀκόλαστος σώφρων ἐγένετο νῦν, ὁ θρασὺς ἐπιεικέστερος Chrys.*stat.*4.2(2.52B); καθάπερ γὰρ τὸ χρυσίον τῷ πυρὶ παραδιδόμενον πᾶσαν ἀποτίθεται κηλίδα, οὕτω καὶ οἱ σπουδαῖοι σπουδαιότεροι καθίστανται ἐν τοῖς π. id.*Is.interp.*4:3(6.49D); οὐ...αἱ θλίψεις μόνον, ἀλλὰ καὶ αὐτοὶ οἱ π. λαμπροτέρους ἡμᾶς ἐργάζονται id.*hom.33.3 in Ac.*(9.258B); ἀκηδία ἐστὶν ἀτονία ψυχῆς...οὐκ ἔχουσα τὸ κατὰ φύσιν, οὐδὲ πρὸς πειρασμοὺς ἵσταται γενναίως. ὅπερ γάρ ἐστι τροφὴ εὐεκτοῦντι σώματι, τοῦτό ἐστι π. γενναίᾳ ψυχῇ...π. βεβαιοῦσι καρτερίαν ψυχῆς Nil.*spir.mal.*13(M.79.1157D).

F. exeg. Lord's Prayer ἢ γάρ ἐσμεν ἐπὶ γῆς περικείμενοι τὴν στρατευομένην σάρκα κατὰ τοῦ πνεύματος...ἐν π. ἐσμεν Or.*or.*29.1 (p.382.4; M.11.532A); πῶς οὖν κελεύει ἡμᾶς ὁ σωτὴρ εὔχεσθαι μὴ εἰσελθεῖν εἰς π., πειράζοντός πως πάντας τοῦ θεοῦ; *ib.*29.3(p.382.24; 532C); χρὴ τοίνυν εὔχεσθαι οὐχ ἵνα μὴ πειρασθῶμεν (τοῦτο γὰρ ἀδύνατον) ἀλλ' ἵνα μὴ ὑπὸ τοῦ π. περιβληθῶμεν, ὅπερ πάσχουσιν οἱ ἐνεχόμενοι αὐτῷ καὶ νενικημένοι *ib.*29.11(p.386.13; 537A); τοῦ κυρίου διδάσκοντος προσεύχεσθαι μὴ εἰσελθεῖν εἰς π., εἰ δεῖ προσεύχεσθαι μὴ περιπεσεῖν ὀδύναις σωματικαῖς· ἐὰν δὲ περιπέσῃ τις, πῶς παρέλθῃ. οὐ διέκρινε π. ποιότητα, καθολικῶς δὲ προσέταξε 'προσεύχεσθε μὴ εἰσελθεῖν εἰς π.' εἰσαχθέντα δὲ σὺν τῷ π. τὴν ἔκβασιν τοῦ δύνασθαι ὑπενεγκεῖν παρὰ τοῦ κυρίου αἰτεῖν δεῖ Bas.*reg.br.*221(2.489B; M.31.1229A); δοκεῖ μοι πολυτρόπως ὁ κύριος τὸν κακὸν ὀνομάζειν...διάβολον, Βεελζεβοὺλ...καὶ ἄλλα τοιαῦτα. τάχα τοίνυν ἐν τῶν περὶ αὐτὸν νοουμένων ὄνομά τί ἐστι ὁ π., καὶ βεβαιοῖ τὴν τοιαύτην ἡμῖν ὑπόνοιαν ἡ τῶν εἰρημένων σύστασις. εἰπὼν γάρ, μὴ εἰσενέγκῃς ἡμᾶς εἰς π. ἐπήγαγεν τὸ ῥυσθῆναι ἀπὸ τοῦ πονηροῦ. ὡς τοῦ αὐτοῦ δι' ἑκατέρων τῶν ὀνομάτων σημαινομένου. εἰ γὰρ ὁ μὴ εἰσελθὼν εἰς π., ἔξω πάντως ἐστὶ τοῦ πονηροῦ· καὶ ὁ ἐν τῷ π. γενόμενος, ἐν τῷ πονηρῷ κατ' ἀνάγκην γίνεται· ἆρα ὁ π. τε καὶ ὁ πονηρὸς ἕν τι κατὰ τὴν σημασίαν ἐστί Gr. Nyss.*or.dom.*5(p.114.4; M.44.1192B,C); cf. π. μὲν λέγεται καὶ αὐτὸς ὁ διάβολος· π. δὲ καὶ ὁ τρόπος, καθ' ὃν πειράζειν εἴωθεν ὁ ἐχθρὸς τοὺς ἀνθρώπους Nil.*epp.*4.50(M.79.573B); Pall.*h.Laus.*16(p.41.13; M.34.1042A).

G. of temptation of Christ λεγέτωσαν...οἱ παραδεχόμενοι τὰ τέσσαρα εὐαγγέλια, καὶ τὴν δοκοῦσαν διαφωνίαν οἰόμενοι μὴ λύεσθαι διὰ τῆς ἀναγωγῆς...περὶ τῶν τεσσαράκοντα τοῦ π. ἡμερῶν οὐδαμῶς δυναμένων χώραν ἔχειν παρὰ τῷ Ἰωάννῃ Or.*Jo.*10.3(2; p.172.26; M.14.309B); πάντα τὸν π. συνετέλεσεν ὁ Ἰησοῦς, ὅτι πάντα ἔλαβε τὰ πειρασμοῦ πεῖραν ἐσχηκότα, δι' ὧν τὴν ὑπὲρ ἀνθρώπων νίκην πεποίηται ‡Ath.*Apoll.*2.9(M.26.1148A); ἐπειδὴ γὰρ πάντα πρὸς διδασκαλίαν ἡμῶν ἔπραττέ τε καὶ ὑπέμενεν, ἀνέχεται καὶ τῆς ἐκεῖσε ἀναγωγῆς, καὶ τῆς πρὸς τὸν διάβολον πάλης· ἵνα ἕκαστος τῶν βαπτιζομένων, εἰ μετὰ τὸ βάπτισμα μείζονας ὑπομείνειε π., μὴ ταράττηται, ὡς παρὰ προσδοκίαν τοῦ πράγματος γινομένου, ἀλλὰ μένῃ γενναίως πάντα φέρων, ὡς κατὰ ἀκολουθίαν τούτου συμβαίνοντος Chrys.*hom.13.1 in Mt.*(7.168A).

H. other aspects of temptation; **1.** ubiquity εἴτε γὰρ ἡ πάλη ἐστὶ πρὸς τὴν ἐπιθυμοῦσαν...κατὰ τοῦ πνεύματος σάρκα ἢ πρὸς τὴν ψυχὴν πάσης σαρκὸς...ὁποία ἐστὶν ἡ πάλη τοῖς τοὺς ἀνθρωπίνους πειραζομένοις π., εἴτε ὡς διαβεβηκόσι καὶ τελεωτέροις ἀθληταῖς, οὐκέτι πρὸς αἷμα καὶ σάρκα παλαίουσιν οὐδὲ ἐν τοῖς ἀνθρωπίνοις π. ἐξεταζομένοις, ...ἐστὶν ἡμῖν τὰ ἀγωνίσματα, τοῦ πειράζεσθαι οὐκ ἀπηλλάγμεθα Or.*or.*29.2(p.382.17ff.; M.11.532B); ὅπου ἐντολὴ θεοῦ, ἐκεῖ πάντως καὶ π. Nil.*epp.*2.193(M.79.301A); **2.** ref. baptism μόνον δός μοι τὴν ἐν Χριστῷ σφραγῖδα, καὶ οὐχ ἅψεταί μοι π. *A.Paul.et Thecl.*25(p.253.5ff.); **3.** hour of temptations κατὰ τὴν τοῦ πάθους ὥραν, ὅτε ἀπὸ ὥρας ἕκτος ἕως ἐννάτης σκότος ἐγένετο,...ἐν ᾗ καὶ ἀκμὴ τοῦ καύσωνος τῶν π. Ph.Carp.*Cant.*15(M.40.49B); **4.** spiritual trials and consolations τοῦτο καὶ ἡμεῖς ἐν τοῖς π. στρέφωμεν, ὅταν παρὰ πονηρῶν τι πάσχωμεν ἀνθρώπων, εἰς τὸν ἀρχηγὸν ἡμῶν ὁρῶντες καὶ τελειωτὴν τῆς πίστεως, καὶ ὅτι παρὰ φαύλων ἀνθρώπων, καὶ ὅτι δι' ἀρετὴν καὶ ὅτι δι' αὐτόν Chrys.*hom.77.4 in Jo.*(8.455B); κἂν τῷ πλήθει τῶν π. τὴν ψυχὴν ἀπενάρκησας, οὐδὲν ἧττον...παρακαλεῖ ὁ...λόγος φάσκων· γενέσθω παράκλησις τοῖς ὀλιγοψύχοις Nil.*epp.*3.216(M.79.481C); ἔστιν ὅτε μέλλοντος τοῦ ἀνθρώπου π. ψυχικῷ...περιπίπτειν, προλαβοῦσα ἡ χάρις τοῦ ἁγίου πνεύματος παρηγορεῖ τὴν ψυχὴν ὑπερβαλλόντως *ib.*3.40(405C); consolation by angels, *ib.*3.33(389A); ἀμήχανον χωρὶς λύπης παρελθεῖν τὸν ἐμπαιδευόμενον τοῖς π. πλὴν ὅμως μετὰ τὴν παραδρομὴν τῶν π. ... πολλῆς χαρᾶς πληροῦνται οἱ τοιοῦτοι *ib.*3.147(452C); ἡ πρώτη τοῦ π. προσβολή, ὅθεν τὰ πάθη λαμβάνει τὴν ἀρχήν, τοῦτο τῆς ἡμετέρας δυνάμεως κατάσκοπος γίνεται *ib.*1.275(184B); **5.** succumbing to temptation οὐ γὰρ ἡ τῶν π. φύσις, ἀλλ' ἡ τῶν πειραζομένων ῥᾳθυμία τὰ πτώματα ἐργάζεσθαι πέφυκεν. ὥστε εἰ βούλει...ἀνέσεως ἀπολαύειν καὶ ἡδονῆς, μὴ ζήτει ἡδονὴν μήτε ἄνεσιν, ἀλλὰ ζήτει ψυχὴν ὑπομονῆς γέμουσαν...ὡς ἐὰν μὴ τοῦτο ἔχῃς, οὐχὶ π. σε ἐλέγξει μόνον, ἀλλὰ καὶ ἀνεσίς σε ἀπολεῖ Chrys.*stat.*4.2(2.51A); *ib.*(51B); **6.** ref. thanksgiving τὸ εὑρεῖν τὴν εὐχαριστίαν ἐν καιρῷ π. ἀποστρέφει εἰς τὰ ὀπίσω τοὺς ἐπερχομένους π. Esaias *or.*23; **7.** heret. view that scripture contains occasions of temptations τὰς κατὰ τοῦ θεοῦ ἐν ταῖς γραφαῖς πειρασμοῦ χάριν προκειμένας περικοπὰς *Hom.Clem.*2.39; εἴτε αἱ γραφαὶ εἴτε προφῆται θεοὺς λέγουσιν, εἰς π. τῶν ἀκουόντων λέγουσιν *ib.*16.13; ref. Mt.11:27 εἰ γὰρ ἠπίσταντο, οὐκ ἂν ταῖς ὄντως πρὸς πειρασμὸν κατὰ τοῦ θεοῦ γραφείσαις βίβλοις πιστεύοντες ἡμάρτανον *ib.*19.20.

πειραστής, ὁ, 1. *one who makes trial, experimenter* π. διὰ βίου,

κατάσκοπος μέχρι γήρως, πότε γενήσῃ Χριστιανός; Bas.*hom.*13.1(2.114C; M.31.425B); **2.** *templer* ὁ μὲν γὰρ πειράζων εἰς τοὺς πειρασμοὺς καθέλκει, οἷα π. κακῶν, ὁ δὲ θεὸς πειράζων τοὺς πειρασμοὺς παραφέρει ὡς ἀπείραστος κακῶν ‡Dion.Al.*fr.Lc.22*:46(p.247.19; M.10.1596A); ὁ τοῦ φωτὸς διώκτης καὶ π. Gr.Naz.*or.*40.10(M.36.369B); id.*carm.*1.1.2.68(M.37.407A).

πειρατεύω, *be a pirate,* Gr.Nyss.*fat.*(M.45.149A).

πειρατήριον, τό, 1. *place of trial* or *testing*; of earthly life, ref. Job 7:1, Or.*or.*29(p.382.5; M.11.532A); Isid.Pel.*epp.*2.76(M.78.517D); *ib.*5.226(1469B); Olymp.*Job* 6 proem.(M.93.88A); *ib.*38 proem.(393A); of an ascetic's cell ἔσται γὰρ τὸ σπήλαιόν σου μαρτύριον τῆς ἐρήμου,...π. καὶ βάσανος τῶν δαιμόνων *V.Zos.*18(p.107.3); **2.** *temptation, testing, Narr.Jos.*1.2(p.460); ῥύσεται ἡμᾶς ἀπὸ παντὸς π. *A.Mt.*11(p.229.16); ἐγγυμνασάμενοι τοῖς π. Eus.*d.e.*3.7(p.147.1; M.22.248A); Mac.Aeg.*cust.cor.*12(M.34.833A); τὰ π. τὰ συμβεβηκότα σοι καὶ τὰς θλίψεις Nil.*epp.*2.196(M.79.301C); Thdt.*Ps.*17:30(1.710); σαρκικῶν π. Jo.Eub.*concept.BMV* 14(M.96.1481C); **3.** *gang of robbers, T.Isach.*5.8; γαδδοὺρ...ὁ ἑτέρωθι ἑρμηνεύεται π. Thdt.*qu.*65 *in 1Reg.*(1.403).

πειρατής, ὁ, *pirate*; met., of demons τοὺς π. ἀφῆκεν πειράζειν ἡμᾶς Meth.*fr.Job* 7(p.512.14; perh. l. πειραστὰς); Chrys.*sac.*4.4(p.112.5; 1.408E); of Devil, id.*virg.*34(1.292C).

πειράω, 1. c. acc. pers., *test, try, T.Jos.*16.3; *Did.*11.7; **2.** *learn by experience,* folld. by ὅτι, *T.Dan* 1.3.

***πείρημα, τό,** *end, limit,* of Christ αἰῶνος πείρημα Gr.Naz.*carm.*2.1.38.9(M.37.1326A).

πειρητίζω, *test, try*; c. acc. pers., Nonn.*par.Jo.*4:16(M.43.776C); *ib.*6:6(793B).

πεῖσις, ἡ, = *πάθος,* of 'passion' of Sophia, Clem.*exc.Thdot.*31(p.117.7; M.9.673D).

πεῖσμα, τό, (A) *cable, rope*; met., ref. Ps.136:2 ὄργανα καλοῦσαι τὰ σκηνώματα...ἑαυτῶν, ἃ ἀνεκρέμασαν ἀπὸ τῶν π. τῆς ἀγνείας ἐξάψασαι τοῦ ξύλου Meth.*symp.*4.3(p.48.12; M.18.89C); ἀπὸ τῆς κεφαλῆς ἐξῆφθαι τῷ παντὶ σώματι τά τε τῶν νόσων καὶ τὰ τῆς ὑγιείας π. Synes.*calv.*12(p.212.20; M.66.488D).

πεῖσμα, τό, (B) *fixed intention,* of will of God for man's salvation εὐδοκίαν οὖν τὸ πρῶτον θέλημά φησι, τὸ σφοδρὸν θέλημα, τὸ μετὰ ἐπιθυμίας θέλημα,...ὃ λέγομεν ἡμεῖς π. Chrys.*hom.*1.2 *in Eph.*(11.5E); id.*hom.*2.1 *in 2Thess.*(11.523F).

πεισμονή, ἡ, 1. *persuasion,* Ign.*Rom.*3.3; Epiph.*haer.*30.21(p.361.19; M.41.440D); Chrys.*hom.*1.2 *in 1Thess.*(11.427D); **2.** *conviction, assurance,* Just.*Iapol.*53.1(M.6.405C); Iren.*haer.*4.33.7(M.7.1077A); ἵνα τὸ διπλοῦν κήρυγμα...ἔχῃ τὴν π. τοῦ τε πάθους καὶ τῆς ἀπαθείας ‡Ath.*Apoll.*1.10(M.26.1112A); **3.** *reliability, trustworthiness,* Pall.*v.Chrys.*20(p.125.15; M.47.70).

***πεισμοσύνη, ἡ,** = foreg., Petr.Full.*ep.Acac.*(p.116.15; M.86.2632A).

πεκούλιον (***πεκουλλίον**), **τό,** (Lat. *peculium*) *personal property,* Gr.Naz.*test.*(M.37.392A); σὺ δοῦλος καὶ τὰ σὰ τοῦ κυρίου. δοῦλος γὰρ ἐλεύθερον π. οὐκ ἔχει Ast.Am.*hom.*2(M.40.188B); μοναχὸς ὁ ἔχων πεκουλλία, ἀφοριζέσθω τῆς μονῆς †Pach.*poen.*(p.60).

πελαγίζ-ω, 1. *form a sea, be like a sea,* met. Παῦλος ἦν ποταμὸς διὰ μεγαληγορίας ~ων Gr.Nyss.*hom.*11 *in Cant.*(M.44.1004B); **2.** *make like a sea, make very abundant* ἐκκλησία ἣν ἐπελάγισε Procl.CP *or.*18(M.65.817D); pass., Chrys.*pan.Phoc.*1(2.705B); **3.** pass.; **a.** *be flooded,* Bas.Sel.*or.*35.1(M.85.376A); **b.** *be swamped*; met., by sin, *Schol.* in CAnc.*can.*17(*Mon.*2 p.659).

πελάγιος, *out at sea,* met., π. διὰ τῆς θεωρίας γενόμενοι Gr.Nyss.*hom.*12 *in Cant.*(M.44.1016B).

πελάζω, 1. *draw near*; abs., Thdt.*Ps.*18:7(1.721); *ib.*103:2(1331); met., *enter upon* π. τῇ τῆς διηγήσεως ἱστορίᾳ id.*h.rel.*9(3.1186); **2.** *be near,* id.*Col.*4:13(3.500); **3.** med., *sojourn, spend time* ἐν ἐρημίαις π. Mac.Aeg.*hom.*9.3(M.34.533B).

[*]**πελεκᾶνος, ὁ,** *pelican*; typifying aggressive people, Or.*adnot. in Dt.*14:19(M.17.28A).

πελέκησις, ἡ, *hewing,* Or.*Jo.*10.40(24; p.217.21; M.14.385A).

πελεκητός, *capable of being hewn*; neut. as subst., Leont.H. *Nest.*1.14(M.86.1453C).

***πελεκοειδής,** *hatchet-shaped,* Or.*Cels.*6.38(p.107.10; M.11.1353C).

πελιδνήεις, *livid,* Paul.Sil.*ambo.*96(M.86.2255B).

πελιδνόομαι, *be livid,* Thdt.*Nah.*2:10(2.1528); Paul.Sil.*Soph.*631(M.86.2143B); Jo.Clim.*scal.*4(M.88.720B).

***πελίη, ἡ,** *dove, Orac.Sib.*1.242.

πέλμα, 1. *floor* of theatre, Leont.N.*v.Sym.*37(M.93.1716B); *arena* of circus, Jo.Mal.*chron.*7 p.175(M.97.280D); **2.** *ground,* Barth.Edess. *Agar.*(M.104.1412D).

[*]**πελτόν, τό,** = *παλτόν, spear,* Thdt.*h.e.*3.3.7(3.914); *ib.*5.24.12(1065).

πέλυξ, ὁ, *axe,* met. πνευματικοὶ λόγοι π. κόπτων πέτραν εἴρηνται Nil.*epp.*2.237(M.79.321B); Εἰρηναῖος ὁ τῶν αἱρέσεων π. Anast.S.*hod.*7(M.89.113C); of Jo. Bapt. λαγνείας π. Geo.Pis.*carm.*5.2.

πεμπταῖος, *of five days* π. ἄγγελον [i.e. dispatched after five days] Thphyl.*exc.gent.*6(p.484.1; M.113.945A).

***πεμπτήριος,** *in dismissal*; hence *as parting gift,* Gr.Naz.*carm.*1.1.9.71(M.37.462A); *ib.*2.2(poem.)5.264(1540A); *ib.*2.2(poem.)6.1(1542A).

πέμπτος, *fifth*; **1.** τὸ π. *the fifth* or celestial *element* acc. pagan thought, Gr.Naz.*or.*28.8(p.33.6; M.36.36A); **2.** of fifth commandment as enjoining reverence to God and θεῖα γνῶσις, Clem.*str.*6.16(p.506.28; M.9.377A); **3.** ὁ π. *the fifth* (male) *aeon* in Valent. system, Val.Gn.ap.Epiph.*haer.*31.6(p.394.6; M.41.484C); id.*ib.*(p.395.4; 485B); **4.** π. καιρός, of the time of Christ's manifestation on earth, corresponding to 'eleventh hour' of Parable of Vineyard, Cyr.*ador.*6(1.208A); **5.** ἡ π., *Thursday,* esp. of Maundy Thursday; **a.** in gen., Socr.*h.e.*7.40.2(M.67.829A); **b.** as day of betrayal, Isid.Pel.ap.*cat. Mt.*suppl.(p.256.18); καταμυσάττεσθαι...δοκεῖ τήν τε π. καὶ ὀγδόην ἡμέραν ὁ σατανᾶς...τῇ π. ... παραδεδόσθαι φαμὲν αὐτόν, καὶ εἰς ἀρχὰς...ἥκειν τῆς ὅλης οἰκονομίας Cyr.*ador.*6(1.207E); **c.** as day of Last Supper; Christ did not eat Passover on day observed by Jews, but with his disciples on previous day (Thursday), Eus. *pasch.*9(M.24.704B); Jo.Philop.*pasch.*(p.211.16); **d.** as end of forty days fast of Lent, Leont.N.*v.Sym.*47(M.93.1728A); but ἐν τῇ π. τῇ μεγάλῃ μεταλαμβάνειν οἴνου καὶ ἐλαίου τοὺς ἐν ταῖς προτέραις τρισὶν ἡμέραις μὴ μετειληφότας, οὐ καλόν Eutych.*pasch.*3(M.86.2396A); Jo. Jej.*canonar.*1(p.113A); Anast.*temp.*(p.280); **e.** Communion on that day, Epiph.*exp.fid.*22(p.524.1; M.42.828C); Eutych.*pasch.*3(M.86.2396A); τῇ π. ἡ ἐκκλησία ἐπιτελεῖ τὴν ἑορτὴν τοῦ πάσχα τοῦ μυστικοῦ· καθ' ἣν καὶ ὁ κύριος ἑαυτὸν μυστικῶς ἔθυσε τότε *ib.*5(2397B); †Jo.Jej. *poenit.*(M.88.1913A); Jo.Mosch.*prat.*79(M.87.2936D); and distribution of food and εὐλογίαι to poor, *ib.*85(2941B); **f.** Friday fast beginning μετὰ τὴν π. Epiph.*exp.fid.*22(p.523.25; 828C); ref. a hermit who fasted except on Sunday and Thursday, ‡Pall.*h.mon.*17.4(p.77.18; M.34.1178D); private fasting on Thursday to be broken for entertainment of strangers, ‡Ath.*syntag.*2.12(p.123; M.28.840A).

πέμπ-ω, 1. *send,* of divine sending ὁ ἄγγελος τοῦ θεοῦ, τοῦτ' ἔστιν ἡ δύναμις τοῦ θεοῦ ἡ πεμφθεῖσα ἡμῖν διὰ Ἰησοῦ Χριστοῦ Just.*dial.*116.1(M.6.744C); οὐ γὰρ αὐτοποίητον...τὸ κάλλος, ἀλλὰ ὑπὸ χειρὸς...~όμενον τοῦ θεοῦ Athenag.*leg.*34.1(M.6.968B); ref. Moses, Cyr.H. *catech.*19.3; ref. sending out of a Christian minister, Chrys.*hom. in 1Tim.*proem.(11.548B); ref. Christ, *Diogn.*7.4; Cyr.*Jo.*2.9(4.242B); cf. ἀποστέλλω; Manich., ref. light particle sent into matter, Thdt.*haer.*26(4.319); of sending up prayers etc., to God ὕμνους ~ειν Just.*Iapol.*13.2(M.6.345B); Petr.II Al.*encycl.*(M.33.1281A)ap.Thdt. *h.e.*4.22.12; of soul's ascent after death μηκέτι μὲν εἰς ᾅδου τρέχειν τὰς...ψυχὰς...~εσθαι δὲ μᾶλλον εἰς χεῖρας θεοῦ Cyr.*Lc.*23:46(Pusey, p.475.3; M.72.940A n.); **2.** *send forth, send on one's way,* Gr.Thaum. *pan.Or.*19(p.39.13; M.10.1101B).

***πενακάς, ὁ,** ? for ⟨*πινακάς*⟩ one who makes tablets, *IG* 3.3459 (Attica).

***πενηθεία, ἡ,** *poverty of divinity*; of Jewish monotheism contrasted with Trinitarian belief and with pagan polytheism, †Gregent.*disp.*(M.86.628C).

πένης, *poor, needy* (dist. from πτωχός); **1. ref.** attitude to poverty; **a.** of one's own ἐὰν π. σε προείπῃ, εἰ μὲν ἀληθῆ λέγει, κατάδεξαι τὴν ἀλήθειαν· εἰ δὲ ψεύδεται, τί πρὸς σὲ τὸ λεγόμενον;...τί δέ σε ταράσσει ἡ προσηγορία τοῦ π.;...τίς ποτε ἀπῆχθη διὰ πενίαν εἰς δεσμωτήριον; οὐ τὸ πένεσθαι ἐπονείδιστον, ἀλλὰ τὸ μὴ φέρειν εὐγενῶς τὴν πενίαν Bas.*hom.*10.4(2.87A,B; M.31.361C,D); ἐρεῖς π. κἀγώ. ἔστω...δὸς ὃ ἔχεις Gr.Nyss.*paup.*1(M.46.460B); βούλει γενέσθαι πλούσιος σὺ ὁ π.; ἔξεστί σοι βουλομένῳ...καταφρόνησον τῶν τοῦ κόσμου χρημάτων... ἔκβαλε τὴν ἐπιθυμίαν τοῦ πλούτου, καὶ ἐπλούτησας Chrys.*hom.*2.5 *in Phil.*(11.210A); **b.** of others καθάπερ εὐεργέτας, καὶ τῆς σωτηρίας ἡμῖν τὰς ἀφορμὰς παρέχειν δυναμένους, οὕτως ὁρῶμεν τοὺς π., καὶ μετὰ δαψιλείας καὶ ἱλαρᾶς τῆς προθυμίας παρέχωμεν id.*hom.*34.3 *in Gen.*(4.343A); ὅταν οὖν ἴδῃς π. πιστόν, θυσιαστήριον ὁρᾶν νόμιζε id. *hom.*20.3 *in 2Cor.*(10.582B); ref. Manicheans despising poor, Ath. *h.Ar.*61(p.217.24ff.; M.25.768B) cit. s. ἐλεέω; **c.** oppression of poor condemned μὴ βουληθῇς ἐπᾶραι χεῖρα θεὸν κατὰ τῶν...παρατρεχόντων τοὺς π. Gr.Naz.*or.*14.28(M.35.896B); ὢ ὠμότητος· ὅτι καὶ ζῶσιν οἱ π., μικροῦ δυσχεραίνομεν...μὴ φθονήσωμεν συμμεριστὰς κἂν τῶν περιττῶν προσλαβέσθαι τοὺς π., ὡς ἂν μὴ ἀκούσωμεν 'ἀπελάβετε τὰ ἀγαθὰ ὑμῶν ἐν τῇ ζωῇ ὑμῶν' Nect.*Thdr.*20(M.39.1837A); οὐδὲν γὰρ οὕτω τὸν θεὸν

παροξύνειν εἴωθεν, ὡς ἡ κατὰ τῶν π. ἀδικία κατ' αὐτοὺς γινομένη Chrys.*Is.interp.*1:24(6.16A); οὐδὲν ἀναιδέστερον, φησί, πένητος. διατί; ...ὅτι ἐπιτρέχων καταβοᾷ; βούλει οὖν δείξω, ὅτι ἐκείνων ἡμεῖς ἐσμεν ἀναισχυντότεροι, καὶ σφόδρα ἀναιδεῖς; id.*hom.35.5 in Mt.*(7.404D); ref. three holy children μὴ τοίνυν ἔξω τῆς καμίνου καθεζώμεθα, ἀνηλεῶς πρὸς τοὺς π. ἔχοντες, ἵνα μὴ πάθωμεν ὅπερ ἔπαθον τότε ἐκεῖνοι [sc. their persecutors] *ib.4.12*(70B); **2.** beneficial influence of poor in Christian life ὁ πολλοὺς εὐποιῶν π.· πολλοὺς γὰρ εὑρήσει συνηγόρους κρινόμενος Ephr.1.38E; ἰατροὶ τῶν ψυχῶν ἡμῶν εἰσιν οἱ π. ... οὐ γὰρ τοσοῦτον δίδως, ὅσον λαμβάνεις· δίδως ἀργύριον, καὶ λαμβάνεις βασιλείαν οὐρανῶν· λύεις πενίαν, καὶ καταλλάττεις σεαυτῷ τὸν δεσπότην Chrys.*hom.3.11 in 2Cor.4:13*(3.289B); π., δεξιὰν ἐκτείνων καὶ ἐλεημοσύνην λαμβάνων, περιαιρεῖ τῶν τραυμάτων τοὺς μώλωπας id.*hom.30.4 in 1Cor.*(10.275B); κοινοὺς διδασκάλους ἡμῖν τῶν συμφορῶν καὶ παραμυθίαν ἀφῆκε διὰ τῆς οἰκουμένης ὁ θεὸς τοὺς π. id.*hom.11.3 in 1Thess.*(11.507A); χάριν ὀφείλεις μᾶλλον τῷ π. ἔχειν τοῦ λαβεῖν. εἰ μὴ π. ἦσαν, οὐκ ἂν τὸ πολὺ τῶν ἁμαρτημάτων ὑπετέμου id.*hom.14.2 in 1Tim.*(11.627E); v. δωροδοκέω; **3.** rich and poor; **a.** their need of each other ὅταν οὖν ἀναβῇ ὁ πλούσιος ἐπὶ τὸν π. καὶ χορηγήσῃ αὐτῷ τὰ δέοντα...ἀμφότεροι οὖν τὸ ἔργον τελοῦσιν· ὁ μὲν π. ἐργάζεται τὴν ἔντευξιν ἐν ᾗ πλουτεῖ...καὶ ὁ πλούσιος τὸν πλοῦτον...παρέχει τῷ π. ... οὕτω καὶ οἱ π. ἐντυγχάνοντες πρὸς τὸν κύριον ὑπὲρ τῶν πλουσίων πληροφοροῦσι τὸν πλοῦτον αὐτῶν, καὶ πάλιν οἱ πλούσιοι χορηγοῦντες τοῖς π. τὰ δέοντα πληροφοροῦσι τὰς ψυχὰς αὐτῶν Herm.*sim.*2.5.8; **b.** advantages of poor over rich in natural sphere πλειόνων χρήζουσιν οἱ πλουτοῦντες καὶ δι' ἀξιοπιστίας μετὰ τῆς δόξης γίνονται, π. δὲ...τῶν καθ' ἑαυτὸν ἐφιέμενος εὐμαρέστερον περιγίνεται Tat.*orat.*11(p.12.7; M.6.829B); ἐνὶ τούτῳ διαφέρωμεν τῶν πλουτούντων οἱ π., τῇ ἀμεριμνίᾳ. καὶ καταγελῶμεν αὐτῶν ἀγρυπνούντων, αὐτοὶ καθεύδοντες Bas.*hom.2 in Ps.*14(1.110C; M.29.273A); τί δὲ ὁ ἥλιος...τὰς ὄψεις ἡμῶν εὐφραίνον,...πάντες ἀπολαύουσιν ἐξ ἴσης αὐτοῦ, καὶ π. καὶ πλούσιοι;...μᾶλλον δέ...πλέον ἡμεῖς οἱ π. ἀπολαύομεν, ᾗ ἐκεῖνοι. ἐκεῖνοι μὲν γὰρ τὰ πολλὰ μέθῃ βαπτιζόμενοι...οὐδὲ ἐπαισθάνονται τούτων, ὑπωρόφιοι ὄντες καὶ σκιατραφούμενοι· οἱ δὲ π. μάλιστα πάντων εἰσὶν οἱ τοῖς στοιχείοις ἐντρυφῶντες τούτοις Chrys.*hom.12.5 in 2Cor.*(10.527E–528A); ποιήσωμεν, εἰ δοκεῖ, δύο πόλεις, τὴν μὲν πλουσίων μόνον, τὴν δὲ π.· καὶ μήτε ἐν τῇ τῶν πλουτούντων ἔστω τις π., μήτε ἐν τῇ τῶν π. ἔστω τις πλούσιος ἀνήρ...ἐν μὲν ἐκείνῃ τῇ τῶν εὐπόρων οὐδεὶς ἔσται δημιουργός, οὐκ οἰκοδόμος...πῶς οὖν ἡ πόλις ἡμῖν στήσεται αὕτη; δόντες, φησίν, ἀργύριον οἱ πλουτοῦντες, ταῦτα ὠνήσονται παρὰ τῶν π. οὐκοῦν οὐκ ἀρκέσουσιν ἑαυτοῖς, εἴ γε ἐκείνων δέονται...ὅθεν δῆλον, ὡς ἀδύνατον χωρὶς π. συστῆναι πόλιν. ἴδωμεν οὖν καὶ τὴν τῶν π. πόλιν, εἰ καὶ αὕτη ὁμοίως ἐνδεῶς διακείσεται τῶν πλουτούντων ἐστερημένη...ἐνδεῶς σχήσει τὰ τῆς πόλεως ταύτης ...; οὐδέν. ἄν τε γὰρ οἰκοδομεῖν δέῃ, οὐ χρυσοῦ καὶ ἀργύρου δεῖ...ἀλλὰ τέχνης καὶ χειρῶν...ἐὰν γεωργεῖν δέῃ...πλουτούντων ἢ πενομένων χρεία;...δῆλον, ὅτι π. id.*hom.34.5 in 1Cor.*(10.316C–317C); ὁ...π. οὐδένα δεδοικὼς διάγει, ἐπειδὴ πλουτεῖ μόνον τῇ φιλοσοφίᾳ καὶ ὑπομονῇ· ὁ δὲ πλούσιος, ἐπειδὴ πλεονεξίᾳ συζῇ, μισεῖται παρὰ πάντων id.*hom.1.3 in Ps.*48:17(5.508C); **c.** in spiritual sphere καὶ ὁ πλούσιος καὶ ὁ π. τῆς ὠφελείας [sc. of scripture] κοινωνοῦσιν ὁμοίως· μᾶλλον δὲ οὐχ ὁμοίως κοινωνοῦσι τῆς ὠφελείας, ἀλλὰ πολλάκις πλείονος ἀπολαύσας ὁ π. ἀπέρχεται. τί δήποτε; ὅτι ὁ μὲν πλούσιος πολλαῖς προκατειλημμένος φροντίσιν, ἔχων τὴν ἀπόνοιαν καὶ τὸ φύσημα τῆς εὐπορίας...οὐ μετὰ πολλῆς τῆς ἀκριβείας...τὸ φάρμακον τῆς ἀκροάσεως τῶν γραφῶν δέχεται· ὁ δὲ π. τρυφῆς...ἀπηλλαγμένος...μετὰ πλείονος προσέχει ἀκριβείας τοῖς λεγομένοις id.*pecc.*1(3.345A,B); πόσοι τῶν π. τῶν πλουτούντων εἰσὶ συνετώτεροί τε καὶ φιλοσοφώτεροι, καὶ τὰ σώματα ὑγιεινότερα, πενίας αὐτοῖς καὶ τὴν σάρκα καὶ τὴν ψυχὴν διορθουμένης id.*exp.in Ps.*4:8(5.25B); πλουσίους μὲν ὀλίγους, τῶν δὲ π. πολλῷ πλείους σωζομένους id.*hom.13.4 in 2Cor.*(10.536B); both enjoy Christian teaching φιλοσοφοῦσί τε οὐ μόνον οἱ πλουτοῦντες, ἀλλὰ καὶ οἱ π. προῖκα τῆς διδασκαλίας ἀπολαύουσιν Tat.*orat.*32(p.33.6; M.6.872B); **d.** poverty of rich οὐδ' ἂν Μίδας τις αὐτῶν γένηται, πεπλήρωται, ἀλλὰ ἔτι π. ἐστὶ πλοῦτον ἄλλον ποθῶν Clem.*paed.*3.2 (p.242.5; M.8.569C); **e.** wrong attitude to rich and poor ὁ τιμῶν τὸ ἀργύριον...καὶ ἀποδεχόμενος τοὺς πλουσίους ὡς θεούς, τοὺς δὲ π. ὡς μὴ ἔχοντας τὸν θεὸν αὐτῶν ἐξουθενῶν, οὗτος θεοποιεῖ τὸ ἀργύριον Or.*hom.7.3 in Jer.*(p.53.32; M.13.333A); **f.** question whether rich martyrs have more glory than poor, answered in affirmative, Or. *mart.*15(p.15.4ff.; M.11.581D–584B) cit. s. *μάρτυς*; **4.** spiritually π. γὰρ καὶ γυμνὸς ἀπὸ κοινωνίας πνεύματος ὑπάρχων Mac.Aeg.*hom.*18.3 (M.34.636C); ὁ δὲ π. καὶ μὴ κεκτημένος ἐκ τοῦ πλούτου τοῦ Χριστοῦ ...εἰ καὶ βούλεται οὗτος λόγον ἀληθείας λαλεῖν...ἀλλ' ἐν δυνάμει καὶ ἀληθείᾳ τὸν λόγον τοῦ θεοῦ μὴ κεκτημένος ἐν ἑαυτῷ, ἀλλὰ μόνον ἀπομνημονεύων καὶ κιχρώμενος λόγους ἐξ ἑκάστης γραφῆς, ἢ παρὰ πνευματικῶν ἀνδρῶν ἀκούσας...ἰδοὺ ἄλλους μὲν δοκεῖ εὐφραίνειν,... μετὰ δὲ τὸ διηγήσασθαι αὐτόν, ἕκαστος λόγος πρὸς τὰ ἴδια ἀφ' ὧν ἤρθη, ἀπέρχεται, καὶ αὐτὸς πάλιν γυμνὸς ἀπομένει καὶ π., μὴ ἔχων ἴδιον θησαυρὸν πνεύματος *ib.*18.5(637B,C); οὐκ ἔστι π. ὁ μηδὲν ἔχων, ἀλλ' ὁ πολλῶν ἐπιθυμῶν Chrys.*hom.2.5 in Phil.*(11.209E).

***πενητοκόμος**, *ministering to the poor*, Gr.Naz.*carm.*2.2(epitaph.) 13.4(M.38.49A); *ib.*2.1.50.47(M.37.1388A).

προηγ-έομαι, 1. *lead, go before ἐὰν ᾖ ἀγαθός, ἡ δικαιοσύνη αὐτοῦ ~ήσεται αὐτοῦ Barn.*4.12; *αὐτὸς* [sc. Origen as teacher] *δὲ συνεισῄει ~ούμενος καὶ χειραγωγῶν* Gr.Thaum.*pan.Or.*14(p.33.5; M.10.1093A); ref. Const.'s divine guide at founding of CP *δύναμις αὐτοῦ τις οὐρανία ~οῖτο* Philost.*h.e.*2.9(M.65.472B); *lead a procession,* Marc. Diac.*v.Porph.*47; ‡Sophr.H.*liturg.*21(M.87.4001A); **2.** ptcpl., *previous* or *preliminary ὑπερβὰς τὸ ~ούμενον τῆς φιλοσοφίας τῆς Ἑλληνικῆς...ὥρμησεν ἐπὶ τὴν ἀληθῆ διδασκαλίαν* Clem.*str.*7.2(p.9.18; M. 9.416A); *~ουμένης πολυβίβλου συγγραφῆς* Or.*Jo.*10.17(13; p.187.15; M.14.336A); hence *previously mentioned,* Clem.*str.*1.21(p.85.24; M. 8.873A); Eus.*d.e.*4.10(p.165.5; M.22.276A); **3.** *precede, come before ~εἶται...πάντων τὸ βούλεσθαι* Clem.*str.*2.17(p.153.21; M.8.1016A); Or. *Jo.*13.62(60; p.295.8; M.14.520A); ref. Creation *οὐκ αὐτομάτως αὐτὰ γεγενῆσθαι...ἀλλ' αἰτίαν τούτων ~εἶσθαι* Ath.*inc.*2.2(M.25.100A); *τὸ δὲ ~εἶσθαι τὴν διὰ τῆς εὐχῆς κλῆσιν τῆς θείας οἰκονομίας* Gr. Nyss.*or.catech.*34(p.127.13; M.45.85B); **4.** *take the initiative, be the first* to *ἐπὶ τῷ τοὺς σφᾶς ἀποστερεῖν ~ουμένους ἀμνησικάκως φέρειν* Eus.*d.e.*3.4(p.116.25; M.22.200B); **5.** *be superior* or *pre-eminent, rule*; **a.** *be a leader* or *ruler,* in Church; **i.** of descendants of Jude at Jerusalem *~οῦνται πάσης ἐκκλησίας ὡς μάρτυρες καὶ ἀπὸ γένους τοῦ κυρίου* Heges.ap.Eus.*h.e.*3.32.6(M.20.284A); **ii.** of clergy in gen., prob. with special reference to presbyter-bishops *τοὺς ~ουμένους ἡμῶν αἰδεσθῶμεν 1Clem.*21.6; *ἐρεῖς...τοῖς ~ουμένοις τῆς ἐκκλησίας ἵνα κατορθώσωνται τὰς ὁδοὺς αὐτῶν ἐν δικαιοσύνῃ* Herm.*vis.*2.2.6; *~ουμένοις τῆς ἐκκλησίας καὶ τοῖς πρωτοκαθεδρίταις ib.*3.9.7; **iii.** of senior clergy, esp. teachers *ποιμένες ἐσμὲν οἱ τῶν ἐκκλησιῶν ~ούμενοι* Clem. *paed.*1.6(p.112.17; M.8.293C); id.*str.*6.17(p.510.29; M.9.385A); **iv.** of bishops *τῷ ταύτης* [sc. *ἐκκλησίας*] *~ουμένῳ Πολυκάρπῳ* Eus.*h.e.*3.36. 10(M.20.289B); *Const.App.*2.46.3; Chrys.*hom.10.2 in 1Tim.*(11.601C); **v.** of a prior of a monastery, Thdr.Stud.*epp.*1.22(M.99.977B); **b.** of advanced Christians, ref. Canaanite woman *ἀπὸ τούτου οὖν τοῦ μέτρου τῆς δυνάμεως ἐταμιεύετο, τοῖς μὲν ~ουμένοις πλείονα ἐπιδιδοὺς καὶ καλουμένοις υἱοῖς, τοῖς δὲ μὴ τοιούτοις ἐλάττονα* Or.*comm.in Mt.* 11.17(p.66.7; M.13.964A); **c.** of heavenly life, id.*Jo.*1.26(24; p.33.12; M.14.72B); *ib.*2.18(12; p.75.10; 145C); **d.** of Christ *μαρτυρία τοῦ... βαπτιστοῦ περὶ Χριστοῦ...τὴν ~ουμένην αὐτοῦ ὑπόστασιν ἔτι διδάσκουσα διήκουσαν ἐπὶ πάντα τὸν κόσμον ib.*2.35(29; p.94.13; M.14. 177C); *τῆς ~ουμένης οὐσίας Χριστοῦ ib.*6.30(15; p.140.10; 252D); **6.** ptcpl., *of chief importance,* of things *μηδὲ ταῦτα ὡς ~ούμενα, ἐκ δὲ τῆς κατὰ τὸν βίον κοινωνίας ὡς ἀναγκαῖα...προσιέμενος* Clem.*str.*6.9 (p.471.15; M.9.300B); *~ουμένη...ἡ γνῶσις ib.*(p.471.17; 300C); *ταῦτα γὰρ μάλιστα ~ούμενα ἐν τῇ...ψυχῇ κατέχω* Const.ap.Ath.*apol.sec.*68 (p.146.7; M.25.369B); *~ούμενον γὰρ πρόσταγμα τοῦ κυρίου ἐστὶ τὸ 'πώλησόν σου τὰ ὑπάρχοντα'* Bas.*reg.br.*101(2.451B; M.31.1153A); Chrys.*hom.22.3 in Mt.*(7.278B); **7.** ptcpl., *primary πάντων...αἴτιος τῶν καλῶν ὁ θεός, ἀλλὰ τῶν μὲν κατὰ ~ούμενον ὡς τῆς τε διαθήκης... τῶν δὲ κατ' ἐπακολούθημα ὡς τῆς φιλοσοφίας* Clem.*str.*1.5(p.17.36; M. 8.717D); *οὐ περὶ αἰσθητῶν ποταμῶν ὁ ~ούμενος λόγος ἐστὶν τῷ ἐν... γραφαῖς λαλοῦντι πνεύματι* Or.*Jo.*6.48(29; p.157.1; M.14.284A); *τῷ ~ούμενον μὲν σημείων εἶναι τοῦ υἱοῦ τοῦ θεοῦ τὴν εὐφροσύνην ib.*10.12 (10; p.183.2; 328A); *ὁ ~ούμενος τῆς διανοίας σκοπός* Eus.*d.e.*9.1(p.406. 1; M.22.653D); ref. Mosaic divorce law *οὐ ~ούμενος οὗτος ὁ νόμος ἦν* Chrys.*hom.17.4 in Mt.*(7.227B); *τὰ χρηστὰ...τῆς ~ουμένης τοῦ θεοῦ γνώμης ἐστί* id.*hom.3.1 in Rom.*(9.448A); *αὐτοῦ βούλημα ἦν, οὐχὶ ~ούμενον μέν, βούλημα δ' οὖν ὅμως* id.*hom.28.1 in 2Cor.*(10. 634E); **8.** ptcpl., *essential, true πρὸ τοῦ κενῶσαι ἑαυτὸν ἐν τῇ ~ουμένῃ ὑπάρχοντα θεοῦ μορφῇ* Or.*Jo.*20.18(16; p.350.27; M.14.613B); *ἡμῶν δὲ ἡ π. ὑπόστασις ἐστιν ἐν τῷ κατ' εἰκόνα τοῦ κτίσαντος ib.*20.22(20; p.355.9; 621B); id.*princ.*4.3.5(21; p.331.9; M.11.385A); **9.** ptcpl., *universal, general ἕκαστον ἐν μέρει μιᾷ προσβολῇ προσβλέπει, οὐ πάντα μέντοι κατὰ τὴν ~ουμένην ἐπέρεισιν* Clem.*str.*6.17(p.512.26; M. 9.388C).

***προηγητικῶς,** *initially, of one's initial purpose,* Iren.*haer.*5.27.2 (M.7.1196C).

προηγουμένως, 1. *primarily, principally ἔστι δὲ αὐτοῖς π. βιβλίον ἐπιγραφόμενον Βαρούχ* Hipp.*haer.*5.27(p.133.18; M.16.3203C); *ἄνθρωπος π. γέγονεν εἰς ἐπίγνωσιν θεοῦ* Clem.*str.*6.8(p.464.28; M.9.288B); *ἔστω δὲ π. κοινὴ πᾶσιν αὕτη σπουδή* Ath.*v.Anton.*16(M.26.868A); *ψυχὴ π. μὲν καρπὸς ἡ ἀλήθεια* Bas.*leg.lib.gent.*2(p.44; M.31.568B); *π. γὰρ τὸ εἰδοποιοῦν τὴν ψυχὴν οὐδὲν ἄλλο ἐστίν, ἀλλ' ἢ ἡ ζωή* Nemes.*nat.hom.*2 (M.40.564B); *νοσήματα πολλὰ ἔχομεν ψυχῶν, καὶ ταῦτα π. βούλεται θεραπεύειν* Chrys.*hom.14.3 in Mt.*(7.181D); *τὰ σημεῖα π. τῆς ψυχῆς ἕνεκεν ἐγένετο* id.*hom.35.2 in Jo.*(8.205A); *δεῖ π. βίον σεμνὸν καὶ τὸ πνεῦμα...ἔνοικον ἔχειν* Anast.S.*hod.*1(M.89.40A); **2.** *excellently τοὺς... ἐν δικαιοσύνῃ καὶ π. βεβιωκότας* Clem.*str.*6.6(p.454.24; M.9.268B); **3.** *originally, in the first place οὐ π. ὄντες ἄνθρωποι, ὡς ἄνθρωποι ἀποθνήσκουσιν* Or.*Jo.*32.18(11; p.457.11; M.14.792C); *οὐ π. τὴν... εἰσῆγε νομοθεσίαν, ἀλλὰ πρότερον συντίθησιν ἀπολογίας* Chrys.*hom. 16.2 in Mt.*(7.205B); *ἡδονὴ καὶ λύπη...τῇ φύσει τῶν ἀνθρώπων π. οὐ συνεκτίσθη* Max.*cap.*1.65(M.90.1204C); **4.** *of one's primary purpose, of one's original choice οὐκ εὐθὺς δ' εἴ τις μὴ π. ἐπιτελεῖ, κατὰ περίστασιν αὐτὸ ποιεῖ* Clem.*str.*1.1(p.12.22; M.8.708A); Chrys.*hom. 39.1 in Mt.*(7.431E); *οὐδὲ...π. ... ἔρχεται, ἀλλὰ παριών* id.*hom.31.2 in Jo.*(8.177B); **5.** *emphatically, definitely δύναται γὰρ πτωχὸς μὲν... εἶναι...ἐπιθυμεῖν δὲ...ὃ π. οὐ χρή Hom.Clem.*15.10; **6.** *essentially, in respect of one's essential nature οὐδὲ γὰρ ὁ λόγος...π. σὰρξ γέγονε* Iren.*haer.*1.9.3(M.7.541B); *ἐσθίει καὶ πίνει καὶ γαμεῖ οὐ π., ἀλλὰ ἀναγκαίως* Clem.*str.*7.12(p.51.3; M.9.497C); *πάντα φασκόντων σώματα τὰ π. ὑφεστηκότα* Or.*Cels.*3.47(p.243.20; M.11.981B); *π. μὲν οὖν ἔστηκεν ὁ πατὴρ ἄτρεπτος...ὧν* id.*Jo.*6.38(22; p.147.7; M.14.265B); *μονογενὴς π. τὸ καθ' ἑαυτὸν υἱὸς τοῦ θεοῦ ἐστί* Cyr.*inc.unigen.*(5[1]. 680B); **7.** *as a leader τὸν π. εἰς ἐπισκοπὴν καταστηθησόμενον* Or.*Cels.* 3.48(p.244.25; M.11.984A).

***προηλόω,** *crucify,* Leont.H.*monoph.*46(M.86.1797A).

***προημερόω,** *soothe first,* Bas.*Eun.*2.11(1.246B; M.29.592B).

***προθαυμάζω,** *admire beforehand,* Hipp.*haer.*9.9(p.242.12; M.16. 3374A).

***προθαυματουργέω,** *effect miraculously before,* Sev.Ant.*res.*(p.800. 9; M.46.629C).

***προθέλω,** *will beforehand πάντα...αὐτῷ τὰ...ὄντα ἢ γενησόμενα κατὰ τὴν οὐσίαν προτεθέληται* Max.*ambig.*(M.91.1328B).

πρόθεμα, τό, *edict ἐκ τοῦ προθέμματος γνώμη CG–CI* I 5 (Corinth, saec. iv–v); †Gregent.*leg.Hom.*61(M.86.613C); Jo.Mal.*chron.*13 p.338 (M.97.504B); Evagr.*h.e.*2.18(p.79.23; M.86.2568A).

***προθεματίζω,** *lay down as a proposition, presuppose,* Leont.H. *monoph.*testimonia(M.86.1892B).

προθεμελιόω, *lay as foundation beforehand,* Cyr.*thes.*15(5[1].172E); *ib.*(174B); met. *τὸν περὶ μοναρχίας τοῦ θεοῦ λόγον π. τῇ καρδίᾳ* Cyr.H. *catech.*4.6.

***προθεολογέω,** *speak of previously as God,* Diod.*Ps.*88:11(M.33. 1620D).

***προθεσία, ἡ,** v. *προθεσμία.*

πρόθεσις, ἡ, 1. *purpose, intention, inclination*;

A. of men; **1.** *free choice, inclination*; **a.** in gen., Clem.*str.*3.12 (p.231.23; M.8.1177C); Galerius ap.Eus.*h.e.*8.17.7(M.20.793A); *οἰκείᾳ π. τῷ...Χριστῷ θυσία γενέσθαι M.Das.*5.2; **b.** of human free will *κατὰ π. αὐτεξούσιον ψυχῆς* Meth.*symp.*3.13(p.42.15; M.18.81C); *οὐσίᾳ μὲν καὶ φύσει ἄνθρωπος καλός..., ἀγαθὸς δὲ ἢ...κακὸς προθέσει* Tit. Bost.*Man.*2.4(M.18.1140A); *οὕτω τὸν ἄνθρωπον τετίμηκεν ὁ θεὸς...ἵν' ...ὁ ἄνθρωπος ἐλευθεριότητι προθέσεως ζηλωτὴς ὑπάρχῃ θεοῦ. ... ὅσα μὲν γὰρ φύσεως ἀνάγκῃ δρῶμεν, τούτων μεταβολὴν οὐκ ἐπιδεχόμεθα· ὅσα δὲ λόγῳ προθέσεως ποιοῦμεν, ταῦτα ἄλλοτε ἄλλως ἐν ἡμῖν ἔχει πρὸς τὰς ἐγγινομένας τῇ π. ῥοπάς ib.*2.5(1141C); *ἡ δὲ π. ἐφ' ὃ βούλεται ῥέπει· ...οὕτως ἡ μὲν πρᾶξις ἀφώρισται τῇ αἱρέσει τῆς π. ib.*2.6(1144B,C); **2.** *disposition ἐν ὁσίᾳ καὶ ἀμώμῳ π. δουλεύοντας τῷ θεῷ 1Clem.*45.7; *ὅταν ὁλοψύχῳ π. ποιῶμεν τὰς αὐτοῦ ἐντολάς* Clem.*fr.*44(p.223.7);

δυνατόν τινα κατὰ π. βελτίστην λέγειν...τὰ μηδαμῶς...συμφέροντα Or.*Jo.*32.5(p.433.14; M.14.753A); ἀσεβῆ π. δείκνυσιν Ath.*apol.sec.*85 (p.163.20; M.25.400B); in catechumens π. ἀγαθή, καὶ ἐλπὶς ἐπακολουθοῦσα Cyr.H.*procatech.*1; ἡ π. γνησία οὖσα, κλητόν σε ποιεῖ *ib.*; Tit. Bost.*Man.*2.13(M.18.1160B); ref. Judas διάβολος ἤδη γενόμενος τῇ προαιρέσει Chrys.*hom.81.3 in Mt.*(7.776D; cj. προθέσει Gaume); Didym.*Ps.*3:8(M.39.1164C); plur. π., δόγματα, κρίσεις as elements constituting spiritual life of 'gnostic', Clem.*str.*2.17(p.153.24; M.8.1016B); ref. motives of converts, Or.*Jo.*19.12(3; p.311.30; M.14.548B); ἄπειροι γὰρ ἡμῖν...αἱ ψυχαί,...καὶ πλεῖστα ὅσα τὰ κινήματα καὶ αἱ π. καὶ αἱ ἐπιβολαὶ καὶ αἱ ὁρμαὶ id.*princ.*3.1.14(p.220.9; M.11.276C); **3.** *persuasion* εἰ ἐπιμένοιεν τῇ τοῦ Χριστιανισμοῦ π. Eus.*h.e.*8.2.4(M.20.748A); οἵτινες τῶν γονέων τῶν ἑαυτῶν καταλελοίπασι τὴν αἵρεσιν, εἰς ἀγαθὴν π. ἐπανέλθοιεν Galerius *ib.*8.17.7(M.20.793A); τεθάρρηκα τῇ περὶ πάντων ὑμῶν ὀρθῇ π. Alex.Al.*ep.Alex.*12(p.27.23; M.18.565D); **4.** *tenor* ὅταν...κατὰ τὴν π. τῆς ὑγιοῦς διδασκαλίας κοινωνικὸς ᾖς Or.*hom.5.14 in Jer.*(p.44.1; M.13.317A); **5.** *purpose, intention, plan,* Clem.*str.*4.1(p.249.4; M.8.1216B); ἄλλη μὲν π. τὴν ἀρχὴν...ὑπηγορεύσαμεν ἄλλη δὲ τὰ μετὰ τὴν ἀρχήν Or.*Cels.*proem.6(p.54.36; M.11.649B); ἔστι γὰρ ὁ θυμὸς τῆς π. τῆς τοῦ θυμῷ ἐλέγχοντος, βουλομένης τὸν ἐλεγχόμενον...ἐπιστρέφειν id.*hom.20.1 in Jer.*(p.177.5; M.13.500D); Meth.*symp.*3.14(p.44.14; M.18.85A); of partic. intention κατὰ πρόθεσιν εὐνουχίας ὁμολογήσας μὴ γῆμαι Clem.*str.*3.15(p.241.4; M.8.1197A); τῆς περὶ τὰ κρείττω π. Eus.*d.e.*1.9(p.40.29; M.22.77D); ὅσοι...προθέσει εὐλογιῶν πολιτεύονται Nil.*epp.*1.68(M.79.112B); phrases ποιῆσαί τι παρὰ πρόθεσιν Or.*princ.*3.1.4(p.199.3; M.11.253A); Max.*carit.*3.85(M.90.1044B); ἐν π. Jo.Mal.*chron.*11 p.277(M.97.420A); **6.** *policy* μὴ καὶ τὴν π. τῆς δωροφορίας [i.e. people's offerings for charity] ὑβρίσῃς, τὸν τρόπον τῆς δαπάνης αὐτῆς ἐρευνῶν Isid.Pel.*epp.*1.187(M.78.304A).

B. of God, *purpose, counsel*; **1.** ref. Creation οὐδὲ...ποιήσας τὸ φῶς, ἔπειτα ἰδών, καλὸν εἶπεν· ὃ δέ, καὶ πρὶν ἢ ποιῆσαι, οἷον ἔσται, εἰδώς, τοῦτο ἐπῄνεσεν· τὸ δ' ἐγένετο δυνάμει ποιοῦντος καλὸν ἄνωθεν διὰ τῆς ἀνάρχου π. τὸ ἐσόμενον ἐνεργείᾳ καλόν Clem.*str.*6.12(p.483.3; M.9.324A); πάντων...ὄντων...ἐν τῷ θεῷ προϋπάρχουσι...οἱ λόγοι, καθ' οὓς καὶ εἰσὶ τὰ πάντα...καὶ διαμένουσιν ἀεὶ τοῖς ἑαυτῶν κατὰ πρόθεσιν λόγοις Max.*ambig.*(M.91.1329A); **2.** ref. predestination ἐπίστησον εἰ προορισμὸς καὶ π. διαφέρει, ὡς μετὰ τοῦ προορισμοῦ τὴν π. γενέσθαι· ὥστε κατὰ τὰ ἐννοήματα τοῦ θεοῦ γίνεσθαι τὸν προορισμόν, κατὰ δὲ ταὐτὰ τὴν περὶ ὧν προώρισε π. οὐσιωμένων πως ἐπακολουθεῖν καὶ εἰς ἔργον ἐχομένων τοῦ προορισμοῦ Or.*comm.in Eph.*1:9(p.240); **3.** ref. election ὁ κατὰ πρόθεσιν τὸν ἐκλεκτὸν καὶ πρὸ τῆς γενέσεως τό τε ἐσόμενον ὡς ἤδη ὑπάρχον ἐγνωκώς Clem.*str.*7.7(p.29.11; M.9.453B); οὐ κατὰ τὰ ἔργα ἡμῶν...ἀλλὰ κατ' ἰδίαν π. Chrys.*hom.2.1 in 2Tim.* (11.666E); **4.** ref. prayer αὐτόθεν δὲ ἀπεμφαίνει, ἀτρέπτου ὄντος τοῦ θεοῦ καὶ τὰ ὅλα προκατειληφότος μένοντός τε ἐν τοῖς προδιατεταγμένοις, εὔχεσθαι, οἰόμενον μετατρέψειν διὰ τῆς εὐχῆς αὐτοῦ τὴν π. Or.*or.*5(p.311.4; M.11.433B).

C. of Logos τοσαύτην εἶναι...τὴν δύναμιν, ὅση ἐστὶ καὶ ἡ π. Gr.Nyss. *or.catech.*1(p.10.8; M.45.16A); of purpose of Son in Inc., *ib.*32(p.115.12; 80A).

D. of H. Ghost δύναμιν...πρὸς πᾶσαν π. σύνδρομον ἔχουσαν τῇ βουλήσει τὴν δύναμιν Jo.D.*f.o.*1.7(M.94.805B).

E. of disposition of Christ's human nature ἀσχέτῳ δὲ στοργῇ πρὸς τὸ καλὸν ἑαυτὸν συνάψας, ἀνάλογόν τε τῇ οἰκείᾳ π. καὶ τὴν τοῦ θεοῦ λόγου συνέργειαν δεχόμενος Thdr.Mops.*fr.inc.*7(p.296.36; M.66.977B); ὅθεν καὶ τὴν περὶ τὰ καλὰ π. ἀκέραιον αὐτῷ διεφύλαττεν. οὐ γὰρ δὴ τοῦτο φήσομεν ὅτι περ ὁ ἄνθρωπος π. εἶχεν οὐδεμίαν, ἀλλ' ὅτι προὐτεθείτο μὲν αὐτῷ τὸ καλόν· μᾶλλον δὲ πλείστη αὐτῷ τῆς κατὰ πρόθεσιν προσῆν ἥ τε τοῦ καλοῦ στοργὴ καὶ τὸ τοῦ ἐναντίου μῖσος· διεφυλάττετο δὲ αὐτῷ τὰ τῆς π. ἀκέραια ὑπὸ τῆς θείας χάριτος *ib.*14 (p.308.21; 989D).

F. of Devil's purpose in accomplishing Christ's death, Oecum. *Apoc.*12:15(p.147).

II. ἄρτοι τῆς προθέσεως *shewbread*;

A. in OT, Bas.*hom.in Ps.*33(1.142D; M.29.349B), etc.; interpreted as signifying tribes of Israel, cf.Or.*hom.13.3 in Lev.*(p.471.13; M.12.547A); Christ as sacrificed, *ib.*(p.471.23; 547B); commemoration in eucharist of Christ's sacrifice, *ib.*13.5(p.476.10ff.; 550C,D); twelve orders of creation, *ib.13.4*(p.474.22; 549C); twelve apostles, Cyr.*ador.* 10(1.346A); fruits of the earth, Thdt.*qu.60 in Ex.*(1.164); twelve months of year, Cosm.Ind.*top.*2(M.88.92B); their method of composition signifying unity of substance and diversity of Person of Father and Son, cf.Or.*hom.13.4 in Lev.*(p.473.14ff.; 548C); table of shewbread denoting τὴν ἀναίμακτον θυσίαν, δι' ἧς εὐλογούμεθα τὸν ἄρτον ἐσθίοντες τὸν ἐξ οὐρανοῦ, τουτέστι Χριστόν Cyr.*ador.*13(1.457E); shewbread itself as type of eucharist, Jo.D.*f.o.*4.13(M.94.1149C).

B. designating eucharistic bread ἡμεῖς ἐπὶ συνδόνος τὸν ἄρτον τῆς π. ἁγιάζοντες, σῶμα Χριστοῦ ἀδιστάκτως εὑρίσκομεν Isid.Pel.*epp.* 1.123(M.78.265A); ματαιάζουσιν οἱ τὸν τῆς π. ἄρτον καὶ τὸ κερασθὲν ἀρτίως ποτήριον, τῷ ἁγίῳ θυσιαστηρίῳ προσάγειν μελλούσης τῆς λειτουργικῆς τάξεως, ὕμνον...λέγειν παραδεδωκότες τῷ λαῷ, τῷ γινομένῳ πράγματι πρόσφορον...βασιλέα δόξης προσφέρειν ἢ καὶ προαγορεύειν τὰ εἰσφερόμενα καὶ μηδέπω τελειωθέντα, διὰ τῆς ἀρχιερατικῆς ἐπικλήσεως Eutych.*pasch.*8(M.86.2400C); ὁ ἄρτος τῆς π. λέγεται ἦγουν ἀποκαθαιρόμενος καὶ ἐμφαίνει τὸν ὑπερβάλλοντα πλοῦτον τῆς χρηστότητος τοῦ θεοῦ, ὅτι ὁ υἱὸς...ἄνθρωπος γέγονε ‡Bas.*h.myst.*28 (p.263.21); Jo.D.*f.o.*4.13(M.94.1145A).

III. eucharistic; **A.** *setting forth* of eucharistic offering θεὸς ὁ εὐλογῶν καὶ ἁγιάζων πάντας ἡμᾶς ἐπὶ τῇ π. τῶν θείων καὶ ἀχράντων μυστηρίων *Lit.Jac.*(p.182.2).

B. *offertory* τὴν εὐχὴν τῆς π. *Lit.Jac.*(p.180.14); *Lit.Marc.* (Brightman p.124.21); *Lit.Chrys.*(p.360.28).

C. part of church where πρόθεσις takes place, i.e. sacristy or north side of *bema* ἀνηγέρθη ἐκ θεμελίων ἡ ἁγία τοῦ θεοῦ ἡμῶν π. *IGC As.Min.*118 (saec. v–vi); typifying Golgotha, Jo.Jej.*liturg.*(p.441); ‡Sophr.H.*liturg.2*(M.87.3984B); *ib.*8(3988D); of greater sanctity than Holy of Holies, as representing Bethlehem and Upper Room, *ib.*9 (3989B); *ib.*21(4001B); ἡ ἀποκαθίστασις τῶν δώρων ἐν τῇ π. Thdr.Stud. *praesanct.*(M.99.1689C); *Lit.Chrys.*(p.356.15).

D. *credence-table* on which πρόθεσις was performed προσκυνήματα τρία ἔμπροσθεν τῆς π. ποιήσαντες *Lit.Chrys.*(p.356.16).

E. eucharistic elements as set forth (= ἄρτοι τῆς π.) εὐλόγησον τὴν π. ταύτην *Lit.Jac.*(p.180.17); *Lit.Chrys.*(p.360.23,34).

IV. *preposition* in theol. controversy, ref. Marcellus' citation of Rom.1:4 as τοῦ προορισθέντος υἱοῦ θεοῦ· οὐ τὴν λέξιν μόνην τὴν ἀποστολικὴν παρέφθειρεν, ἀλλὰ καὶ τὴν διάνοιαν αὐτὴν διὰ τῆς προσθήκης τῆς τοῦ πρὸ προθέσεως Eus.*Marcell.*1.2(p.12.7; M.24.737C); οὐ γὰρ ὑπ' αὐτοῦ φησιν, οὐδ' ἐξ αὐτοῦ τὰ πάντα γεγενῆσθαι, ἀλλὰ δι' αὐτοῦ. ἡ δὲ διὰ πρόθεσις τὸ ὑπηρετικὸν σημαίνει id.*e.th.*2.14(p.116.2; M.24.929B); ref. Pr.8:27a ἡ γὰρ 'σὺν' π. ... τὴν κατὰ τὸ αὐτὸ σὺν ἑτέρῳ παρουσίαν δηλοῖ *ib.*3.3(p.156.30; 1001A); ref. 2Cor.13:13, Rom.15:30 εἰ τοίνυν ἀντὶ τῆς 'καὶ' τῇ 'σὺν' ἐθελήσαιμεν χρήσασθαι, τί διάφορον πεποιηκότες ἐσόμεθα; Bas.*Spir.*59(3.50A; M.32.176C); ref. Rom.11:36 ἔδειξε...ὁ ἀπόστολος ὡς οὐκ οἶδε τῆς 'ἐξ οὗ' καὶ τῆς 'δι' οὗ' π. διαφοράν, καὶ τὴν μὲν ὡς μεῖζόν τι σημαίνουσαν, προσήκουσαν τῷ πατρί, τὴν δέ, ὡς ἔλαττόν τι διδάσκουσαν, ἁρμόττουσαν τῷ υἱῷ Thdt.*Rom.* 11:36(3.127); πάλιν μέντοι τὴν 'διὰ' π. ἐπὶ τοῦ πατρὸς τέθεικεν id.*Col.* 1:1(3.473).

προθεσμία, ἡ, 1. *appointed time,* of eschatological expectation of prophet οἶδεν εἰς ποίαν π. προσεδόκα Epiph.*anc.*99(p.120.6; M.42. 196C); **2.** *time limit* ὁρισθεῖσαν ἐπ' αὐτῷ [sc. τῷ κόσμῳ] π. †Dion.Al. *fr.Eccl.*3:11(p.226.16; M.10.1588C); Χριστὸς π. τῷ παροργισμῷ ἔδωκεν Adam.*dial.*1.13(p.30.11; M.11.1740B); ref. Marcellus' doctrine of temporary kingdom of Christ ὅρον...καὶ π. τῆς βασιλείας αὐτοῦ δηλοῦσθαι Eus.*e.th.*3.13(p.169.29; M.24.1024D); στενὴν τὴν π. τῆς συνόδου ὡρίσαμεν Jul.Papa *ep.Dian.*ap.Ath.*apol.sec.*25(p.106.9; M. 25.289C); Jo.D.*fr.Mt.*28:20(M.96.1413A); **3.** *allotted span* of life ἵνα ἐν τῇ π. τὸν ἀγῶνα τελέσωμεν Mac.Mgn.*apocr.*2.7(p.5.2); π. βίου Bas. *hom.*23.1(2.185D; M.31.589C); Chrys.*oppugn.*3.17(1.106E); **4.** *interval, delay, respite*; of time accorded for repentance, Bas.*jud.*7(2. 221B; M.31.669D); τὰ ζιζάνια ἀφεθῆναι ἐκέλευσε, διδοὺς π. μετανοίας Chrys.*hom.29.3 in Mt.*(7.346B); id.*hom.12.4 in Ac.*(9.102A); Nil. *epp.*3.177(M.79.468A); Thdt.*Ezech.*22:4(2.851); in gen., Gr.Naz.*ep.* 155(M.37.261C); Bas.Sel.*or.*2.4(M.85.48A); ref. man born blind ἐν σκότῳ τεχθεὶς νυκτός, π. οὐκ ἔχων ἐν ὄμμασιν *ib.*25.1(288C); of life-span as respite allotted for performance of good works before judgement, Chrys.*hom.24.3 in Ac.*(9.196A); προθεσία, Ath.Scholast. *coll.*4 paratit.9(p.68); **5.** *fore-ordaining, previous appointment,* Eus. *h.e.*1.4.2(M.20.77A); ἡ ἄρρητος τοῦ κυρίου βουλή, καὶ ἡ π. αὐτοῦ Euthal.Diac.*epp.Paul.*1(M.85.700A).

προθεσπίζ-ω, 1. *foretell,* of inspired prophecy: S. Peter's utterance at Transfiguration οὐ λογισμῷ ταῦτα...ἐφθέγγετο, ἐπιπνοίᾳ δὲ τοῦ τὰ μέλλοντα ~οντος πνεύματος Jo.D.*hom.*1.16(M.96.572A); angel's utterance at Annunciation, Clem.*prot.*1(p.9.22; M.8.65A); utterance of prophets Μωσῆς...τὸ ὄνομα καὶ τὴν παιδαγωγίαν ~ει [i.e. of Joshua] id.*paed.*1.7(p.125.27; M.8.324A); διὰ τοῦ ψαλμῳδοῦ ~ει τὸ πνεῦμα *ib.*2.8(p.194.17; 465C); Or.*fr.61 in Jer.*39:10(p.228.18; M.13. 584D); id.*Jo.*32.16(9; p.453.1; M.14.785A); Ἅγαβος...περὶ τοῦ μέλλειν ἔσεσθαι λιμὸν ~ει Eus.*h.e.*2.3.4(M.20.144B); Epiph.*haer.*30.20(p.360. 1; M.41.437B); 'Ησαΐαν...προθεσπίσαι αὐτοῦ τὰ σωτήρια πάθη Thdt. ap.Cyr.*apol.Thdt.*4(p.122.18; 6^1.216B); in text of scripture τὰ ἐν Ψαλμοῖς προθεσπισθέντα Eus.*h.e.*8.1.9(741C); ἐν ἄλλῳ τόπῳ λέγει

~ον τὸ ἅγιον πνεῦμα Epiph.*haer.*26.15(p.295.21; 356D); Philost.*h.e.* 7.14(M.65.552D); utterance made as result of prophetic dream, Eus.*h.e.*4.15.10(345C); **2.** *utter beforehand* βουλόμενος ὁ κύριος προασφαλίσασθαι τὴν σωτηρίαν...τὸν λόγον ~ει Epiph.*haer.*54.2(p.319. 13; M.41.964C); **3.** *proclaim previously* ἐν τῷ ἐκφωνηθέντι...ὅρῳ προεθέσπισεν ἡ...συναχθεῖσα σύνοδος Jo.VI CP.*ep.*(M.96.1425B).

***προθέσπισμα, τό,** *prediction*, Epiph.*inc.*4(p.232.4; M.41.280B).

προθεωρ-έω, 1. *observe previously*, Or.*Jo.*13.28(p.252.8; M.14. 448A); **2.** *consider, examine previously*, Gr.Nyss.*v.Mos.*(M.44.405B); Epiph.*haer.*42.13(p.182.26; M.41.812C); Jo.D.*f.o.*3.15(M.94.1049A); **3.** *foresee*; of prophets, Eus.*d.e.*7.1(p.298.2; M.22.488C); Cyr.*Ps.* 58:6(M.69.1112C); of God, ‡Nil.*tract.*4(M.79.1285A); προεθεώρει καὶ προώριζε τὸν δι' ἡμᾶς...ἐσόμενον ἄνθρωπον Cyr.*thes.*15(5[1].173A); οὐ γὰρ ἡ πρόγνωσις αὐτοὺς τοιούτους εἰργάσατο· ἀλλὰ πόρρωθεν ὁ θεὸς τὰ ἐσόμενα προεθεώρησεν ὡς θεός Thdt.*Rom.*8:30(3.93); id.*qu.19 in Gen.*(1.23); **4.** *regard as prior* ὡς γὰρ συνάπτεται τῷ πατρὶ ὁ υἱὸς καὶ τὸ ἐξ αὐτοῦ εἶναι ἔχων οὐχ ὑστερίζει κατὰ τὴν ὕπαρξιν, οὕτω πάλιν καὶ τοῦ μονογενοῦς ἔχεται τὸ πνεῦμα..., ἐπινοίᾳ μόνῃ κατὰ τὸν τῆς αἰτίας λόγον ~ουμένου τῆς τοῦ πνεύματος ὑποστάσεως Gr.Nyss.*Eun.*1(1 p.215.15; M.45.464C).

***προθεωρητικός,** *foreseeing* ἡ γὰρ πρόγνωσις, οὐκ ἔστιν ἀναγκαστική· ἀλλὰ π. τῆς τῶν πολιτευομένων ὁρμῆς Thdr.Mops.ap.*cat.Rom.*8:29f. (p.265.15) = Diod.*Rom.*8:29f.(p.95.11–19n.); ‡Meth.*palm.*3(M.18. 388C).

προθεωρία, ἡ, 1. *prevision, previous consideration*, Bas.*reg.fus.*24 (2.369C; M.31.984A); of God in Creation, Thdt.*qu.19 in Gen.*(1.24); **2.** *preface, introduction*, Or.*enarr.in Job* 3(M.17.65D); Thdt.*Pss.* proem.(1.608); Max.*schol.d.n.*1.1(M.4.185A).

***προθεωρός,** *foreseeing*, ‡Meth.*Sym.et Ann.*9(M.18.372A).

***προθήβη, ἡ,** *youthful vigour*, Cyr.*hom.pasch.*9(5[2].112C).

προθήκη, ἡ, 1. *show-case, stall* for displaying goods χρήματα... εἴρηται, οὐχ ἵνα οὕτω χρώμεθα αὐτοῖς, καθάπερ αἱ π. τῶν χρυσοχόων, ἀλλ' ἵνα ἐργαζώμεθά τι καλὸν ἐν αὐτοῖς Chrys.*hom.10.3 in Phil.*(11. 279C); τὰ χρυσία ταῖς πομπαῖς ἀφῶμεν, ταῖς σκηναῖς, ταῖς π. ταῖς ἐπὶ τῶν ἐργαστηρίων id.*hom.12.6 in Heb.*(12.266C); **2.** = διαθήκη, Nil. *Magn.*21(M.79.996C).

[*]**προθρυλλέω,** *noise abroad*, Apoll.*fr.*14(p.208.30)ap.Gr.Nyss. *Apoll.*4(M.45.1129C).

προθυμ-έομαι, 1. *be willing, eager*; in polite request ~ήθητι, πάτερ,...εἰπεῖν ἡμῖν Pall.*v.Chrys.*4(p.25.18; M.47.16); **2.** trans., *encourage*, Thdr.Stud.*epp.*2.118(M.99.1392B).

***προθυμοεργέω,** *be industrious*, Thdr.Stud.*epp.*2.132(M.99.1425B).

προθυμοποιέω, *encourage, stimulate*, Leont.N.*v.Sym.*7(M.93. 1677A); *cat.Apoc.*8:9(p.305.1); med., Gr.Nyss.*hom.2 in Cant.*(M.44. 792C); Chrys.ap.*cat.Mt.*19:12(p.152.30) for διορθούμενος, Chrys.*hom. 62.3 in Mt.*(7.623B); Thphn.*chron.*p.375(M.108.900A).

***προθυμοποιΐα, ἡ,** *encouragement, cat.Apoc.*8:9(p.305.3).

***προθυμοποιός,** *encouraging, cat.Apoc.*8:6(p.303.8).

***προθυμοτέρως,** *more zealously*, Call.*v.Hyp.*(p.47).

προθύραιος, *before the door*, of a servant employed as door-keeper τῆς π. παιδός Cyr.*Jo.*11.12(4.1022D).

πρόθυρον, τό, (usu. plur.) *door, gate, forecourt*; **1.** lit. τὰ π. τῆς ἐκκλησίας Pall.*v.Chrys.*2(p.9.5; M.47.8); τὰ π. τῆς πόλεως *A.Xanthipp.* 7(p.62.13); CLater.*act.*1(H.3.697D); **2.** met. ἐπὶ προθύροις ὡς εἰπεῖν τοῦ πατρὸς προσεχεῖς τῷ μεγάλῳ ἀρχιερεῖ γενόμεναι Clem.*str.*7.7(p.34. 11; M.9.465A); ἐπὶ τὰ π. τοῦ ἀγαθοῦ δυναμένου τινὸς οὕτως ἐλθεῖν Or. *Cels.*7.44(p.194.28; M.11.1484C); π. καὶ προσχήματα καὶ πᾶσαν ὑποδυσάμενον τῆς ὑποκρίσεως τὴν σκευήν Meth.*res.*1.27(p.256.15; M.41. 1133C); πρῶτον...βαθμὸν εὐσεβείας ὡς ἐν εἰσαγωγαῖς καὶ προθύροις τῶν τελεωτέρων Eus.*d.e.*1.6(p.27.35; M.22.56C); π. ὥσπερ...ἐστὶ τῆς εἰς ἀρετὴν τελειότητος ἡ περιτομή Cyr.*Jo.*4.7(4.433A); ἐν π.... ἡ προρρηθεῖσα τιμωρία φανήσεται Thdt.*Ezech.*12:23(2.756); πανάγιαι...δυναμεῖς...οἷον ἐν π. τῆς ὑπερουσίου τριάδος ἱδρυμέναι Dion.Ar.*d.n.*5.8(M. 3.821C).

***πρόθυρος, ὁ,** *porter*, *T.Job* 6(p.107.7).

***προικισμός, ὁ,** *giving of a dowry*, Epiph.*exp.fid.*6(p.502.5; M.42. 784B).

προικῷος, *belonging to a dowry* ἐν τοῖς γραμματείοις καὶ τοῖς π. ... ἄνω μὲν γράφεται πᾶσα ἡ διήγησις, εἰς τὸ τέλος δὲ τοῦ συγγράμματος, αὐτὸς ὑπογράφει ὁ κύριος τοῦ πράγματος Ast.Am.*hom.*15(M.40.389B); ἀνὴρ...ἐπειδὰν γυναῖκα θέλῃ λαβεῖν, ὑπαγορεύει τῷ νομογράφῳ τὰ π. ‡Chrys.*fid.*2(1.829D); γαμετὴν γυναῖκα, ὡς οἱ συμβολαιογράφοι ἐν τοῖς π. γράφουσι Isid.Pel.*epp.*3.176(M.78.868B); of tables of Law π. γραμματέων τύπον εἶχον αἱ πλάκες Thdt.*qu.68 in Ex.*(1.172); of God's covenant as π. γράμματα, id.*Cant.*proem.(2.13); id.*ep.*8(4.1066).

προίξ, ἡ, *gift, dowry*; **1.** *gift* κορβᾶν...ὅπερ οὐκ ἔστι δωρεὰ καὶ π., ἀλλὰ προσφορά Chrys.*hom.51.2 in Mt.*(7.522C); **2.** *dowry*; given by woman to man; **a.** among Peratic Gnostics in imitation of Edem's self-offering to Elohim in primal marriage, Hipp.*haer.*5.26 (p.128.13; M.16.3195C); **b.** in normal practice πενιχρά ἐστι...οὐκ ἔχει π. ἐπιδοῦναι; Chrys.*hom.12.4 in Col.*(11.418C); **3.** met. νυμφεύομαι τῷ λόγῳ καὶ τὸν ἄϊδιον τῆς ἀφθαρσίας π. λαμβάνω στέφανον Meth. *symp.*6.5(p.69.18; M.18.120C); δύο...ἡμῖν γενικαὶ...προφητεῖαι...ἡ μὲν οὖν...θήλεια...ὡς ὅλα ἴδια συνεκφέρει τὰ γεννήματα, καὶ τὸν παρόντα ἐπίγειον πλοῦτον ὡς π. δώσειν ἐπαγγέλλεται *Hom.Clem.*3.23; of gifts to Church ὥσανεὶ γυναῖκα ἀγαγὼν...οὕτω τῇ ἐκκλησίᾳ διάκεισο· π. ἐπίδος αὐτῇ Chrys.*hom.18.4 in Ac.*(9.150A); of creation as Eve's dowry, Bas.Sel.*or.*3.3(M.85.53C); **4.** προῖκα as adv., *freely*, ‡Nil.*narr.* 3(M.79.617C cj. for f.l. προίκοι); ‡Nil.*Epict.*17(M.79.1292B); **5.** προικός = προῖκα: προικὸς ἐμὲ στυγέεσκον Nonn.*par.Jo.*15:25(M.43.877A).

***προϊππικός,** *before a horse race*, ‡Chrys.*circ.*(8.88D).

προΐστημι (προϊστάω), A. trans.; **1.** med., *set before one as one's aim* προϋστησάμην τοῦ βίου τέχνας δύο, φυτηκομεῖν τε καὶ κυνοκομεῖν Synes.*calv.*4(p.197.3; M.66.1173C); **2.** med., *appoint, put forward for office* Γάλλον...Καίσαρα προστησάμενος ‡Jo.D.*Artem.*12(p.51.27; M. 96.1261C); **3.** med., *put first, give prominence to* οἱμαι αὐτοὺς οὐ πάνυ πρὸς τὸν Τιμόθεον ἔχειν ἀπεχθῶς, ὅθεν καὶ αὐτὸν προεστήσατο. 'γινώσκετε' γάρ, φησί, '...Τιμόθεον ἀπολελυμένον, μεθ' οὗ...ὄψομαι ὑμᾶς' Chrys.*hom.34.2 in Heb.*(12.315A).

B. intrans.; **1.** *be exhibited publicly*; as prostitute, Clem.*str.* 3.4(p.208.27; M.8.1133A); Or.*Cels.*4.63(p.334.25; M.11.1132A); Θεσσαλίδα, δραπέτριαν, προεστῶσαν καλοῦσα Chrys.*hom.15.3 in Eph.*(11. 113B); **2.** *be champion, protector, patron*; **a.** in gen. εἰ δὲ Χριστὸς οὐδὲν ὠφελεῖ τοὺς μὴ βουλομένους ἑαυτοῖς προσέχειν, πῶς ἄνθρωπος προστήσεται; Chrys.*hom.9.5 in Mt.*(7.137A); *ib.66.3*(658A); ἐκεῖ κόλασίς ἐστιν ἀθάνατος...ὁ προστησόμενος οὐδείς id.*hom.9.5 in 1Thess.* (11.494A); **b.** of God ἐν πᾶσι δὲ τούτοις προΐσταται καὶ ἐν διαφόροις τρόποις παρακαλεῖ *T.Jos.*2.6; cf. ἄν τε προϊστᾶται, ἄν τε μή, πιστεύειν αὐτῷ Chrys.*hom.6.3 in Heb.*(12.67D); **c.** of BMV cf. θεοτόκε, προίστα καὶ κυβέρνησον τὴν πόλιν ταύτην *IGC As.Min.*151 (Mitylene); δέσποινα ...πρόστηθι, καὶ ῥῦσαι δὲ πυρὸς καὶ σκότους ‡Gr.Naz.*Chr.pat.*2593 (M.38.337A); **d.** of angels οἱ ἄγγελοι τῶν ἐν τῇ ἐκκλησίᾳ μικρῶν καὶ τεταγμένοι εἰς τὸ προΐστασθαι αὐτῶν Or.*Cels.*6.41(p.110.16; M.11. 1360A); hence **3.** *be advocate, intercessor* for, of SS. Peter and Paul ὁ τὴν ἀλουργίδα περικείμενος...ἕστηκε δεόμενος τῶν ἁγίων, ὥστε αὐτοῦ προστῆναι παρὰ τῷ θεῷ Chrys.*hom.26.5 in 2Cor.*(10.625B); met., *excuse, plead in favour* of οὐδὲν τούτων αὐτοῦ προστήσεται id. *hom.48.4 in Mt.*(7.499A); **4.** *support cause* of, *advocate* δόγματος ἀνθρωπίνου προεστᾶσιν *Diogn.*5.3; Clem.*str.*2.20(p.176.22; M.8.1061A); Or.*or.*5(p.308.19; M.11.429B); ἰατρικῆς...προστήσεται Eus.*d.e.*4.5 (p.156.23; M.22.261B); of Christian teacher τὸν προϊστάμενον τοῦ λόγου Or.*Cels.*6.7(p.77.15; M.11.1300B); **5.** *offend, be obstacle to* μὴ προστῆναι...τοῖς ἀκούουσιν...τὸ λεχθέν Chrys.*hom.26.4 in Mt.*(Gaume; cj. προσίστατο 7.319B); μὴ...προστῇ τὸ λεγόμενον id.*hom.44.1 in Jo.* (8.260C); ἐὰν περὶ τῆς δίκης τῶν διαγνωστῶν προΐσταται αὐτῷ πρὸς τὰς συνόδους τῆς ἰδίας ἐπαρχίας...ἐκκαλέσασθαι *Cod.Afr.*138(H.1.949B); Thdr.Stud.*epp.*2.218(M.99.1660B); hence *be raised as an objection* εἰ δέ τινι προΐσταται μὴ εἶναι θυγατριδοῦν τοῦ Ναβουχοδονόσορ τὸν Δαρεῖον, ἀλλ' ὑδοῦν Thdt.*Dan.*5:31(2.1175); **6.** *be leader, be superior, be in command*, esp. in ptcpl.; **a.** of Jewish authorities, Cyr.*Lc.* 7:32(M.72.620C); of local head of Essenes, Hipp.*haer.*9.20(p.257.2; M.16.3398A); **b.** in Church; **i.** of celebrant of eucharist προσφέρεται τῷ προεστῶτι τῶν ἀδελφῶν ἄρτος καὶ ποτήριον ὕδατος καὶ κράματος, καὶ οὗτος λαβὼν αἶνον καὶ δόξαν τῷ πατρὶ...διὰ τοῦ ὀνόματος τοῦ υἱοῦ καὶ τοῦ πνεύματος τοῦ ἁγίου ἀναπέμπει καὶ εὐχαριστίαν Just.*1apol.* 65.3(M.6.428A,B); ὁ προεστὼς διὰ λόγου τὴν νουθεσίαν καὶ πρόκλησιν ...ποιεῖται...καὶ ὁ π. εὐχὰς ὁμοίως καὶ εὐχαριστίας...ἀναπέμπει *ib.*67. 4,5(429B,C); ἐν τῇ ἐκκλησίᾳ ὁ προεστὼς δίδωσιν εἰρήνην Chrys.*hom. 32.6 in Mt.*(7.373A); ὁ τῆς ἐκκλησίας προεστὼς εὐθέως λέγει· εἰρήνη πᾶσιν id.*hom.3.3 in Col.*(11.348C); **ii.** of presbyters τῶν πρεσβυτέρων τῶν προϊσταμένων τῆς ἐκκλησίας Herm.*vis.*2.4.3; **iii.** of church leader, perh. bishop, but official status not clearly indicated π. ... τῆς ἐκεῖ [sc. ἐν τῇ Συρίᾳ] ἐκκλησίας Hipp.*Dan.*4.18.2; **iv.** of bishops with other clergy, cf. αὐχοῦσι [sc. heretics] προΐστασθαι διατριβῆς μᾶλλον ἢ ἐκκλησίας Clem.*str.*7.15(p.65.35; M.9.528C); ‡Ath.*sem.*4(M. 28.149A); as τοῖς προεστηκόσι τοῦ βίου τῆς εὐσεβείας Gr.Nyss.*or. catech.*proem.(p.1.2; M.45.9A); μὴ δῶς τοῖς προεστῶσι τῆς ἐκκλησίας διανεῖμαι Chrys.*hom.14.3 in 1Tim.*(11.628B); *ib.15.2*(636C); *Chron. Pasch.*p.292(M.92.729B); **v.** of bishops, Iren.*haer.*1.10.2(M.7.553A); οἱ πρὸ Σωτῆρος πρεσβύτεροι, οἱ προστάντες τῆς ἐκκλησίας...Ἀνίκητον λέγομεν καὶ Πίον id.*ep.Vict.*ap.Eus.*h.e.*5.24.14(M.20.505A); εἰσὶν ὁμόφρονες οἱ πανταχοῦ προεστῶτες Dion.Al.ap.Eus.*h.e.*7.5.1(M.20.

644A); *τῆς ἐπισκοπῆς...Πίου μεταλλάξαντος, Ἀνίκητος τῶν ἐκεῖσε προΐσταται* Eus.*h.e.*4.11.7(M.20.329C); *ib.*5.24.9(497A); of bishop as *π. τῆς λειτουργίας ib.*5.28.7(513A); *Clem.ep.*6(M.2.41A); *ib.*11(48A); Marcell.*ep.*ap.Epiph.*haer.*72.2(p.257.1; M.42.384C); *ἐπίσκοποι καὶ π. τοῦ σωτηρίου λόγου* Valent.Imp.*ep.episc.*ap.Thdt.*h.e.*4.8.3(3.957); *Const.App.*2.28.9; Chrys.*hom.2.1 in Tit.*(11.737E); Eustrat.*v.Eutych.* 83(M.86.2368D); **vi.** of *προστάτης τοῦ ἱεροῦ* cleric in charge of local church (i.e. the building) *μετασχηματισάμενος ὁ...ἐπίσκοπος τὸ ἱερὸν τοῦτο εἰς τόπον τοῦ ἁγίου Στεφάνου:..ἐπὶ τοῦ εὐλαβεστάτου Ποσίου διακόνου καὶ προεστῶτος CIG* 8647 (Egypt, saec. vi); **vii.** of superiors in monasteries, *PLond.*1913.2; Ephr.1.323E; id.1.333E; Bas.*reg.fus.* 35.3(2.380B; M.31.1005C); **c.** of head of philosophical school *Μαλχίων ...τῶν ἐπ' Ἀντιοχείας Ἑλληνικῶν παιδευτηρίων διατριβῆς π.* Eus.*h.e.* 7.29.2(M.20.708C).

προκαθαιρέω, 1. *abolish first,* Eus.*l.C.*16(p.250.1; M.20.1424B); Chrys.*hom.5.3 in Rom.*(9.464E); **2.** *depose before* from bishopric, Thphn.*chron.*p.107(M.108.312A).

προκαθαίρ-ω, A. *cleanse in advance*; **1.** *clear beforehand,* Clem. *str.*1.1(p.11.19; M.8.704C); **2.** *purify in advance φιλοσοφία δὲ ἡ Ἑλληνικὴ οἷον ~ει...τὴν ψυχὴν εἰς παραδοχὴν πίστεως ib.*7.3(p.14.21; M. 9.424C); *ψυχὰς ~ειν...ἀπὸ τῶν φαύλων...δογμάτων ib.*7.4(p.20.12; 436B); *μετὰ τὰς Ἰωάννου διδασκαλίας...τοῖς...ἐπιδημεῖν προκεκαθαρμένοις διὰ τῶν ἡττόνων καὶ τὸν τέλειον λόγον* Or.*Jo.*6.38(22; p.147.6; M.14.265B); *τούτοις τοῖς νόμοις οἱονεὶ προκαθαρθεὶς τὴν διάνοιαν, ἐπὶ τὴν τελεωτέραν μυσταγωγίαν παράγεται* Gr.Nyss.*v.Mos.*49(M.44. 317C); *πάσης αἰσθητικῆς τε καὶ ἀλόγου κινήσεως προκαθᾶραι τὸν τρόπον ib.*(373D); *πάντων τῶν παθῶν τὴν ψυχὴν π.* †Jo.D.*B.J.*20(M.96.1041B); ref. BMV *κυηθεὶς...ἐκ τῆς παρθένου, καὶ ψυχὴν καὶ σῶμα προκαθαρθείσης τῷ πνεύματι* Gr.Naz.*or.*38.13(M.36.325B); *οὐδεὶς κατὰ σὲ προκεκάθαρται* Sophr.H.*or.*2.25(M.87.3248A); *τὴν ψυχὴν ἁγιασθεῖσα, καὶ τὸ σῶμα προκαθαρθεῖσα* Jo.Mon.*hymn.Bas.*5(M.96.1373C); **3.** *purge in advance,* Synes.*ep.*44(M.66.1368B).

B. *clear away beforehand,* Athenag.*res.*1(p.49.10; M.6.976C); Clem.*str.*4.1(p.249.9; M.8.1216C).

***προκαθεδράω,** pass., *be placed as bishop,* CCarth.*act.*(H.1.165D).

προκαθέζ-ομαι, *sit before others*; **1.** *sit out in public,* as a prostitute *νόμος...τῶν Ἀμορραίων τὴν χηρεύουσαν ~εσθαι ἐν πορνείᾳ T.Jud.* 12.2; of Phoenician temple-prostitutes, Ath.*gent.*26(M.25.52A); **2.** *preside over*; **a.** in gen. *οἱ τοῖς ματαίοις...τοῦ αἰῶνος τούτου ~όμενοι πράγμασιν* Or.*Ps.*61:10(p.70; ? l. *προσκ-*); **b.** as judge in court, met. *ὑψηλὸς ~εταί σου ὁ νοῦς πεπιστευμένος τὸ δικαστήριον* Bas.*hom.*12.9(2.106B; M.31.405C); *Σεβῆρος...π. δικαστὴς καὶ κριτὴς τῶν ἁγίων πατέρων* Anast.S.*hod.*6(M.89.104B); **c.** of governor, Synes. *ep.*57(M.66.1393B); **d.** as president of council *Γεώργιον τὸν Ἀλεξανδρείας συνεδρίου...~όμενον* Philost.*h.e.*7.2(M.65.537B); †Jo.D.*B.J.* 32(M.96.1169D); **e.** of presidents of Church; **i.** clergy in gen. *ἡμᾶς... οἱ δοκοῦμεν εἶναι ἀπὸ κλήρου τινὲς ~όμενοι ὑμῶν* Or.*hom.11.3 in Jer.* (p.80.17; M.13.369C); **ii.** bishops, Clem.*q.d.s.*42(p.189.11; M.9.649A); Eus.*v.C.*3.58(p.105.16; M.20.1125A); *Hom.Clem.*3.64; bishop as *τὸν ἀληθείας ~όμενον Clem.ep.*2(M.2.36B); *μεγάλου ποιμένος, τοῦ τῆς λαμπρᾶς ~ομένου πόλεως* Gr.Naz.*or.*13.2(M.35.853C); ref. Cyprian *οὐ γὰρ τῆς Καρχηδονίων π. μόνον ἐκκλησίας, οὐδὲ...Ἀφρικῆς, ἀλλὰ καὶ πάσης τῆς ἑσπερίου, σχεδὸν δὲ καὶ τῆς ἑῴας αὐτῆς ib.*24.12(M.35. 1184B); *ἐπίσκοπος ~έσθω ὑμῶν ὡς θεοῦ ἀξίᾳ τετιμημένος Const.App.* 2.26.4; **f.** of God *ὃς καὶ τῆς ζωῆς ~εται* Const.ap.Ath.*apol.sec.*61 (p.141.8; M.25.360B); *Hom.Clem.*2.46; **g.** of primal substance of universe (Orphic) *ὥσπερ ἐπ' ἀκρωρείας οὐρανοῦ ~εται ib.*6.6; **3.** *be superior, have pre-eminence*; **a.** of capital city *πόλις...~ομένη πάσης Ἰσαυρίδος πόλεως* Bas.Sel.*v.Thecl.*1(M.85.556C); **b.** of metropolitan church, Oecum.*Apoc.*2:1(p.46); **c.** met. *ἡ γὰρ ἰατρικὴ τῶν ἰαμάτων ~εται* Eus.*v.C.*2.59(p.65.10; M.20.1033B); *τούτων δὲ δύο ὁδῶν ~εται ἀπιστία καὶ πίστις Hom.Clem.*7.7; **d.** hence *dominate τοὺς πολεμίους τοὺς τῆς χώρας ~ομένους* Clem.*str.*1.24(p.101.21; M.8.909A).

προκαθηγ-έομαι, 1. *lead the way, be a guide*; **a.** lit., Bas.*hex.*8.5(1. 75A; M.29.176B); **b.** met. *ὁρμή τε ἡ ~ουμένη τούτων* Clem.*str.*2.3 (p.118.28; M.8.941C); *ἡ διὰ τοῦ λουτροῦ π. κάθαρσις* Gr.Nyss.*or. catech.*35(p.138.9; M.45.92B); *τὸ μόνην τῆς αὐτοῦ κατὰ σάρκα γεννήσεως τὴν θείαν ~ήσασθαι θέλησιν δηλοῦν αὐτὸν οἶμαι* Max.*opusc.*(M. 91.244A); **2.** *be in command ἡ ἀλήθεια...καθάπερ τις στρατηγὸς ~ουμένη τῶν ἡμετέρων λόγων* Gr.Nyss.*Eun.*12(1 p.216.13; M.45. 909A); hence *προκαθηγούμενος, ὁ, superior* of monastery, Bas.*ascet.* 1.5(2.323C; M.31.881A); fem. *ἡ ἀδελφότης τὰ παραγγέλματα τῆς ~ουμένης ἀδιακρίτως δεχέσθω ib.*2.2(326D; M.888C).

***προκαθήγησις, ἡ,** *leading,* Max.*ambig.*(M.91.1240A).

***προκαθηγουμένως,** *primarily,* Meth.*res.*1.38(p.280.6; M.41. 1104C).

προκάθη-μαι, *preside*; **1.** of bishop *~μένου τοῦ ἐπισκόπου εἰς τύπον θεοῦ* Ign.*Magn.*6.1; and senior clergy *ἐνώθητε τῷ ἐπισκόπῳ καὶ τοῖς ~μένοις ib.*6.2; *ἡμῶν τῶν τοῦ λαοῦ ~μένων* Chrys.*hom.30.4 in 1Cor.*(10.275B); *περὶ τοῦ μὴ δεῖν τὰς λεγομένας πρεσβύτιδας ἤτοι ~μένας ἐν ἐκκλησίᾳ καθίστασθαι* CLaod.*can.*11; of Constantius at Church council *μεταξὺ ~μένου τοῦ βασιλέως...τῶν ἐπισκόπων καὶ ἄρχειν καὶ τῶν ἐκκλησιῶν ἐθέλοντος* Philost.*h.e.*7.6(M.65.636A); **2.** of a city, *be pre-eminent, be capital Καρχηδόνα, τὴν τῆς Λιβύης ~μένην* Thdt.*Ps.*71:10(1.1106); id.*Jon.*1:1(2.1463); of Rome *ἡ γὰρ αὐτὴ πασῶν μεγίστη...καὶ τῆς οἰκουμένης ~μένη* id.*ep.*113(4.1187); **3.** of a church *~ται ἐν τόπῳ χωρίου Ῥωμαίων...καὶ ~μένη τῆς ἀγάπης* Ign.*Rom.*proem.

προκαθιδρύω, *establish beforehand,* Meth.*symp.*4.5(p.51.4; *καθιδρύων* M.18.93B); Nil.ap.Proc.G.*Cant.*2:4(M.87.1584A).

προκαθιερ-όω, *consecrate in advance οἱ καλλίνικοι μάρτυρες οἱ τὰς ψυχὰς θεῷ ~ώσαντες, εἶτα καὶ τὰ σώματα θύσαντες* Const.Diac.*laud.*8 (M.88.487B); Thdr.Stud.*epp.*2.192(M.99.1584B).

προκαθίζω, 1. *put forward, appoint*; of congregation appointing Levites, Cyr.*ador.*11(1.409E); Call.*v.Hyp.*(p.67); **2.** *preside* over *οἰκουμενικῇ προκαθίσας συνόδῳ* Thdt.*ep.*112(4.1184); Call.*v.Hyp.* (p.70).

προκακόομαι, *be afflicted before,* Clem.*str.*2.20(p.173.5; M.8.1053B).

προκάλυμμα, τό, *veil, cloak,* of Christ's humanity *τῷ π. τῆς φύσεως ἡμῶν ἐνεκρύφθη τὸ θεῖον* Gr.Nyss.*or.catech.*24(p.93.1; M.45. 65A); *χρησάμενος οἷόν τινι παραπετάσματι, τῷ τῆς σαρκὸς π.* Thdt. *eran.*1(4.23); *οὐ γὰρ π. τῆς θεότητος χρώμενος ἀνέλαβε τὴν τοῦ σώματος φύσιν, κατὰ τὴν Ἀρείου...φρενοβλάβειαν...ἀλλ' ἠβουλήθη αὐτὴν τὴν ἠττηθεῖσαν φύσιν καταγωνίσασθαι τὸν ἀντίπαλον* id.*haer.*5.11(4. 422); *ῥᾷστον μὲν γὰρ ἦν αὐτῷ καὶ δίχα τοῦ τῆς σαρκὸς π. πραγματεύσασθαι τῶν ἀνθρώπων τὴν σωτηρίαν* id.*affect.*6(p.175.21; 4.877); *ὅπως ἂν μὴ λάθῃ ὅτιπερ τῷ π. τῆς σαρκὸς ἡ θεότης ἐκρύπτετο, ἡ τοῦ πατρὸς φωνὴ ἐξ οὐρανῶν ἐπιβοῶσα* Leo Mag.*ep.*28.4(p.15.15; M.*PL.*54.770A).

***προκαρποφορέω,** *bear fruit before,* Cyr.*glaph.Gen.*3(1.103B).

προκαταβάλλ-ω, 1. *lay foundation beforehand*; **a.** lit., in simile of growth of Church *τοὺς...ἐκκλησιῶν προκαταβληθέντας...θεμελίους* Eus.*h.e.*3.37.1(M.20.292D); **b.** met. *ἀγαθὴν προκατεβάλοντο τῶν πραγμάτων κρηπῖδα* id.*v.C.*2.25(p.51.23; M.20.1004A); *τὸ ἄθεον τοῦτο παρὰ τοῦ διαβόλου προκαταβέβληται κήρυγμα* Gr.Nyss.*Eun.*11(2 p.273.11; M.45.884A); id.*Apoll.*54(M.45.1256A); Chrys.*hom.5.3 in Jo.*(8.39A); ‡Proc.G.*Pr.*1:20(M.87.1229C); **2.** *put down, sow in advance*; of seeds, Gr.Nyss.*or.catech.*26(p.97.20; M.45.68C); met., Chrys.*hom. 15.7 in Mt.*(7.197A); *τοὺς ὡρισμένους ἐπὶ τοῖς στεφάνοις οὐ ~όμενος ἀγῶνας καὶ πόνους* ‡Bas.*const.*24.1(2.575A; M.31.1413A); *πόνος διὰ τὴν τῶν καρπῶν ἐλπίδα ~εται* Mac.Aeg.*or.*5(M.34.857A); **3.** *lay down τὸ θέλειν τὸ καλόν,...ἄνωθεν ἦν προκαταβεβλημένον* Chrys.*hom.13.2 in Rom.*(9.560C); **4.** *pay down in advance,* met. *προκαταβαλέσθαι τοῖς ἡδικημένοις τὸν τῆς συμπαθείας ἔρανον* Bas.*ep.*65(3.158D; M.32.424A); **5.** *introduce* a subject *in advance,* Chrys.*hom.11.6 in Mt.*(7.157A); *τὸν περὶ τοῦ πάθους ~εται λόγον ib.30.4*(352D); *ib.57.4*(581A); id. *hom.8.5 in Rom.*(9.503E); Socr.*h.e.*3.10.1(M.67.405B); **6.** *state beforehand,* Thdt.*h.rel.*2(3.1120); **7.** *institute in advance ~εται προοίμια τῶν ἐθνῶν* Chrys.*hom.80.1 in Jo.*(8.473C); **8.** *abase beforehand τοὺς ὀκνοῦντας πρὸς ἀρετὴν ὁ τῶν κακῶν φόβος ~ει* Or.*exp.in Pr.*18:8(M.17. 204B); *προκαταβαλὼν γὰρ ἑαυτὸν διὰ ταπεινοφροσύνης...εὐπαράδεκτος ἔσῃ* Bas.*ep.*2.5(3.74A; M.32.232A); Chrys.*hom.6.2 in Rom.*(9. 474E); **9.** *cast down, dismay in advance πάντες δὲ τῷ φόβῳ τῶν προσδοκωμένων προκατεβέβληντο* Gr.Nyss.*Eun.*1(1 p.65.10; M.45.293C); Chrys.*hom.72.3 in Jo.*(8.426B).

***προκατάβασις, ἡ,** *previous descent,* Chrysipp.*enc.in Jo.Bapt.* (p.30.14).

προκαταγγέλλ-ω, *announce in advance τὴν προκατηγγελμένην... γῆν* Clem.*str.*3.11(p.228.30; M.8.1173B); *φάσκουσιν ὅτι πάντα ἡμῖν ὁ θεὸς...~ει* Cels.ap.Or.*Cels.*4.23(p.292.23; M.11.1060B); *ἔχοιεν διὰ τῶν αἰσθητῶν τὴν εἰκόνα τῶν θείων ~ειν πραγμάτων* Meth.*symp.*5.7(p.62. 2; M.18.109B); of OT prophecies, Ath.*inc.*33.5(M.25.153B); *ὁ παρὼν καιρὸς οὗτός ἐστιν ἐκεῖνος ὁ πάλαι ~όμενος* Ath.*Ar.*2.16(M.26.180B); *ἡ δὲ τοῦ νομοθέτου μάθησις ἐπίγνωσις τοῦ ~ομένου* Serap.*Man.*36(p.53; M.18.1213D); *τοῖς προκατηγγελμένοις παρὰ τῶν ἁγίων* [i.e. orthodox doctrine] Bas.*Eun.*2.8(1.243E; M.29.585B); *προφῆται καὶ πάντες οἱ τὰ θαύματα περὶ τοῦ κυρίου ~οντες* Gr.Nyss.*Apoll.*45(M.45.1232C); *παρέσται κατὰ καιροὺς ὁ προκατηγγελμένος* Cyr.*Abac.*20(3.534C); Jo. Eub.*concept.BMV* 11(M.96.1476C).

***προκαταγγελτικός,** *prophetic*; of OT types, Meth.*symp.*9.2 (p.115.25; M.18.180C).

***προκαταγγελτικῶς,** *prophetically,* Epiph.*haer.*71.2(p.251.11; M. 42.377A); Jo.D.*haer.*65(M.94.717A).

***προκατάγγελτος,** *announced beforehand,* ‡Jo.D.*hom.*5(M.96.649B).

***προκαταγγέλτωρ, ὁ,** *one who announces in advance,* Epiph.*haer.*66.75(p.116.17; M.42.148B).

***προκαταγνωστέον,** *one must condemn beforehand,* Clem.*str.*6.8(p.465.15; M.9.288C).

***προκαταγοητεύω,** *bewitch beforehand,* Nil.*epp.*3.82(M.79.425B).

προκαταγράφ-ω, *depict beforehand,* Cyr.*glaph.Gen.*3(1.66B); *ἐλυτρώσατό ποτε τοὺς ἐξ Ἰσραήλ, ὡς ἐν σκιαῖς καὶ τύποις ~ων ἡμῖν τοῦ Χριστοῦ τὸ μυστήριον* id.*Ps.*68:19(M.69.1169B); id.*hom.pasch.*20 (5^2.257D).

***προκαταδείκνυμι,** *point out before,* Cyr.*ador.*9(1.313B); id.*Is.*4.1(2.568B).

***προκαταδηόω,** *ravage beforehand,* Cyr.*Nah.*13(3.490E).

προκαταθήγω, *make keen, stimulate in advance,* Cyr.*ador.*6(1.173A).

***προκαταικίζω,** *torture previously, Ep.Lugd.*ap.Eus.*h.e.*5.1.28(M.20.420A).

προκατακλ-άω, *shatter before ~ῶντες εἰς φόβον τοὺς ἐν αὐταῖς* Cyr.*Soph.*7(3.587A; *προκαλοῦντες* Aubert); *~ῶντος τῷ φόβῳ τοὺς μαθητάς* id.*Jo.*9(4.748D; *προσκ-* Aubert).

***προκατακοιμίζω,** *lull to sleep before,* Clem.*paed.*2.2(p.171.14; M.8.420A).

προκατακρίν-ω, 1. *condemn in advance,* ref. predestination *ποιεῖ ...σκεύη τιμῆς καὶ σκεύη ἀτιμίας οὐκ ἀρχῆθεν κατὰ τὴν πρόγνωσιν, ἐπεὶ μὴ κατ' αὐτὴν ~ει* Or.*princ.*3.1.21(p.238.4; M.11.297A); ref. Pilate *ἐξουσίαν ἔχων σταυρῶσαί σε. ὁρᾷς πῶς ἑαυτὸν ~ει;* Chrys.*hom.84.2 in Jo.*(8.500C); *ῥᾳστώνης πῶς ἂν τις ἴδει τὴν ἄφεσιν, οὐ ~αντος ἡμᾶς τοῦ νόμου* Cyr.*ador.*2(1.54C); **2.** *condemn formerly τὸ αὐτὸ τῷ...προκατακριθέντι* [i.e. in OT times] *τολμήσας* Bas.*reg.br.*47(2.431C; M.31.1116A).

προκαταλαμβάνω, 1. *attain before πρὸ γὰρ τῆς ἐμῆς ἀφίξεως τοῦ βίου προκατειλήφει τὸ τέρμα* Thdt.*h.rel.*24(3.1259); **2.** *anticipate,* ref. prophets, etc., who did not pray to God as Father *ἵνα μὴ προκαταλάβωσιν τὴν διὰ τοῦ Ἰησοῦ ἐκκενουμένην παντὶ τῷ κόσμῳ χάριν* Or.*Jo.*19.5(p.304.3; M.14.533B); **3.** *seize upon in advance* so as to condemn *τὰ πράγματα προκατείληπται* Chrys.*hom.3.4 in Ac.*(9.29D); **4.** *determine beforehand φθάνειν τὴν τοῦ θεοῦ γνῶσιν ἐπὶ τοὺς προγνώσει τοῦ θεοῦ προκαταληφθέντας ὅτι ἀξίως βιώσουσι τοῦ ἐγνωσμένου* Or.*Cels.*7.44(p.195.7; M.11.1484C); ref. prayer *εἰ...τὸ ἑκάστου ἐφ' ἡμῖν αὐτῷ ἔγνωσται, καὶ διὰ τοῦτο προεωραμένον αὐτῷ διατάττεσθαι ἀπὸ τῆς προνοίας τὸ κατ' ἀξίαν παντί τῳ εὔλογον καὶ τὸ τί εὔξηται...καὶ τί βουλόμενος αὐτῷ γενέσθαι προκατειλῆφθαι· οὗ προκαταληφθέντος, καὶ τοιοῦτόν τι ἀκολούθως ἐν τῇ διατάξει τετάξεται* id.*or.*6(p.313.19; M.11.437A).

***προκαταλεαίνω,** *smooth down before,* Bas.*ep.*2.2(3.72A; M.32.225B); Chrys.*hom.10.1 in 1Cor.*(10.80D).

προκατάληψις, ἡ, *anticipation*; hence *prevention ἀντίδοτον ἰατρικὴν...εἰς παθῶν π.* Epiph.*haer.*47.3(p.219.3; M.41.856A).

προκαταμανθάνω, *learn beforehand,* Gr.Nyss.*Apoll.*25(M.45.1177D).

***προκαταμηνύω, 1.** *indicate previously,* Cyr.*ador.*14(1.510C); **2.** *prophesy,* id.*glaph.Gen.*2(1.53C); id.*Ps.*41:4(M.69.1001D); id.*Os.*4(3.22B); id.*Nest.*5.5(p.101.40; 6^1.136B).

προκατανο-έω, *observe beforehand τὰ πάντα ~ῆσθαι τῇ τοῦ θεοῦ σοφίᾳ* Gr.Nyss.*hex.*13(M.44.76B); id.*fat.*(M.45.164A).

προκαταπίνω, *swallow beforehand,* in comparison of Jonah with Christ *οὐδὲ καταποθεὶς ὁ Ἰωνᾶς ἀνήγαγε τοὺς προκαταποθέντας ὑπὸ τοῦ κήτους* Ath.*Ar.*3.23(M.26.369C); *ὁ θάνατος κατέπιεν τὴν ζωήν, καὶ ναυτιάσας ἔμεσεν καὶ τοὺς προκαταποθέντας* Ast.Soph.*hom.5 in Ps.5*(M.40.436A).

***προκαταπλουτ-έω,** *be previously enriched,* of apostles and evangelists *τὸν θεῖον...ἀναβρύουσι λόγον ~οῦντες ἄνωθεν αὐτοὶ τὴν χάριν* Cyr.*Is.*3.2(2.431B).

***προκαταπτοέω,** *terrify beforehand,* Cyr.*Is.*3.2(2.399D); *ib.*(425A); *ib.*2.3(250D); id.*Jo.*4.3(4.372D).

***προκαταραφή, ἡ,** *first row* in plaiting a basket, *Apophth.Patr.*(M.65.192C).

προκαταρκτικός, 1. *initial τοῦ ὀνόματος τὸ π. στοιχεῖον τὸ α* Cyr.*syn.def.*(M.76.1421A); **2.** *primary, immediate,* of causes *τῶν αἰτίων τὰ μὲν π., τὰ δὲ συνεκτικά* Clem.*str.*8.9(p.95.27; M.9.592C); *τὰ μὲν π. λέγουσι τῶν αἰτίων εἶναι, τὰ δὲ συνεργὰ ἢ συναίτια* Bas.*Spir.*5(3.5A; M.32.76A); **3.** *belonging to initial stages διττὸς ὁ φόβος, ὁ μὲν π., ὁ δὲ τελειωτικός, καὶ τοῦ μὲν π. τοῖς οὔπω τὴν ἀθώωσιν εἰληφόσι συνόντος, τοῦ τελειωτικοῦ δὲ τοῖς ἤδη ὑπὸ θεοῦ ἀνειλημμένοις* Areth.*Apoc.*11:16(M.106.657A); **4.** *originating, causative τὰ αἴτια καὶ π. τῆς ἁμαρτίας* Meth.*lepr.*7(p.460.1); *νοῦς...τῶν ἐν αὐτῷ κινήσεων καὶ ἐννοιῶν π.* Melet.*nat.hom.*31(M.64.1308C); **5.** theol.; **a.** ref. creation *γενηθήτω στερέωμα. αὕτη ἡ φωνὴ τῆς π. αἰτίας* Bas.*hex.*3.4(1.26C; M.29.64A) = Proc.G.*Gen.*1:6(M.87.72A); *ἀρχὴ γὰρ τῆς κτίσεως ἡ π. αἰτία καὶ ἄκτιστος* Andr.Caes.*Apoc.*9(M.106.249A); **b.** ref. Trin. *μήτε ἀπηλλοτρίωται πατὴρ υἱοῦ ἢ πατήρ, π. γάρ ἐστι τῆς συναφείας τὸ ὄνομα* Dion.Al.ap.Ath.*Dion.*17(p.58.19; M.25.504D); ref. work of Persons in Creation *τὴν π. αἰτίαν τῶν γινομένων, τὸν πατέρα, τὴν δημιουργικήν, τὸν υἱόν, τὴν τελειωτικήν, τὸ πνεῦμα* Bas.*Spir.*38(3.31D; M.32.136B); *'διὰ τοῦ υἱοῦ' δημιουργεῖν τὸν πατέρα...ὥστε ἡ 'δι' οὗ' φωνὴ ὁμολογίαν τῆς π. αἰτίας ἔχει ib.*21(18D; M.105C).

***προκαταρκτικῶς,** *in respect of origin,* Cyr.*Jo.*2.6(4.219C).

προκατάρξις, ἡ, 1. *first beginning,* ‡Bas.*struct.hom.*2.10(1.343D; M.30.53B); CLater.*act.*1(H.3.692E); **2.** *formal entering of a suit in law,* litis contestatio *ὅπου γὰρ γέγονε π., ἐκεῖ καὶ τὸ πέρας [τῆς δίκης] γυμνάζεται* Ath.Scholast.*coll.*1.2(p.11).

***προκαταρρωστέω,** *to be ailing before,* Cyr.*ador.*15(1.553A).

***προκαταρτισμός, ὁ,** *preliminary performance,* Max.*qu.Thal.*47(M.90.429B).

προκατάρχ-ω, 1. *exist before,* of causes *τὸ γὰρ ποιητικὸν αἴτιον ~ειν τῶν γιγνομένων ἀνάγκη* Athenag.*leg.*19.3(M.6.929B); of Marcion's good deity opp. creator *ἡ τοῦ σώζοντος βούλησις οὐκ ἀπολείπεται τοῦ ἀγαθοῦ ἥ γε προκατάρξασα* Clem.*str.*5.1(p.328.19; M.9.13B); **2.** *originate, be first cause* of *τὸ σκώπτειν ὕβρεως ~ον* Clem.*paed.*2.7(p.189.18; M.8.456B); *ἄγνοια προκατῆρξε τῆς ἐκπλήξεως* id.*str.*2.8(p.133.3; M.8.973A); *οἱ χρόνοι δὲ τῶν προκαταρξάντων τῆς φιλοσοφίας αὐτῶν...λεκτέοι ib.*1.14(p.41.6; 765A); of Eve *ἡ προκατάρξασα τῆς παραβάσεως 'ζωὴ' προσηγορεύθη ib.*3.9(p.225.29; 1168A); *ὁ μὲν γὰρ εὐεργέτης ~ει τῆς εὐποιΐας ib.*7.3(p.15.15; M.9.425B); *ὁ ἅγιος ζῇ πνεύματι, ~οντι τῶν ἐν τῷ ζῆν καὶ πάσης πράξεως καὶ εὐχῆς* Or.*Jo.*32.18(11; p.456.5; M.14.789C); *Ἀσκλήπιον τὸν προκατάρξαντα καθ' ὑμᾶς τῆς ἰατρικῆς ἐπιστήμης* ‡Jo.D.*Artem.*28(p.160.15; M.96.1277A); of Father *προκατήρξατο γὰρ εὐδοκήσας ὁ πατήρ· ἐδημιούργησεν δὲ ὁ μονογενής* Didym.*Trin.*2.1(M.39.449B); *πῶς γὰρ ἂν αὐτὸς ἰδίᾳ καὶ μόνος προκατάρξαιτό ποτε, δύναμιν ἔχων τὴν ἐφ' ἅπασιν ἐνεργετικὴν τὸν υἱόν, συνυπάρχοντα μὲν ἀιδίως αὐτῷ;* Cyr.*Jo.*2.6(4.221D); of grace preceding human intention, Didym.*Trin.*2.14(M.39.712B); **3.** *be origin* of *τὴν παρ' αὐτοῖς* [sc. *Ἰουδαίοις*] *φιλοσοφίαν...γενομένην προκατάρξαι τῆς παρ' Ἕλλησι φιλοσοφίας* Clem.*str.*1.15(p.46.16; M.8.781A); **4.** *begin, initiate,* Athenag.*leg.*11.2(M.6.912B); *προκατήρχετο τοῦ ὕμνου* Clem.*str.*5.8(p.359.3; M.9.77A); *~ομένου τοῦ ἔργου* Or.*Jo.*13.50(49; p.278.9; M.14.489C); *παραχωρεῖν τοῦ προκατάρξασθαι τῷ νεωτέρῳ θεῷ* Synes.*ep.*116(M.66.1497A); Proc.G.*Jos.*1:2(M.87.993A); c. infin., Philost.*h.e.*7.5(M.65.544A); **5.** *take lead in οἱ τῆς ἐναντίας ~οντες λήξεως* Eus.*v.C.*2.10(p.45.7; M.20.989A); **6.** *predispose ἀσυμπαθὴς τρόπος προκαταρξάμενος εἰς μισανθρωπίας ἔγκλημά με ῥίπτει* Bas.*ep.*45.1(3.133A; M.32.365A); **7.** *be pre-eminent over πάντων μὲν ~ειν τάξας τῶν κτισμάτων* †Jo.D.*B.J.*17(M.96.1009C).

προκατασείω, *shake, overthrow in advance,* Chrys.*hom.11.3 in 1Cor.*(10.90C); Cyr.*ador.*5(1.142B); *φρίττω καὶ ~ομαι* Anast.S.*Ps.6*(M.89.1089B).

προκατασκευάζω, 1. *prepare in advance*; of Greek philosophy preparing way for Christian doctrine, Clem.*str.*1.16(p.52.21; M.8.796A); of God preparing remedy for future sins, Ast.Am.*hom.*12(M.40.349C); of construction of arguments or theories in advance of discussion, Gr.Nyss.*anim.et res.*(M.46.36B); Epiph.*haer.*69.19(p.169.5; M.42.232B); hence **2.** pass., *be accepted as proved* (i.e. before or without discussion) *τὸ μηδενὶ λόγῳ μήτε δειχθὲν μήτε δειχθῆναι δυνάμενον ὡς προκατεσκευασμένον θαρσῶν ἀποφαίνεται* Gr.Nyss.*Eun.*1(1 p.88.25; M.45.320D).

προκατασκευαστικός, *preliminary προοιμώδη ταῦτα καὶ π. τῶν λόγων* Meth.*symp.*9.1(p.113.4; M.18.176C); Chrys.*hom.7.2 in Col.*(11.373D).

***προκατασκευαστικῶς,** *as a preliminary,* Epiph.*haer.*69.60(p.208.28; M.42.300A).

προκατασκευή, ἡ, 1. *preface, introduction,* Eus.*h.e.*1.5.1(M.20.80D); id.*p.e.*1.1(4A; M.21.25D); Isid.Pel.*epp.*4.12(M.78.1060C); **2.** *preparation π. ἐστι τοῦ...χειροτονηθῆναι* Chrys.*hom.8.1 in Heb.*(12.82D).

***προκατασκοπέω,** *watch beforehand, Hom.Clem.*14.2.

***προκατασπάω,** *pull down, demolish beforehand*; a theory, Chrys.*hom.12.1 in 1Tim.*(11.611A).

***προκαταστίζομαι,** *suffer compunction beforehand,* Cyr.*hom.pasch.*13(5^1.183C).

***προκατασωρεύω,** *heap up beforehand,* Cyr.*Is.*5.2(2.782E).

προκατα-τίθημι, *lay down beforehand* as foundation, met. *~θέντες*

τῇ πίστει τὴν ἕνωσιν οἷά τινα κρηπῖδα καὶ θεμέλιον Cyr.*schol.inc.*35 (p.225.32; cf.5[1].799C).

***προκαταυγάζω,** *be first illuminated,* Gr.Nyss.*diff.ess.*4(M.32.329C); προκαταυγασθέντα τῷ πνεύματι id.*Steph.*1(M.46.717A).

προκατηχ-έω, *give preliminary instruction (to)* of God 'tempting' Israel 'ἐπείραζεν' ἀντὶ τοῦ 'προκατήχει' Proc.G.*Ex.*15:23(M.87.589A); pass., *receive preliminary instruction,* esp. in Christian faith τὰ πάτρια ὑμᾶς...ἔθη ~ημένους Clem.*prot.*10(p.70.17); προκατεσχημένους M.8.209B); of preliminary teaching received by Christ's disciples concerning the Passion, Or.*comm.in Mt.*12.17(p.107.30; M.13.1021A); of catechizing received by heretics on admission to Church, Dion.Al.ap.Eus.*h.e.*7.5.5(M.20.645A); Gr.Nyss.*v.Gr.Thaum.*(M.46.921D); Cyr.*ador.*3(1.87E); ref. Cornelius οὐκ ἂν ἄλλως ἐπέπεσε τὸ πνεῦμα...εἰ μὴ ~ηθέντας τὸν τῆς πίστεως λόγον Ammon.*Ac.*10:44(M.85.1537D); κεκράτηκεν ἐν πολλαῖς ἐκκλησίαις τῇ τετράδι τῆς ἁγίας ἑβδομάδος ~εἶσθαι τὰ νῦν, ὡς εἰπεῖν ἀκούοντας 'ἑτοιμάζεσθε ἑαυτοῖς ἐπισιτισμόν. ἔτι γὰρ γ' ἡμέρας ὑμεῖς διαβήσεσθε τὸν 'Ιορδάνην' Proc.G.*Jos.*1:11(M.87.996C); of instruction to be given to Meletian schismatics in order that they may recognize antichrist in Arius, Ath.*h.Ar.*78 (p.227.14; M.25.789A).

προκατήχησις, ἡ, *preliminary instruction,* Cyr.H.*procatech.*tit.; of God's revelation in OT types ὡς ἐν αἰνίγμασι καὶ μονονουχὶ π. καὶ προεισβολὴν εἰς σύνεσιν Cyr.*glaph.Gen.*5(1.140C); of Law προγύμνασμα γάρ τι καὶ π. τῆς ἐν πνεύματι λατρείας τὸ γράμμα id.*Jo.*2.1 (4.157A); τὸ ἐν...μ' ἔτεσι μὴ ἐκτριβῆναι τὰ ἱμάτια τοῦ λαοῦ...π. ἦν τῆς μελλούσης ἀσφαλείας Proc.G.*Gen.*9:4(M.87.289A).

προκατονομάζω, *set forth the name* or *definition of* Παῦλος... ἔγραψεν...ἡ κοινωνία τοῦ ἁγίου πνεύματος...ἥντινα...κοινωνίαν καὶ τὰ καθολικὰ προκατωνόμασεν χαράγματα οὕτως. ἵνα γένησθε θείας κοινωνοὶ φύσεως Didym.*Trin.*2.12(M.39.688A).

***προκατοπτρίζομαι,** *see beforehand as in a mirror*; of prophetic vision προορῶν Pall.*v.Chrys.*5(p.28.12; M.47.18; v.l. προκατοπτριζόμενος).

προκατορθόω, **1.** *correct in advance,* Hom.*Clem.*1.6; **2.** *accomplish successfully beforehand,* Bas.*reg.br.*237(2.495B; M.31.1241B); Cyr.*Is.* 5.3(2.815D); id.*ador.*2(1.72B); †Jo.D.*B.J.*33(M.96.1181A); **3.** *live rightly beforehand,* Gr.Nyss.*v.Mos.*13(M.44.304A).

11:10(840C); abs. σ. ἄλλον ἔχων κορυνηφόρον ἐσμὸν ὁδίτην *ib.*18:3 (889A); met. σ. ... ἔχω παλιναυξέα τιμήν *ib.*17:10(885A); **3.** in time, *concurrent, contemporaneous* μήτε μὴν παντὶ τοῦ βίου μήκει σ. ἔχοιμι τὴν πληγήν Cyr.*Ps.*38:6(M.69.976A); τοὺς σύνδρομον τῇ ζωῇ τὸν δι' ἀπιστίας ὑπομένοντας θάνατον Andr.Caes.*Apoc.*33(M.106.321A); ref. generation of Son ἐνταῦθα...σ. τῷ εἶναι τὸ γεγεννῆσθαι Gr.Naz.*or.*29.9(p.85.6; M.36.85A); of God in rel. to mankind σ. πάντα θεῷ...ὧν γὰρ θεός, γίνεται ἄνθρωπος, οὐκ ἐκστὰς τοῦ εἶναι θεός †Chrys.*nativ.*2(6.392B); **4.** mentally; **a.** *agreeing, in agreement with* σ. ... ἀλλήλοις εἰσὶ περὶ τὴν τῶν θείων δογμάτων ἐξήγησιν Cyr.*Jo.*1(4.8B); σ. ἔχω σε τοῦ μίσους μου Areth.*Apoc.*2:6(M.106.529B); **b.** in bad sense, *consenting* ταῖς τῶν Ἰουδαίων ἀπονοίαις σ. ἦν ὁ Πιλᾶτος Cyr.*Is.*5.1(2.746E); as subst., *aider and abettor* ἄλλων...δημευθέντων ὡς σ. Ὑπατίου Thphn.*chron.*p.158(M.108.428A); **5.** *corresponding; commensurate; befitting; appropriate*; **a.** of things πότερον ἁπάδει τῆς οὐσίας ἢ σ. ἐστι κατὰ τὴν ἔννοιαν; Gr.Nyss.*Eun.*1(1 p.207.21; M.45.456A); τότε σ. τῇ κατὰ σάρκα γεννήσει δέχεται τὴν κλῆσιν [sc. τοῦ Χριστοῦ] Cyr.*Is.*4.4(2.656E); id.*Os.*III(3.143B); abs. ἡ ψυχὴ...τῆς αἰωνίου σωτηρίας σὺν πᾶσι τοῖς ἁγίοις καταξιοῦται ἅτε δὴ κοινωνὸς καὶ σ. κατὰ μίμησιν αὐτῶν...διαστραφεῖσα Mac.Aeg.*hom.*4.27(M.34.494C); λέγε Χριστὸν παθόντα, καὶ σ. εὑρήσεις τὸ ὄνομα τῆς σαρκός Euther.*confut.*10(M.28.1368A); χρὴ...ἑνὸς ὄντα ποιήματα τοῦ φιλαρέτου θεοῦ, σ. ἔχειν τὴν ἀποκάθαρσιν Cyr.*Lc.*11:39(M.72.713A); **b.** theol., of various divine attributes, exeg. Jo.14:9 τὸ ἀγαθὸν τοῦ θελήματος, ὅπερ σ. ὂν τῇ οὐσίᾳ ὅμοιον καὶ ἴσον, μᾶλλον δὲ ταὐτὸν ἐν πατρὶ καὶ υἱῷ θεωρεῖται Bas.*Spir.*21(3.18B; M.32.105B); ὁ...υἱὸς σ. ἔχει τῇ γεννήσει τὴν τελειότητα Thdt.*Heb.*7:28(3.593); σ. ἔχει θεὸς τῇ φύσει τὴν θέλησιν ‡Just.*fr.*ap.Max.*opusc.*(M.91.280B); esp. of God's power in rel. to his will ἡ βούλησις, σ. ἔχουσα τὴν δύναμιν, ὑπεστήσατο ὅσα ἠθέλησεν ‡Ath.*dial.Trin.*1.8(M.28.1129A); *ib.*1.4(1121C); ἐπὶ τῆς θείας φύσεως σ. ἐστι τῇ βουλήσει ἡ δύναμις Gr.Nyss.*hex.*7(M.44.69A); id.*or.catech.*8(p.50.24; M.45.40A); Thdt.*Ps.*88:9(1.1233); id.*Dan.* 3:42f.(2.1120); Jo.D.*f.o.*1.7(M.94.805B); exeg. Ps.32:6 (ref. argument ascribed to Macedonians that Word of God here = impersonal λόγος προφορικός) οὐ γὰρ ἔσχεν ὁ λόγος σ. τὴν δύναμιν, ἀλλ' ἐνέμεινεν τὴν τοῦ υἱοῦ ἐνέργειαν ‡Ath.*dial.Trin.*3.24(M.28.1240B); of H. Ghost as δύναμις οὐσιώδης: πρὸς πᾶσαν πρόθεσιν σ. ἔχουσαν τῇ βουλήσει τὴν δύναμιν Gr.Nyss.*or.catech.*2(p.15.8; M.45.17C).

συνδυάζ-ω ([*]**συνδιάζω**, [*]**συνδοιάζω**), **1.** *join oneself* with, *combine, associate oneself* with πλησίον γινομένους καὶ ~οντας Chrys. *hom.*6.3 *in Tit.*(11.769D); μὴ ἀνασχόμενος συνδιάσαι τῷ μαρορρήμονι Nil.*epp.*1.147(M.79.144B); οἱ Ἰουδαῖοι σ. μετὰ Ἑλλήνων Ammon.*Ac.* 14:2(M.85.1544C, v.l. συνδιάζουσι); **2.** *harbour, entertain* thoughts σ. λογισμοῖς ἀκαθάρτοις Nil.*epp.*3.81(M.79.425A); Marc.Er.*opusc.*4(M. 65.997A); Cyr.S.*v.Euthym.*50(p.73.1); **3.** med., *be in collusion with*; also act. εἰς τὸ μὴ συνδοιάσαι μετ' ἀλλήλων, ἀλλ' ἀνοθεύτως ἑρμηνεῦσαι Epiph.*mens.*3(M.43.241C); ἄνευ τοῦ πρὸς ἀλλήλους σ. *ib.*17(265A); ὥστε τὴν ἁγίαν σύνοδον...εἰς συνδυάσαι σοι ἀναγκασθῆναι Leo Mag. *ep.*106.2(p.57.3; M.*PL.*54.1004B); abs. ἐμοῦ, ὅπερ ἀπείη, ~οντος *ib.* 104.3(p.60.9; 996B); **4.** *conspire* σ. μετὰ τοῦ...δαίμονος τὰς κατὰ τῆς...ἐκκλησίας ἐπιβουλὰς κατεσκεύασεν Jo.Mosch.*prat.*43(M.87. 2897C).

***συνδύασμα, τό**, *act of fornication*, †Gregent.*disp.*(M.86.720A).

συνδυασμός, ([*]**συνδιασμός**, [*]**συνδοιασμός**), **ὁ**, *combination of one and one, coupling*; **1.** *copulation, coition*, ref. Adam's creation μὴ ἐκ σ. ἀνδρὸς καὶ γυναικὸς ἀλλ' ἐκ τῆς θείας χειρὸς διαπλασθῆναι Bas. *Eun.*1.15(1.227D; M.29.548A); Didym.(‡Bas.)*Eun.*4(1.282B,283C; M. 29.680A,681B); ref. Son's generation θαυμάζω...ὅτι μὴ καὶ τοῦτο τολμᾷς, σ. τινας ἐννοεῖν Gr.Naz.*or.*29.4(p.78.4; M.36.77C); λόγος...καὶ ἀπαύγασμα λέγεται διὰ τὸ ἄνευ σ. ... γεγεννῆσθαι ἐκ τοῦ πατρός ‡Cyr. *Trin.*8(6³.11C; M.77.1136C); Jo.D.*f.o.*1.8(M.94.813C); ἡ Μαριάμ...ἐξ αὐτῆς, οὐκ ἐκ σ. συλλαβοῦσα (mystically interpreted ref. scripture) Clem.*str.*7.16(p.66.26; M.9.532A); οὐχ ὁμοίως ἀνθρώποις ἐγεννήθη (οὐ γὰρ ἐκ σπορᾶς καὶ σ.) CAnc.(358)*ep.syn.*ap Epiph.*haer.*73.9 (p.279.20; M.42.420A); cf.Gr.Nyss.*or.catech.*13(p.61.5; M.45.45B); οὐκ ἀπὸ σπέρματος ἀνδρὸς συνελήφθη ἵνα μὴ σ. καὶ παραπλοκὴ ἐν τῇ ἐνσάρκῳ γεννήσει γένηται Epiph.*haer.*69.25(p.175.24; M.42.244A); οὐδὲ ...ἐτέτεκτο ἐκ σ. ... ἀλλ' ὑπὸ τῆς θείας τοῦ πνεύματος ἐνεργείας διέπλαστο Thdr.Mops.*fr.inc.*7(p.296.30; M.66.977A); ‡Cyr.*Trin.*14 (6³.20C; M.77.1152A); **2.** plur., *social intercourse, companionship* τῶν πονηρῶν ἀνθρώπων σ. καὶ κοινωνίαι Mac.Aeg.*hom.*9.11(M.34. 540A); Nil.*epp.*3.328(M.79.540C); **3.** *harbouring* in the mind φυλάττειν ἑαυτὸν ἀπὸ σ. αἰσχρῶν λογισμῶν Cyr.S.*v.Euthym.*50(p.74.6); ἐνέστηκε...ἡ πάλη, διὰ τὸ ὑμᾶς καταφρονῆσαι εἰσελθεῖν καὶ τὴν προσβολὴν καὶ τὸν σ. Jo.Jej.*doct.*1(p.229); ἄλλο δέ ἐστι προσβολή, καὶ ἄλλο συνδοιασμός...σ. δέ ἐστιν ἡ παραδοχὴ τοῦ ὑποβαλλομένου λογισμοῦ παρὰ τοῦ ἐχθροῦ, καὶ οἷον μετ' αὐτοῦ μελέτη καὶ ἐνήδονος ὁμιλία ἡ παρὰ τῆς προαιρέσεως ἡμῶν Jo.D.*spir.neq.*(M.95.93A') = Ephr.3.429C,D (συνδιασμός) = ‡Ath.*polit.*(συνδυασμός M.28.1400A).

***συνδυαστέον**, *one must act in collusion* with ἀδελφῷ περί τινος φαύλου πράγματος μὴ σ. Niceph.Ur.*v.Sym.*36(M.86.3017D).

***συνδυαμόω**, *give the same power to* one as another, *infuse with equal power*, Christol. σ. σῶμα γήινον τῇ θεότητι εἰς μίαν δύναμιν ἥνωσεν Epiph.*anc.*80(p.100.26; M.43.168C).

***συνδυσχεραίνω**, *be thoroughly annoyed* σ. ἐπὶ τῇ ἀμελείᾳ Gr. Nyss.*v.Macr.*(p.412.15; M.46.997C).

***συνδύω**, *dress at the same time*, met. ἐνδιδυσκομένης σου συνεδύθη [sc. ἡ παρθενεία] σοι *M.Ner.et Ach.*8(p.6.29).

συνεγγράφω, *paint one* thing *with another*; pass., *be painted* or *depicted likewise* ὁ σταυρὸς ἐγγέγραπταί σοι, ὁ δὲ σταυρωθεὶς οὐ συνεγγέγραπται Thdr.Stud.*ref.*(M.99.456C).

σύνεγγυς, **1.** of place, *near, close to*, met. τὸν γνωστικὸν τὴν ὑπέκβασιν παντὸς τοῦ κόσμου...ἑκουσίως ποιούμενον, ἐνδεικνύμενον... ὅτι μάλιστα σ. ἔσοιτο τοῦ θεοῦ Clem.*str.*7.7(p.30.28; M.9.456B); **2.** of time, *lately* ἐκ τοῦ σ. Acac.B.*ep.Cyr.*(p.99.8; M.77.100B).

συνεγείρ-ω, **1.** *join in raising*; s.v.l., of raising money, *earn* τῷδε τῷ βίῳ προσμεῖναι πονοῦντα...καὶ τὸν ἐντεῦθεν ~οντα πλοῦτον Thdt. *h.rel.*13(3.1207) but prob. f.l. for συναγείροντα; **2.** *raise together*, i.e. one with another; med. and pass., *rise, get up together*, Ign.*Polyc.* 6.1; from the dead ~όμεθα ἐν Χριστῷ †Bas.*bapt.*1.2.15(2.640D; M. 31.1552C); Gr.Nyss.*Apoll.*30(M.45.1189B); with Christ ὁ συνεγερθεὶς τῷ Χριστῷ †Bas.*Is.*69(1.429B; M.30.237B); *ib.*284(595B; M.617A); *Const.App.*7.45.1; Cyr.*Arcad.*(p.112.29; 5^2.118A).

***συνεδιαζόμενος**, vox nihili ὁ ὄνυξ...μαρμάρῳ ἐστὶ σ., σὺν τῇ τοῦ αἵματος ἰδέᾳ Epiph.*gemm.*12(M.43.301B, conj. συνδιαζόμενος).

συνεδρεία (συνεδρία), ἡ, **1.** *seat in, membership of, the Sanhedrin* οἱ...πρεσβύτεροι καὶ ἱερεῖς...ἱερώτεροι κατὰ τὸν νόμον, καὶ τῇ σ. τετίμηντο Cyr.*Zach.*20(3.677D); **2.** theol., *consession* of Son with Father ἐπανῆλθε...εἰς ἰδίαν τὴν ἐκ δεξιῶν τοῦ...πατρὸς σ. Didym. *Trin.*3.10(M.39.856D); ἡ...σ. οὐδὲν ἕτερον δείκνυσιν, ἢ τὸ ὁμότιμον Chrys.*hom.*2.3 *in Heb.*(12.19C).

***συνέδρευσις, ἡ**, *sitting together*; *consession* of Son with Father, Cyr.*apol.orient.*8(p.50.21; 6^1.180D).

***συνεδρευτής, ὁ**, *one who sits with*, e.g. as *assessor* πρεβυτέριον... σύμβουλοι καὶ σ. τοῦ ἐπισκόπου ‡Ign.*Trall.*7.

συνεδρεύ-ω, **1.** *sit together*; hence, theol., of Son as sitting at right hand of Father αὐτῷ σ. τῷ πατρί, καὶ τοῦτο ἐκ δεξιῶν Cyr.*Jo.*3.5(4. 304E); implying equality ἀπό τε τοῦ σ. αὐτὸν τῷ πατρί, καὶ ἀπὸ τοῦ κεκλῆσθαι κατὰ φύσιν υἱόν, εἰς ἀκριβεστάτην ἐρχόμενος τοῦ μυστηρίου κατάληψιν...[Heb.1:5] *ib.*5.4(505A); *ib.*9(721D); therefore never of men or angels ἆρ' οὖν...ἀντ' ἐκείνου τῷ πατρὶ ~σομεν, καὶ ὑπόθεσιν ἀσεβείας τὴν τοῦ τιμῶντος ποιησόμεθα χάριν; *ib.*1.9(74E); id. *dial.Trin.*4(5^1.536A); except in Christ ~οντος τοῦ...Χριστοῦ, ἐφ' ὅλην δραμεῖται τὸ καύχημα τὴν ἀνθρώπου φύσιν id.*Heb.*1:9(p.384.22); controv. Nestorius μὴ ἀλλότριον τοῦ λόγου τὸ σῶμα αὐτοῦ, μεθ' οὗ καὶ αὐτῷ σ. τῷ πατρί, οὐχ ὡς δύο πάλιν ~όντων υἱῶν, ἀλλ' ὡς ἑνὸς καθ' ἕνωσιν μετὰ τῆς ἰδίας σαρκός id.*ep.*4(p.28.6; 5^2.24C); id.*apol.orient.*8 (p.50.2,20; 6^1.179E,180C); **2.** *assemble, congregate*, for worship; of Christ with Jewish multitude in Temple, Eus.*d.e.*8.2(p.388.14; M. 22.628B); of Christian congregations ὁ...Ἰωάννης μετὰ τὴν ὁμιλίαν τὴν πρὸς τοὺς ἀδελφοὺς καὶ τὴν εὐχὴν καὶ τὴν εὐχαριστίαν καὶ μετὰ τὴν χειροθεσίαν τὴν ἐφ' ἑκάστου τῶν σ. ποιησάμενος *A.Jo.*46(p.173.22); *ib.*(p.173.17); μήτε...ἀπολειπέσθω τις τοῦ ~ειν *Hom.Clem.*3.69; *ib.* 9.23; *ib.*11.18; πολλοὶ τῶν σ. ... ἡμῖν ἐγκαλέσουσιν Chrys.*hom.*43.1 *in 1Cor.*(10.401B); *sit in church* ὅταν...μήτε ἀγρυπνῇ, μήτε φροντίζῃ, ἀλλὰ ἁπλῶς σ. ἐν ἀδείᾳ id.*hom.*15.2 *in 1Tim.*(11.636E).

συνεδριάζω, **1.** *sit with* or *beside*, as a mark of honour σ. αὐτῷ τὸν υἱὸν ἐκέλευσεν. ὁ δέ, τῇ πρὸς τὸν πατέρα εὐλαβείᾳ...τοῦτο μὴ θελήσας ποιῆσαι †Jo.D.*B.J.*26(M.96.1101C); *ib.*(1105B); *ib.*29(1133A); theol., of consession of Son with Father τὴν κάτω φύσιν...ἐν τοῖς οὐρανοῖς συναγαγών, σ. τῷ θεῷ καὶ πατρὶ πεποίηκε †Gregent.*disp.*(M.86.772A); **2.** *meet in council* οἱ δὲ...σ. ... πέμπουσι...τὴν κοινωνίαν αὐτῶν ἐπιζητοῦντες Philost.*h.e.*10.1(M.65.584B); *ib.*4.10f.(524B,C).

συνέδριον, τό, A. *council*; **1.** prob. of Jewish *sanhedrin, Pss.Sal.* 4.1; **2.** of college of presbyters as bishop's council τῶν πρεσβυτέρων εἰς τύπον συνεδρίου τῶν ἀποστόλων Ign.*Magn.*6.1; τοὺς...πρεσβυτέρους ὡς σ. θεοῦ id.*Trall.*3.1; ἐὰν μετανοήσωμεν εἰς ἑνότητα θεοῦ καὶ σ. τοῦ ἐπισκόπου id.*Philad.*8.1; ὁ καθεζόμενος ἐν πρεσβυτερίῳ συνειδότι μεμιασμένος...τὸ Χριστοῦ μολύνων σ. Or.*fr.*50 *in Jer.*36:21(p.223. 23; M.13.580A); *Const.App.*2.28.4 cit. s. βουλή; **3.** σ. ἐπισκόπων *council, synod* ὅτι δ' ἂν ἐν τοῖς ἁγίοις τῶν ἐπισκόπων σ. πράττηται, τοῦτο πρὸς τὴν θείαν βούλησιν ἔχει τὴν ἀναφοράν Const.ap.Eus.*v.C.*

3.20(p.87.11; M.20.1080A); Jo.Ant.*ep.pap.CP*(p.129.9; M.83.1449B); cf. τοῦ ἀρχιερατικοῦ σ. Thdt.*ep.*42(4.1100); abs. *ποία...σύνοδος ἐπισκόπων ἦν τότε; ποῖον σ. ἀληθείας ἐχόμενον;* CAlex.*ep.*ap.Ath.*apol.sec.* 8(p.94.5; M.25.261C); Ath.*syn.*1(p.231.9; M.26.681A); Pall.*v.Chrys.*3 (p.16.10; M.47.12); Philost.*h.e.*2.7,11(M.65.472A,473B); *σ. ποιέω,* Gr.Naz.*or.*27.9(p.16.5; M.36.24A); *σ. συγκροτέω,* Pall.*v.Chrys.*7(p.38. 11; M.47.23); *σ. καθίζω* Philost.*h.e.*8.4(M.65.560A); of a council lacking proper eccl. authority *τῷ τῆς ἀποστασίας σ.* CEph.(431)*can.* 1,2; hence **a.** *session, meeting* of a council *τὸ σ. τῆς συνόδου συνεκροτεῖτο* CArim.*ep.Const.*1 ap.Ath.*syn.*10(p.237.23,35; M.26.697A,B); Acac.Mel.*hom.*(p.90.9; M.77.1468A); **b.** *council-chamber ἵν'...αὐθαίρετος εἰσέλθῃ εἰς τὸ σ.* Pall.*v.Chrys.*4(p.22.20; M.47.15); *ib.*8(pp.45.24, 46.12,15; M.47.27); Thdt.*haer.*4.2(4.353).

B. of non-legislative assemblies; **1.** any *public gathering, concourse,* Clem.*paed.*3.11(p.278.27; M.8.656A); **2.** *assembly, congregation*; **a.** as signifying whole body of Jews or Christians *καταλέλοιπε ...ὁ λόγος τοῦ θεοῦ τὸ Ἰουδαίων σ. καὶ ἄλλο σ. καὶ ἐκκλησίαν ἑαυτῷ πεποίηκε τὴν ἀπὸ τῶν ἐθνῶν* Or.*hom.14.15 in Jer.*(p.122.1; M.13. 423C); *ἀπηλλάγη τοῦ σ. τοῦ λοιμικοῦ, καὶ περιέτυχε τῇ σωτηρίῳ πηγῇ* Chrys.*hom.*59.1 *in Jo.*(8.344D); *ἐξεβάλλετο...τοῦ κοινοῦ σ.* id.*hom.*5. 2 *in 1Tim.*(11.576F); **b.** local assembly or congregation *ἅνδρες οἱ ἐλθόντες εἰς τὸ σ. τοῦ Χριστοῦ καὶ θέλοντες εἰς τὸν Ἰησοῦν πιστεῦσαι A.Thom.*A 37(p.154.19); of gatherings of Ophites, Or.*Cels.*6.28(p.98. 19; M.11.1336B); of other heretics *οἴκους, ἐν οἷς τὰ σ. ταῦτα πληροῦτε* Const.ap.Eus.*v.C.*3.65(p.112.12; M.20.1141A); **c.** of the building, whether *church ὅπως ἁγίων ἀνθρώπων ἄξιον σ. ἀποδειχθῇ* Const.*ib.* 3.53(p.100.27; 1116A); or *conventicle τὰ τῆς δεισιδαιμονίας ὑμῶν σ.* Const.*ib.*3.65(p.112.28; 1141C).

σύνεδρος, **1.** *seated with*; theol., of Son with Father implying equality *σ. ἔχων τὸν ἴδιον υἱόν* Cyr.*Jo.*5.4(4.505D); id.*dial.Trin.*4(5[1]. 536A); *ἀνεφέρετο εἰς τὸν οὐρανὸν ἵνα σ. εἴη τῷ πατρί* id.*Lc.*24:45ff.(M. 72.949B); of incarnate Lord as God *θεὸς...ὢν κατὰ φύσιν καὶ σ. τῷ θεῷ καὶ πατρί* id.*Heb.*2:14(p.393.5); *ὡς θεὸς...σ. ἦν τῷ γεγεννηκότι* id. *ep.*17(p.35.25; 5[2].70B); **2.** *sitting with* or *together in council ἐπισκόπους...τῶν σ. ἀνίστασαν μάρτυρας* Synes.*ep.*67(M.66.1417B).

συνεζευγμένως, *in conjunction, conjointly,* in anon. accusation against Bas. of following Apoll. in Sabellian teaching *σ., μᾶλλον δὲ ἡνωμένως* Bas.*ep.*129.1(3.220C; M.32.557C); *τὸν ἔλεον καὶ σ. αὐτῷ τὴν ἀνάστασιν...ἡμῖν αἰτεῖ* Cyr.*Ps.*40:11(M.69.997B); *νοεῖται σ.* Ammon. *Jo.*21:11(M.85.1521A).

***συνεθέλησις, ἡ,** *a willing the same, consensus of will,* as bet. Father and Son, Cyr.*Jo.*4.5(4.414B).

***συνεθελητής, ὁ,** *one who wills the same as another*; in gen., *like-minded person,* Cyr.*ador.*14(1.482E); id.*Jo.*4.5(4.401B); theol., of Son as consentient with Father *ἰδιογνώμων οὐδαμῶς, σ. δὲ...τῷ... πατρί ib.*5.5(521C); *ἰσογνώμων...καὶ σ. ... τῷ γεννήσαντι πρὸς πᾶν ὅτιοῦν ib.*(530B); *ib.*2.9(239C).

συνεθέλω, *will the same* as another, ref. Son as consentient with Father, Cyr.*Jo.*5.5(4.521E).

***σύνεθνος, ὁ,** *member of the same race* or *nation, fellow countryman καθὰ καὶ...λέγουσιν οἱ σ. ὑμῶν A.Pil.*A 2.4(p.225); Jo.Disc.*v. Epiph.*2(M.41.25C); Cyr.S.*v.Sab.*70(p.172.8).

συνείδησις, ἡ, συνειδός, τό, **I.** *consciousness, mind*;

A. in gen. *ἐν ὁμονοίᾳ ἐπὶ τὸ αὐτὸ συναχθέντες τῇ σ. 1Clem.*34.7; *ἥ τε τοῦ σ. ... τῆς ψυχῆς δύναμις* Clem.*str.*7.7(p.29.3; M.9.453A); *γυμνὴ δὲ ἡ ψυχὴ ἐν δυνάμει τοῦ σ.* id.*exc.Thdot.*27(p.116.2; M.9.673A); *μετὰ τοῦ λόγου εἰσελθόντας εἰς τὴν παντὸς οὐτινοσοῦν σ.* Or.*Cels.*5.1(p.1.7; M.11.1181A); †Bas.*bapt.*2.8.6(2.664B; M.31.1605D); *disposition τὴν αὐτὴν σ. τῇ...ἐκκλησίᾳ...φυλάττων* Gr.Naz.*test.*(M.37.389B).

B. as private and secret *αὐταὶ καταγελῶσιν ὑμῶν αἱ συνοικοῦσαι, εἰ καὶ μὴ φανερῶς, ἀλλ' ἐν τῷ συνειδότι* Chrys.*subintr.*11(1.245C); id.*Jud.* 8.8(1.687C); *οὐ μόνον τὴν ἐπιφάνειαν τοῦ φαινομένου σώματος ἀλλὰ καὶ τοῦ σ. αὐτὸ τὸ ἀπόκρυφον* Mac.Mgn.*apocr.*4.25(p.209.2); *καλαὶ μὲν αἱ πράξεις· ἐὰν δὲ φυλάξῃς τὴν σ. ἀπὸ τοῦ πλησίον σου, οὕτως σώζῃ Apophth.Patr.*(M.65.369A); *ib.*(372A).

C. esp. ref. Christians *πεπεισμένος οὖν πάντῃ τὸν θεὸν εἶναι πάντοτε καὶ αἰδούμενος μὴ ἀληθεύειν ἀνάξιόν τε αὐτοῦ τὸ ψεύδεσθαι γινώσκων, τῇ σ. τῇ θείᾳ καὶ τῇ ἑαυτοῦ ἀρκεῖται μόναις* Clem.*str.*7.8(p.38.24; M.9. 473A); *μόνῃ δὲ σ. πίστεως ἀνύπουλος διαμένει διὰ μέσων οὐρανῶν μετὰ ἀληθείας ἀνερχομένη Const.App.*7.33.3; Chrys.*hom.1.4 in 2Cor.*(10. 423C); *τῶν ἀποστόλων...ὁ λόγος ἐξέλαμπε τοῦ σ. αὐτοῦ φωτίζων τὰ ἀπόκρυφα* Mac.Mgn.*apocr.*3.28(p.119.26).

II. *knowledge shared with others Εὐσέβιος...ὑπὸ τῆς σ. ὧν οἶδε πληττόμενος* CAlex.*ep.*ap.Ath.*apol.sec.*6(p.92.10; M.25.257C).

III. *observation, evidence μαθηταῖς...τεθεαμένοις τὰ τεράστια τοῦ Ἰησοῦ καὶ παριστᾶσιν ἐναργῶς τὸ εὔγνωμον τῆς ἑαυτῶν σ. συγκατατιθώμεθα, ὁρῶντες τὸ ἀπάνουργον αὐτῶν, ὅσον ἔστω ἰδεῖν συνείδησιν ἀπὸ γραμμάτων* Or.*Cels.*3.24(p.220.20f.; M.11.948B).

IV. *conscience*;

A. nature and functions; **1.** natural endowment of man, Meth. *fr.10 in Job* (p.513.9; M.18.408A); *δύο...διδάσκαλοι γεγόνασιν ἡμῖν ἐξ ἀρχῆς, ἡ κτίσις, καὶ τὸ σ.· καὶ οὐδέτερος αὐτῶν φωνὴν ἀφιείς, σιγῇ τοὺς ἀνθρώπους ἐπαίδευον. ἥ τε γὰρ κτίσις διὰ τῆς ὑφέως ἐκπλήττουσα τὸν θεατήν, εἰς τὸ τοῦ ποιήσαντος αὐτὴν θαῦμα παραπέμπει τὸν ὁρῶντα ἅπαντα· τὸ δὲ σ. ἔνδον ἐνηχοῦν, ἅπαντα ὑποβάλλει τὰ πρακτέα* Chrys.*Anna* 1.3(4.703C); *ὁμοῦ γὰρ πλάττων τὸν ἄνθρωπον ὁ θεός, τοῦτο αὐτῷ ἐνέθηκε δικαστήριον ἀδέκαστον, τὴν ἐν ἑκάστῳ τοῦ σ. ψῆφον* id.*exp.in Ps.*147:9(5.486D); *φυσικὴ βίβλος ἐστὶ σ. ὁ ἐμπράκτως ἀναγινώσκων αὐτήν, λαμβάνει πεῖραν θείας ἀντιλήψεως* Marc.Er.*opusc.* 1.187(M.65.928C); *ὅτε ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον, ἐνέσπειρεν αὐτῷ τί ποτε θεῖον, ὥσπερ λογισμόν τινα θερμότερον...φωτίζοντα τὸν νοῦν καὶ δεικνύοντα αὐτῷ τὸ καλὸν ἀπὸ τοῦ κακοῦ. τοῦτο κατακαλεῖται συνείδησις ὃς ἐστιν ὁ φυσικὸς νόμος* Dor.*doct.*3.1(M.88.1652D); **2.** sufficient for leading a moral life *ἀρίστη γὰρ πρὸς τὴν ἀκριβῆ αἵρεσίν τε καὶ φυγὴν ἡ σ., θεμέλιος δὲ αὐτῆς βέβαιος ὀρθὸς βίος* Clem.*str.*1.1(p.5. 21; M.8.692B); *ἡ σ. οὐ συγκρίνει τοὺς...λογισμοὺς τοὺς ὑπακούοντας τῇ ἁμαρτίᾳ, ἀλλ' εὐθὺς ἐλέγχει. οὐ ψεύδεται γάρ, ἐπεὶ τί εἶποι ἐνώπιον τοῦ θεοῦ ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως μαρτύρεται, ὡς πάντοτε ἐλέγχουσα* Mac.Aeg.*hom.*35.34(M.34.597D); *ἀρκοῦντα γὰρ ἔχομεν διδάσκαλον τὸ σ., καὶ οὐκ οἶόν τέ τινα ἀπεστερῆσθαι τῆς ἐκεῖθεν βοηθείας* Chrys.*hom. 54.1 in Gen.*(4.522B); *τοῖς δὲ Ἰουδαίοις ἐξαίρετόν τι ἐπραγματεύσατο, τὸ καὶ διὰ γραμμάτων δηλῶσαι τὰ νόμιμα...ἡ μέντοι πᾶσα φύσις ἡ ἀνθρωπίνη ἀρκοῦντα εἶχε τὸν ἀπὸ τοῦ σ. νόμον* id.*exp.in Ps.*147:9(5. 486E); id.*Laz.*4.5(1.759A); *ζητῶν θεραπείαν, ἐπιμέλησαι τῆς σ.· καὶ ὅσα λέγει, ποίησον...τὰ κρυπτὰ ἑκάστου ὁ θεὸς οἶδε, καὶ ἡ σ.· καὶ τούτων αὐτῶν λαμβανέτω διόρθωσιν* Marc.Er.*opusc.*1.69f.(M.65.913C); *τῇ σ. εἴξαντες οἱ πατριάρχαι, καὶ πάντες οἱ ἅγιοι πρὸ τοῦ γραπτοῦ νόμου, εὐηρέστησαν τῷ θεῷ* Dor.*doct.*3.1(M.88.1652D); *λόγος δὲ θεοῦ τὴν ψυχὴν πρὸς ἀρετὴν...διεγείρει, καὶ μάλιστα τῶν ῥᾳθυμοτέρων περὶ τὴν ἐργασίαν τῶν θείων παραγγελμάτων...τοῖς μὲν γὰρ σπουδαίοις...ἱκανὴ καὶ ἡ σ. πρὸς διδασκαλίας ὑπόθεσιν, πάντα τὰ ἀγαθὰ συμβουλεύουσα, καὶ πάντων τῶν πονηρῶν ἀποστρέφουσα* Leont.N.*v.Sym.*2(M.93. 1669C); **3.** as judge *τὸ σ. λέγω...οὐκ ἔστιν οὐδεὶς δικαστὴς οὕτως ἄγρυπνος ἐν ἀνθρώποις, οἷον τὸ ἡμέτερον σ. οἱ μὲν γὰρ ἔξωθεν δικασταὶ καὶ ὑπὸ χρημάτων διαφθείρονται...καὶ πολλὰ ἕτερά ἐστι τὰ λυμαινόμενα τὴν ὀρθὴν ἐκείνων ψῆφον· τὸ δὲ τοῦ σ. δικαστήριον οὐδενὶ τούτων εἴκειν οἶδεν* Chrys.*Laz.*4.4(1.745A); id.*hom.17.1 in Gen.*(4.134C); id. *hom.42.3 in Mt.*(7.455C); *ἀνοιξόν σου τὰς θύρας τοῦ σ., καὶ βλέπε τὸν ἐν τῇ διανοίᾳ σου καθήμενον δικαστήν* id.*hom.9.3 in 2Cor.*(10.502E); but without power to absolve *τότε ἐρχόμεθα ἐπὶ δέησιν, ὅταν ὁ δικαστὴς ἡμῖν μὴ ἀφῇ ὁ ἔνδον, τὸ σ. λέγω τὸ ἡμῖν ἐγκαθήμενον. οὐδὲ γὰρ ἐξουσίαν ἔχει τοῦ ἀφιέναι* id.*exp.in Ps.*142:1(5.448C); *εἶχε γὰρ ἕκαστος κριτὴν ἀδέκαστον τὴν ἰδίαν σ.* Nil.*exerc.*5(M.79.724B); **4.** as teacher *τὸ σ. διδάσκει* Gr.Naz.*or.*16.5(M.35.941A); *ἀπὸ τοῦ τῇ φύσει τῇ ἀνθρωπίνῃ ἐγκειμένου τῷ σ. διδασκάλου ὁδηγούμενος* Chrys.*hom.52.4 in Gen.*(4.512D); *εἶχε γὰρ τὸν κατὰ φύσιν διδάσκαλον ἐρρωμένον, τὸ ἴδιον σ.* Pall.*h.Laus.*4(p.19.25; M.34.1017A); **5.** as accusing and condemning *μὴ τὰ αὐτὰ παθεῖν βουλομένους ἅπερ αὐτοὶ τοὺς ἄλλους διατίθεασι, καὶ ἐν σ. ἐχθραῖς ταῦτα ὀνειδίζοντας ἀλλήλοις ἅπερ ἐργάζονται* Just.*dial.*93.2(M.6.697B); *ἡ δυσωπία ἡ πρὸς ἑαυτὴν τῆς ψυχῆς ἐκ συνειδήσεως* Clem.*str.*4.6(p.265.9; M.8.1249A); *ὁ...δεσπότης...διαπλάττων τὸν ἄνθρωπον, τὸ σ. αὐτῷ ἐνέθετο κατήγορον ἀδιάλειπτον* Chrys. *hom.17.1 in Gen.*(4.134C); *ἐνόει μοι...τοῦ σ. τὴν κατηγορίαν, καὶ ὅπως ὠθούμενος...ὑπὸ τῆς σ. οὐκ ἔστη μέχρι τοῦ εἰπεῖν 'οὐ γινώσκω' ib. 19.2*(164D); *γυμνὸς δὲ ἑστηκε...ὁ κατήγορος, τοῦ σ. δημίου τάξιν ἐπέχοντος* id.*ep.*7.2(3.585E); Rom.Mel.(*AS* 1 p.147); *βλέπε μὴ πρὸ καιροῦ κατακρίνῃ σε ἡ σ. σου* Jo.Jej.*poenit.conl.virg.*(M.88.1969C); **6.** other functions *διὰ τί δὲ καλεῖ τὴν σ. ἀντίδικον;...ἐπειδὴ αὕτη ἀντίκειται πάντοτε τῷ θελήματι ἡμῶν τῷ κακῷ* Dor.*doct.*3.1(M.88. 1653C); *θέλει γάρ τις φυλάξαι συνείδησιν πρὸς τὸν θεὸν καὶ τὸν πλησίον, καὶ πρὸς τὰς ὕλας. καὶ πρὸς μὲν τὸν θεόν, ἵνα μὴ καταφρονῇ τῶν ἐντολῶν αὐτοῦ...ἡ δὲ πρὸς τὸν πλησίον ἐστίν, ἵνα μὴ ποιῇ τις τίποτε... εἰς ὃ εἶδεν ὅτι θλίβει ἢ πλήσσει τὸν πλησίον...τὸ δὲ πρὸς τὰς ὕλας φυλάξαι ἐστίν, ἵνα μὴ κακῶς κέχρηταί τις πράγματι ib.*3.3(1656B,C); *τὸ σ. σοι ἔσοπτρον τῆς ὑποταγῆς ἔστω* Jo.Clim.*scal.*4(M.88.712B); **7.** functions varying acc. circumstances *ἀεὶ...ἡμᾶς κεντεῖ τῶν ἁμαρτημάτων τὸ σ., μάλιστα δὲ κατ' ἐκείνην τὴν ὥραν, ὅταν μέλλωμεν ἐντεῦθεν ἀπάγεσθαι πρὸς...τὸ φοβερὸν δικαστήριον* Chrys.*Laz.*2.2(1.729D); *ὅρα σοφίαν θεοῦ. οὔτε διηνεκῆ τὴν κατηγορίαν ἐποίησεν εἶναι τοῦ σ. (οὐ γὰρ ἂν ἠνέγκαμεν τὸ φορτίον, συνεχῶς ἐγκαλούμενοι) οὔτε οὕτως ἀσθενῆ, ὡς ἐκ πρώτης καὶ δευτέρας ἀπαγορεῦσαι παραινέσεως. εἰ μὲν γὰρ καθ' ἑκάστην ἡμέραν καὶ ὥραν ἔμελλεν ἡμᾶς κεντεῖν, κἂν ἀπεπνίγημεν ἀπὸ τῆς ἀθυμίας· εἰ*

δὲ ἅπαξ καὶ δεύτερον ὑπομνῆσαν ἀπέστη τῆς ἐπιτιμήσεως, οὐκ ἂν πολλὴν ἐκαρπωσάμεθα τὴν ὠφέλειαν *ib.*4.5(758B); ἀεὶ...κεντεῖται τὸ σ., μάλιστα δὲ ὅταν περὶ τῆς κρίσεως διαλεγώμεθα Jo.Jej.*poenit.cont. virg.*(M.88.1968D); **8.** in rel. to conscience of others, exeg. 1Cor. 10:25-29 'διὰ τὴν σ.' οὖν ἀφεκτέον ὧν ἀφεκτέον. 'σ. δὲ λέγω οὐχὶ τὴν ἑαυτοῦ', γνωστικὴ γάρ, 'ἀλλὰ τὴν τοῦ ἑτέρου', ἵνα μὴ κακῶς οἰκοδομηθῇ ἀμαθίᾳ μιμούμενος ὃ μὴ γινώσκει, καταφρονητὴς ἀντὶ μεγαλόφρονος γινόμενος Clem.*str.*4.15(p.291.26ff.; M.8.1305A); cf.*ib.*4.7(p.273.12; 1265B); ref. scandal given to Nestorians by term θεοτόκος: μάτην ἡμεῖς...δῆθεν ἀκριβείας περιττῆς ἕνεκα πρὸς αἱρετικὴν κακοδοξίαν μόνον βλεπούσης τὰς σ. τῶν ἀδελφῶν εἰς οὐδὲν δέον πληττομένας περιορῶμεν Jo.Ant.*ep.Nest.*4(p.95.22; M.77.1456A).

B. of bad conscience; **1.** causes; **a.** sin in gen. ἐπὶ τῷ καθικέσθαι διανοίας τοῦ τὴν σ. μεμολυσμένου ἐπί τινι ἁμαρτίᾳ Or.*hom.*6.2 *in Jer.* (p.49.2; M.13.325A); Chrys.*hom.*18.1 *in 1Cor.*(10.151E); **b.** specific sins ἡ σ. μου συνέχει με περὶ τῆς ἀσεβείας μου *T.Reub.*4.3; ὁ χωρὶς ἐπισκόπου καὶ πρεσβυτερίου καὶ διακόνων πράσσων τι, οὗτος οὐ καθαρός ἐστιν τῇ σ. Ign.*Trall.*7.2; τὴν θεόθεν ἤκουσαν σ. ἀπιστίᾳ κατεμίαναν Clem.*str.*2.6(p.129.1; M.8.965A); (Sabellian) heresy οὗ τῷ ὄρῳ ἀρεσκόμενοι πολλοὶ συνείδησιν πεπληγότες Hipp.*haer.*9.12(p.249.18; M.16.3386B); μηδὲ συνείδησιν ἐπὶ ἀνόμῳ κέρδει μολύνειν *ib.*9.23(p.259.2; 3402A); **c.** sin of Adam and Eve, Thdt.*qu.26 in Gen.*(1.41); *ib.* 33(1.46); **2.** its torments ψυχὴν...περιφέροντα σ. βαρούμενον ὑπὲρ 'φορτίον βαρὺ' καὶ βαρούμενον ὑπὸ τοῦ τῆς ἀρνήσεως πτώματος Or. *mart.*39(p.37.8; M.11.616A); ἁμαρτίαν δ' οὐ δεδοίκαμεν, ὅπερ ἐστὶν ἀληθῶς φοβερόν, καὶ πυρὸς κατεσθίει τὸ σ. Chrys.*stat.*5.3(2.64C); οὐδὲ ἡνίκα καθεύδωσι, ταύτης ἀπαλλάττονται τῆς ἀγωνίας, τοῦ πονηροῦ σ. ὀνείρατα πολλῶν γέμοντα φόβων ἀναπλάττοντος αὐτοῖς id.*hom.*12.7 *in Rom.*(9.553B); id.*hom.*5.3 *in 2Tim.*(11.689D); **3.** its effects; **a.** unbelief τὸ μὴ πιστεύειν ἀπὸ πονηρᾶς γίνεσθαι σ. Chrys.*hom.*18.3 *in Jo.* (8.163B); πολλῶν γὰρ πεπληρωμένον τὸ σ. πονηριῶν, δεδοικὸς...τὴν μέλλουσαν ἀντίδοσιν, ἐπειδὴ μὴ βούλεται ἀπὸ τῆς μεταβολῆς τῆς ἐπὶ τὰ κάλλιστα τὴν παραμυθίαν πορίζεσθαι, ἀπὸ τῆς ἀπιστίας ἀναπαύεσθαι βούλεται id.*hom.*17.3 *in 1Cor.*(10.149C); id.*hom.*9.3 *in Rom.*(9.514B); **b.** fear of death, id.*stat.*6.3(2.77C); ‡Pall.*h.mon.*11.15(p.57.22; M. 65.452D); **c.** other consequences βαρύτητα τὴν τῆς σ. εἰς ἀπόγνωσιν ὤθησιν μετ' ἐπιτάσεώς φησιν Ath.*exp.Ps.*37:5(M.27.184C); οὐ τολμήσει καταφρονήσας εἰς ἐκκλησίαν θεοῦ εἰσελθεῖν, πλησάσμενος τῇ σ. αὐτοῦ *Const.App.*2.10.3; **d.** its external expression εἰ μὴ τῷ χρώματι τοῦ προσώπου δείξουσι τὴν συκοφαντίαν· τοῦτο γὰρ τοῦ σ. ἔλεγχός ἐστι... οὕτω τοὺς μὲν ἐπιβουλεύσαντας τῷ Ἰωσὴφ ἡ σ. ἤλεγξε Ath.*apol.Const.* 12(M.25.609B,C); κατηφὲς...ἀεὶ τῶν δυσσεβῶν τὸ πρόσωπον...τοῖς τοῦ σ. ἐλέγχοις ἀχθοφοροῦντος τοῦ νοῦ Cyr.*Is.*4.3(2.654C).

C. the hardened conscience, cf.1Tim.4:2 εἴ τις ἐπίσκοπος...ἐν ταῖς ἡμέραις τῶν ἑορτῶν οὐ μεταλαμβάνει κρεῶν καὶ οἴνου, καθαιρείσθω ὡς κεκαυτηριασμένος τῆς σ. *Can.App.*53; τὸ δὲ σ. κεκαυτηριασμένοι, τουτέστι, πονηροῦ ὄντες βίου Chrys.*hom.*12.1 *in 1Tim.*(11.610C); ὅταν γὰρ ἡ σ. λέγει ἡμῖν, ποιῆσαι τόδε ἔτι, καὶ καταφρονῶμεν, καὶ πάλιν λέγει, καὶ οὐ ποιῶμεν, ἀλλὰ μένωμεν καταπατοῦντες αὐτήν, λοιπὸν καταχωνύομεν αὐτήν, καὶ οὐκ ἔτι δύναται τρανῶς λαλεῖν ἡμῖν...οὕτως εὑρισκόμεθα μὴ αἰσθανόμενοι ὧν λέγει ἡμῖν ἡ σ. ἡμῶν, ὡς νομίζειν ἡμᾶς σχεδὸν μὴ ἔχειν αὐτήν. οὐδεὶς δέ ἐστιν ὁ μὴ ἔχων αὐτήν Dor.*doct.*3.1(M.88. 1653A,B); πρόσχωμεν, μήπως οὐκ ἐκ καθαρότητος, ἀλλὰ περικακῆσαν ὥσπερ, τοῦ ἐλέγχειν τὸ σ. ἐπαύσατο Jo.Clim.*scal.*5(M.88.780B).

D. the purification of conscience; **1.** by baptism συνείδησις δέ ἐστι λόγος καὶ ἔλεγχος τοῦ ἡμετέρου φύλακος τοῦ ἐκ βαπτίσματος παραδοθέντος ἡμῖν. διόπερ οὐδὲ τοσοῦτον τοὺς ἀφωτίστους εὑρίσκομεν τυπτομένους ἐπὶ ταῖς κακαῖς πράξεσιν ἐν τῇ ἑαυτῶν ψυχῇ· ἀλλ' ἀμυδρῶς πως Jo.Clim.*scal.*26(M.88.1092A); τὸ μυστικὸν ὕδωρ ἐποιεῖτο τῆς σ. κάθαρσιν Max.*qu.Thal.*6(M.90.281B); **2.** through confession δεῖ...καὶ περὶ τῶν ἀκουσίων πταισμάτων ἐξομολόγησιν σύντονον προσφέρειν τῷ δεσπότῃ...ἄχρις οὗ πληροφορηθῇ ἡ σ. ἡμῶν ἐν δακρύῳ ἀγάπης...προσέχειν δὲ δεῖ ἀδιαλείπτως τῇ αἰσθήσει τῆς ἐξομολογήσεως, μήπου ἄρα ἡ σ. ἡμῶν ψεύσηται ἑαυτήν...ὅτι πολὺ κρείττων ἐστὶν ἡ τοῦ θεοῦ κρίσις τῆς ἡμετέρας σ. Diad.*perf.*100(p.148.15ff.); and repentance, Chrys.*stat.*18.3(2.186B).

E. contrast bet. good and bad conscience καθάπερ γὰρ τὸ πονηρὸν σ. ῥυπαροὺς ἡμᾶς ἐργάζεται, καὶ εἰς ἀπόγνωσιν ἡμᾶς ἐμβάλλει· οὕτως ἂν ἐδαφίσωμεν ἡμῶν τὰς ἁμαρτίας, ἂν ἐκκαθάρωμεν τὴν πονηρίαν, δυνησόμεθα διαβλέψαι εἰς τὸν πνευματικὸν πόθον, καὶ μετὰ πολλῆς τῆς προθυμίας καλεῖν τὸν θεόν Chrys.*exp.in Ps.*41:2(5.138A); οὐδὲν γὰρ οὕτω βαρεῖ ψυχήν...καὶ πιέζει κάτω, ὡς ἁμαρτίας συνειδός· οὐδὲν οὕτω πτεροῖ καὶ μετέωρον ποιεῖ, ὡς δικαιοσύνης κτῆσις id.*hom.* 38.3 *in Mt.*(7.429C); οὐδὲν γὰρ σ. κεντουμένης μνήμῃ πράξεως πονηρᾶς ἀσθενέστερον, πάντα ἡγουμένη ἐχθρὰ...καὶ πρὸς ἄμυναν ἐπιτήδεια, δι' ἣν ἔνδον ἔχει κολάσεως ἀεὶ προσδοκίαν ἐπὶ τοῖς πεπραγμένοις κακοῖς, κἂν μηδεὶς ἐλέγχειν δύνηται...ἀλλ' οὐχ ἡ καθαρεύουσα πονηρίας οὕτω· πολὺ γὰρ αὕτη τὸ πεποιθὸς ἔχει οὐδαμόθεν ὁρῶσα καταγνώσεως εὔλογον αἰτίαν...τὸ ἀνυπαίτιον ἔχουσα παρρησίας ἐφόδιον ‡Nil.*perist.*12.8(M.79. 953C).

F. pure conscience of Christians; **1.** in gen., *1Clem.*1.3; ἕκαστος ὑμῶν...ἐν ἀγαθῇ σ. ὑπάρχων *ib.*41.1; Polyc.*ep.*5.3; **2.** cause ἡ δὲ ἀγαθὴ σ. ἀπὸ βίου καὶ πράξεων ὀρθῶν Chrys.*hom.*1 *in 2Cor.*4:13(3. 269A); **3.** effects; **a.** removal of fear of death, Clem.*str.*7.12(p.56. 25; M.9.509B); Hipp.*haer.*9.26(p.260.24; M.16.3403C); **b.** joy and consolation, Ath.*exp.Ps.*36:8(M.27.180A); οὐδὲν γὰρ ἡμᾶς οὕτως εὐφραίνειν εἴωθεν, ὡς σ. χρηστόν Chrys.*subintr.*11(1.245D); εὐθυμίαν γὰρ καὶ χαρὰν οὐκ ἀρχῆς μέγεθος, οὐ χρημάτων πλῆθος...οὐκ ἄλλο τι τῶν ἀνθρωπίνων ποιεῖν εἴωθεν, ἀλλ' ἢ κατόρθωμα...πνευματικόν, καὶ σ. ἀγαθόν id.*hom.*1.4 *in Rom.*(9.435D); εἰ γὰρ ἀπὸ τοῦ σ. γένοιτο χαρά... οὐδὲν λείπει εἰς εὐθυμίαν ὑμῖν καὶ παράκλησιν· οὐδὲν γὰρ οὕτω ποιεῖ παράκλησιν, ὡς καθαρὸν σ. id.*hom.*30.1 *in 2Cor.*(10.649Ef.); exeg. 2Cor.1:12 'ἡ γὰρ καύχησις ἡμῶν...τὸ μαρτύριον τῆς σ. ἡμῶν'· τουτέστιν, ἡ σ. ἡμῶν, οὐκ ἔχουσα ἡμᾶς καταδικάζειν...κἂν γὰρ μυρία πάσχωμεν δεινά,...ἀρκεῖ εἰς παραμυθίαν ἡμῖν, μᾶλλον δὲ οὐ μόνον εἰς παραμυθίαν, ἀλλὰ καὶ εἰς τὸ στεφανοῦσθαι, τὸ σ. καθαρὸν ὄν, καὶ μαρτυροῦν ἡμῖν, ὅτι δι' οὐδὲν πονηρόν, ἀλλὰ διὰ τὸ τῷ θεῷ δοκοῦν, ταῦτα πάσχομεν *ib.*3.1(441Ef.); **c.** confidence and hope, Or.*Jo.*20.31 (25; p.368.25; M.14.645A); οὐδὲν γὰρ οὕτω χρηστὰ ἐλπίζειν παρασκευάζει, ὡς ἀγαθὸν σ. Chrys.*hom.*9.2 *in Rom.*(9.514A); ὥστε μὴ πλέον δυνηθῆναι τὴν ὕβριν ἐν τῷ συντρίβειν, ἢ τὸ ἀγαθὸν σ. ἐν τῷ ἐλπίζειν...καὶ ἔστιν ὡς ἀληθῶς βέβαιον πρᾶγμα τὸ σ. εἰς πάντα τὰ ἀδίκως συμπίπτοντα...παραμυθείτω τὴν ἀγάπην σου αὐτὸ τὸ σ., ἄδελφε τιμιώτατε, ὅπερ ἐν ταῖς θλίψεσιν ἔχει τὴν παραμυθίαν τῆς ἀρετῆς Innoc.*ep.Chrys.*(M.52.537); **d.** also risk of pride οὐδὲν γὰρ οὕτως ἀπόνοιαν τίκτειν εἴωθεν, ὡς σ. ἀγαθόν, ἐὰν μὴ προσέχωμεν Chrys.*hom.*3.1 *in Is.*6:1(6.112D).

G. God and conscience; **1.** in gen. οὐχὶ καὶ αἱ προαιρέσεις φθάνουσι πρὸς τὸν θεὸν προϊεῖσαι τὴν φωνὴν τὴν ἑαυτῶν; οὐχὶ δὲ καὶ ὑπὸ τῆς σ. πορθμεύονται; Clem.*str.*7.7(p.29.10; M.9.453B); θεὸς μαρτὺς τοῦ ἡμετέρου σ. Or.*Cels.*1.46(p.96.16; M.11.745B); τῶν ἀμέμπτων πατὴρ ...διὰ συνειδήσεως ἐρευνᾷς ἑκάστου τὴν γνώμην *Const.App.*7.33.2; μετὰ ἀσφαλείας...τὸ μαρτύριον τῆς σ. ἡμῶν κατεργάζεσθαι ἐνώπιον τοῦ θεοῦ Diad.*perf.*94(p.138.26); ref. grace ἡ μὲν χάρις...πρῶτον μὲν θεοπρεπῶς διεγείρει τὴν σ. Marc.Er.*opusc.*2.56(M.65.937D); **2.** pure conscience needed for worship in gen. μετὰ καθαροῦ σ. ἐπιτελεῖν τὴν ἡμέραν τῆς...ἀναστάσεως Gr.Ant.*mul.ung.*12(M.88. 1865A); esp. for Communion ἁγίασον...διακόνους, ἵνα...δυνηθῶσιν καθαρᾷ σ. λειτουργεῖν καὶ παραστῆναι τῷ ἁγίῳ σώματι καὶ τῷ ἁγίῳ αἵματι Serap.*euch.*11.3; cf.*ib.*27.2; exeg. 1Cor.11:28 σφόδρα φοβερῶς περὶ αὐτῆς διελέχθη, τὸ κεφάλαιον τῶν ἀγαθῶν κατασκευάζων, τὸ μετὰ καθαροῦ προσιέναι σ. αὐτοῖς...οὐ γὰρ ὅπως παρασκευασμένοι καὶ τὰ κακὰ ἑαυτῶν ἐκκαθάραντες...προσέλθοιμεν σκοπεῖμεν, ἀλλ' ὅπως ἐν ἑορταῖς, καὶ ἡνίκα ἂν ἅπαντες. ἀλλ' οὐχ οὕτως ὁ Παῦλος ἐκέλευσεν, ἀλλ' ἕνα καιρὸν οἶδε προσόδου καὶ κοινωνίας, τοῦ σ. τὴν καθαρότητα Chrys.*hom.*28.1 *in 1Cor.*(10.250C,D); χρόνος προσόδου ἔστω ἡμῖν τὸ καθαρὸν σ. id.*hom.*6.3 *in 1Tim.*(11.577D); id.*hom.*89.3 *in Mt.*(7. 835B); συγχωρῆσαι δὲ ἕκαστον τῷ ἰδίῳ σ. τῶν μυστηρίων μετέχειν Socr.*h.e.*5.19.9(M.67.617A); cf.*Lit.Chrys.*(p.390.25); in prayer before Communion ὁ θεὸς...ἀνάκρινον τὰς σ. καὶ ἔκβαλον ἀφ' ἡμῶν πᾶσαν ἔννοιαν πονηράν *Lit.Jac.*(p.224.7); ποίῳ γὰρ σ. ... προσέρχῃ τοῖς μυστηρίοις;...ἔχων ἔνδον τὸ σὸν σ. κατήγορον Anast.S.*synax.*(M.89. 832C).

H. in spiritual life; **1.** examination of conscience; **a.** prescribed ἕκαστος ἡμῶν ἐξετασάτω τὴν σ. ἑαυτοῦ Or.*hom.*20.9 *in Jer.*(p.192. 10; M.13.521D); for monks τῆς ἡμέρας παρελθούσης...πρὸ τῆς ἀναπαύσεως ἀνακρίνεσθαι προσήκει τὸ σ. ἑκάστου ὑπὸ τῆς ἰδίας καρδίας Bas.*ascet.*1.5(2.323C; M.31.881A); for catechumens ὧδε οὖν ζητεῖται...ἵνα τις ἐξ ὑμῶν πιστὸς ἐκ συνειδήσεως εὑρεθῇ. ἄνδρα γὰρ πιστὸν ἔργον ἐστὶν εὑρεῖν...οὐχ ἵνα ἐμοὶ δείξῃς σου τὴν σ. ... ἀλλ' ἵνα τῷ θεῷ δείξῃς τῆς πίστεως τὸ ἄδολον Cyr.H.*catech.*5.2; εἰς τὸ σ. εἰσελθὼν τὸ σεαυτοῦ, ἀναλογίσαι τὰ πεπραγμένα σοι παρὰ πᾶσαν τὴν ζωήν Chrys.*hom.in Mt.*18:23(3.6D); ἕκαστος...εἰς τὸ ἑαυτοῦ συνεισελθών, καὶ ἀναλογιζόμενος τὰ πεπλημμελημένα ἀπαιτείτω τὰς εὐθύνας ἑαυτὸν ἀκριβεῖς id.*hom.*5.6 *in Rom.*(9.469B); **b.** its method τὸ σ. τὸ ἡμέτερον καλέσαντες ποιήσωμεν αὐτῷ λόγον τῶν ῥημάτων, τῶν πραγμάτων, τῶν ἐνθυμήσεων· ἐξετάσωμεν, τί μὲν εἰς δέον ἀνήλωται, τί δὲ ἐπὶ βλάβῃ τῇ ἡμετέρᾳ· ποῖος λόγος ἐδαπανήθη κακῶς, εἰς λοιδορίας, εἰς αἰσχρολογίας, εἰς ὕβρεις· ποῖον ἐνδύμημα τὸν ὀφθαλμὸν εἰς ἀκολασίαν ἐκίνησε· τίς λογισμὸς ἐπὶ βλάβῃ τῇ ἡμετέρᾳ εἰς ἔργον ἐξηνέχθη, ἢ διὰ χειρῶν, ἢ διὰ γλώττης, ἢ διὰ τῶν ὀμμάτων αὐτῶν id.*gyal.*4(2.665A); ἐν τῷ καιρῷ τῷ μετὰ τὰ δεῖπνα...ἡνίκα ἂν μέλλητε κατακλίνεσθαι,

καὶ μηδενὸς παρόντος πολλὴ ἡ ἡσυχία...τὸ δικαστήριον ἐγείρον τοῦ σ., εὐθύνας ἀπαίτησον αὐτό, καὶ ἃ μεθ' ἡμέραν ἐβουλεύσω πονηρά, ἢ δόλους ῥάπτων, ἢ τὸν πλησίον ὑποσκελίζων...ταῦτα ἐν τῷ καιρῷ τῆς ἡσυχίας ἐκείνης εἰς μέσον ἀγαγών, καὶ τὸ σ. ἐπιστήσας τοῖς ἀτόποις τούτοις λογισμοῖς, κατάξαινε αὐτούς, καὶ δίκην ἀπαίτει id.*exp.in Ps.*4:5(5.18D); to be done daily, *ib.*(19A); esp. in Lent ἡμᾶς δίκαιον...μὴ ἁπλῶς τὰς ἑβδομάδας τῶν νηστειῶν παρατρέχειν, ἀλλὰ διερευνᾶσθαι τὴν ἑαυτῶν σ., καὶ τὸν λογισμὸν βασανίζειν, καὶ σκοπεῖν τί μὲν ἐν ταύτῃ τῇ ἑβδομάδι ἡμῖν κατώρθωται, τί δὲ ἐν τῇ ἑτέρᾳ, καὶ τίνα προσθήκην ἐδεξάμεθα εἰς τὴν ἐπιοῦσαν, καὶ ποῖον τῶν ἐν ἡμῖν παθῶν διωρθώσαμεν id.*hom.11.2 in Gen.*(4.84E); id.*hom.42.3 in Mt.*(7.455C); **2.** purity of conscience necessary for prayer προσευχὴ δὲ ἐκ καλῆς σ. ἐκ θανάτου ῥύεται *2Clem.*16.4; οὐ προσήξεις ἐπὶ προσευχὴν ἐν σ. πονηρᾷ *Did.*4.14; ποῖον γὰρ θεῷ δῶρον ἀπὸ τοῦ λογικοῦ μεῖζον ἀναπέμπεσθαι δύναται εὐώδους λόγου εὐχῆς, προσφερομένης ἀπὸ συνειδότος μὴ ἔχοντος δυσωδες ἀπὸ τῆς ἁμαρτίας; Or.*or.*2.2(p.300.14; M.11.420A); προσευχαὶ ἀπὸ σ. καθαρᾶς id.*Cels.*8.17(p.234.20; M.11.1544A); Cyr.H.*catech.*22.9; σ. ἀγαθὴ διὰ προσευχῆς εὑρίσκεται, καὶ προσευχὴ καθαρὰ διὰ σ.· θάτερον γὰρ θατέρου κατὰ φύσιν προσδέεται Marc.Er.*opusc.*1.199(M.65.929B); ὅταν γὰρ ἡ σ. ἡμῶν ἑαυτὴν τοῖς ἐλέγχοις ταράττοι, οὐκέτι τῆς ὁσμῆς ὁ νοῦς τῶν ὑπερκοσμίων ἀγαθῶν παραχωρεῖται αἰσθάνεσθαι, ἀλλ' εὐθὺς εἰς ἀμφιβολίας μερίζεται, θερμῇ μὲν κινήσει διὰ τὴν προλαβοῦσαν πεῖραν τῆς πίστεως ὀρεγόμενος, μηκέτι δὲ αὐτῆς ἐπιλαβέσθαι ἐν αἰσθήσει τῆς καρδίας διὰ τῆς ἀγάπης δυνάμενος διὰ τοὺς νυγμούς...τῆς ἐλεγχούσης σ. Diad.*perf.*23(p.24.20,27); ἡ μεσότης τῆς ἐνεργείας τῆς ἁγίας γνώσεως οὐ μικρῶς ἡμᾶς λυπεῖσθαι παρασκευάζει, ὅταν ἐκ παροξυσμοῦ τινος ὑβρίσαντές τινα ἐχθρὸν αὐτὸν ἑαυτῶν κατασκευάσωμεν. διόπερ οὐδέποτε ἐνδίδωσι νύττουσα τὴν σ. ἡμῶν, ἕως ὅτε...εἰς τὴν πάλαι ἐπαναγάγωμεν τὸν ὑβρισθέντα διάθεσιν *ib.*92(p.132.10).

I. ref. eternal punishment, exeg. Is.66:24 τὸ κριτήριον τῆς οἰκείας αὐτῶν σ., ὃ δίκην σκώληκος ἀτελευτήτου ἐν αὐτοῖς ἐνειλεῖται Thdr.Heracl.*Is.*66:24(M.18.1377D); σκώληξ ἐκεῖθεν ἐσθίων ἀδίως· μέσον συνειδός, ἄγραφος κατήγορος Gr.Naz.*carm.*1.2.8.196(M.37.663A); ὅτε ἡ σ. ἐπιστρέφειν εἰωθυῖα πρὸς πεπλημμεληκότα τρέμει τὴν ...κόλασιν ‡Nil.*perist.*7.1(M.79.860B); Dor.*doct.*12.3(M.88.1753A); σκώληκα δέ φησιν ἀτελεύτητον τὴν ἐν τῷ μετανοεῖν τῶν ἰδίων ἁμαρτημάτων σ. Proc.G.*Is.*66:24(M.87.2716D); διὰ τὴν τῶν ἔργων ἀτοπίαν τὸ σκότος ὑποδέξεται...καὶ ὁ ἀκοίμητος σκώληξ...καὶ τὸ πάντων βαρύτατον, ἡ ἐν τῷ σ. αἰσχύνη πέρας οὐκ ἔχουσα Max.*ep.*4(M.91.641B).

J. divinized in Stoicism θεὸν εἶναι μόνον φασὶ τὴν ἑκάστου σ. Thphl.Ant.*Autol.*2.4(M.6.1052A).

συνειλ-έω, *crowd together*; *bind together*; pass., met., *be bound up with* τὴν οἰκείαν ἐν τῇ τοῦ ἀγαθοῦ θεοῦ μονῇ ταυτότητα ~ουμένην διὰ παντός Max.*schol.c.h.*15.4(M.4.109D).

***συνειλημμένως,** *in combination* ἐν αὐτῇ [sc. τῇ αὐτοϋπεραγαθότητι] ...τὰ ὄντα πάντα...καὶ τοῦτο ἀσχέτως, καὶ σ., καὶ ἑνιαίως Dion.Ar.*d.n.*5.6(M.3.820D).

***συνειλοχώς,** v. συλλαγχάνω.

σύνειμι, (*sum*), **1.** *exist with* or *alongside, coexist*; **a.** in gen. συνυπάρχον ὡς χρόα σώματι οὗ ἄνευ οὐκ ἔστιν (οὐχ ὡς μέρους ὄντος, ἀλλ' ὡς κατ' ἀνάγκην συνόντος παρακολουθήματος) Athenag.*leg.*24.2(M.6.945B); τὸ δὲ ὑλικόν, μέχρι σύνεστι τῷ κρείττονι, μένει Clem.*ecl.*25(p.143.32; M.9.709C); of constituent parts of man ἄνθρωπος...οὐ μέρει μέρος, ἀλλὰ ὅλῳ ὅλος σ. id.*exc.Thdot.*51(p.123.18; M.9.684A); of soul and body in man οὐδὲ σ. ἀεὶ τῇ ψυχῇ τὸ σῶμα Just.*dial.*6.2(M.6.489B); συνῆν...ἐξ ἀρχῆς αὐταῖς καὶ τὸ σῶμα Meth.*res.*1.54(p.311.5; M.41.1145B); in the life to come τὸ σῶμα ἐν τῇ κατὰ τοὺς αἰῶνας διαγωγῇ...συνέσεσθαι τῇ ψυχῇ *ib.*1.32(p.269.12; M.18.268B); **b.** in eternity with God; **i.** ref. Creation πότερον ἔκ τινος συνόντος ἀεὶ τῷ θεῷ, ἢ ἐξ αὐτοῦ καὶ μόνου id.*arbitr.*2(p.149.24; M.18.244D); τὰ πάντα ...κεκτίσθαι...οὔτε σ. τῷ θεῷ, οὔτε προϋπάρξαντα Epiph.*exp.fid.*14(p.514.23; M.42.809A); **ii.** Trin., ref. Gen.3:12 ἀριθμὸν τῶν ἀλλήλοις συνόντων, καὶ τὸ ἐλάχιστον δύο, μεμήνυκεν Just.*dial.*62.3(M.6.617B); of Son's pre-existence with Father, *ib.*62.4(617C); ὁ...υἱὸς...καὶ σ. καὶ γεννώμενος id.*2apol.*6.3(M.6.453A); acc. Marcellus μόνον εἶναι λόγον φάσκων...τῷ θεῷ...σ. καὶ ἡνωμένον, οἷος ἂν εἴη καὶ ὁ ἐν ἀνθρώπῳ λόγος Eus.*Marcell.*2.1(p.31.31; M.24.777A); acc. Eus. οὐ πὸν αὐτὸν ὄντα τῷ πατρί, καθ' ἑαυτὸν δὲ ὄντα...καὶ ἀληθῶς υἱὸν σ. id.*e.th.*1.8(p.66.20; M.24.837B); ὁ...υἱὸς ἦν πρὸς...τὸν θεὸν σ. καὶ συμπαρὼν αὐτῷ ἀεὶ καὶ πάντοτε *ib.*2.14(p.116.35; 932A); σ. ... καὶ παρὴν ⟨αὖ⟩τῷ πρὶν καὶ γενέσθαι τὸν οὐρανὸν *ib.*3.3(p.154.23; 997B); and Ath. εἰ...οὐκ ἀιδίως σ. ὁ λόγος τῷ πατρί, οὐκ ἔστιν ἡ τριὰς ἀίδιος Ath.*Ar.*1.17(M.26.48A); in creeds πιστεύειν...εἰς ἕνα υἱὸν...συνόντα τῷ γεγεννηκότι αὐτὸν πατρί *Symb.Ant.*(341)1 ap.Ath.*syn.*22(p.249.2; M.26.721A); in later writings ὁ θεὸς λόγος...υἱὸς καὶ θεὸς καὶ συνὼν τῷ πατρί Nest.*fr.*C10(p.275.2)ap.Cyr.*Nest.*2.8(p.44.8; συναινῶν 6^1.47E); ἐκ τῆς ἡμετέρας οὐσίας σε ἐξεγέννησα, συνόντα καὶ συνυπάρχοντα Cosm.Ind.*top.*5(M.88.256B); **iii.** Christol. ἡ σοφία...ἀπαθὴς...κἂν τεμνομένῳ συνῆν...σώματι Meth.*Porph.*2(p.506.4; M.18.404B); ὁ...τὸ πάθος ὑπομείνας...ἐν τῇ σαρκὶ...συνούσης αὐτῷ τῆς θεότητος Epiph.*exp.fid.*17(p.517.19; M.42.813C); of the divinity with the glorified body τῆς θεότητος συνούσης τῷ...σώματι *ib.*(p.518.13, v.l. σύνηνωμένης 816B); denied by Marcellus πῶς ἔτι τὴν τοῦ δούλου μορφὴν...σ. τῷ λόγῳ δυνατὸν γένοιτ' ἄν; Marcell.*fr.*104 ap.Eus.*Marcell.*2.4(p.54.26; M.24.816C); or explained away ἆρα μὴ ὢν [sc. ὁ λόγος] ἐν τῷ θεῷ, ὅτε τῇ σαρκὶ συνῆν;... δραστικῇ γὰρ ἐνεργείᾳ μόνῃ φησὶ τῇ σαρκὶ σ. Eus.*Marcell.*2.4(p.57.7, 14; 820C,821A); Christol., usage condemned εἴ τις...τὸν θεὸν λόγον σ. τῷ Χριστῷ λέγει γενομένῳ ἐκ γυναικὸς...ἀ. ἔ. Justn.*conf.anath.*3(p.90.25; M.86.1015A) = CCP(553)*anath.*3(p.168); **2.** *be with*; *be joined with*; ref. Christian unity τοῖς λειπομένοις πᾶσιν ἐπικουροῦμεν καὶ σ. ἀλλήλοις ἀεί Just.*1apol.*67.1(M.6.429B); ref. union with God πολλοὺς...καταγηράσκοντας ἀγάμους ἐλπίδι τοῦ μᾶλλον συνέσεσθαι τῷ θεῷ Athenag.*leg.*33.1(M.6.965A); ὁ γνωστικὸς...δι' εὐχῆς σ. σπεύδων τῷ θεῷ Clem.*str.*7.7(p.30.30; M.9.456C); ἵν' ᾖ σ. [sc. the angels] αὐτῷ καὶ ἀπολαύσωσι μακαριότητος, ἢ...κρίνωνται Meth.*res.*1.37(p.278.15; M.41.1104B); μαθὼν καὶ σ. ... καὶ ἔπεσθαι θεῷ Gr.Thaum.*pan.Or.*15(p.34.11; M.10.1093D); of God with man ἐν πᾶσι μένειν καὶ ἑκάστῳ σ. Gr.Nyss.*or.catech.*34(p.127.8; M.45.85B); of baptismal grace, *ib.*(p.129.4; 85D); **3.** *be* or *become acquainted with* things τῶν νῦν ἀκουόντων...καὶ τοὺς ὕστερόν ποτε συνεσομένους τῷ λόγῳ Bas.*Eun.*1.3(1.211B; M.29.508B); *experience, find* εἰς ἀρρενωπότερον ἀνακτήσομαι, καὶ τοῦ λοιποῦ...ἀκλινεστέρῳ [sc. μοι] συνέσεσθε Synes.*ep.*56(M.66.1381D); **4.** *live with* or *together* οἱ δὲ ἐν...ἀθανασίᾳ σ. Just.*dial.*45.4(M.6.573A); Eus.*Marcell.*2.1(p.33.24; M.24.780C); of a man with his wife, Synes.*ep.*105(M.66.1485A); **5.** ref. states, *be in, live in* συνέσο γλυκείαις ἐλπίσιν *ib.*31(1360A).

συνείρω, 1. *combine* τά τε ὄντα τά τε μὴ ὄντα ἑαυτῷ σ. [sc. Marcellus] Eus.*Marcell.*1.4(p.27.33; M.24.769A); Christol., of union of natures μεσιτεύει...καταλλάττων ἡμᾶς τῷ θεῷ...καὶ σ. ὥσπερ εἰς ἕνωσιν τὰ...διενηνεγμένα Cyr.*synous.*5(p.483.5); **2.** ? for συναίρω *cast up* or *keep* accounts τὸν τελώνην...τῶν ἐκ τῆς πλεονεξίας χρημάτων τοὺς λόγους σ. Vict.*Mc.*2:14(p.288.11).

συνεισάγ-ω, *bring in together*; **1.** *introduce at the same time* or *together*, e.g. into a discourse συνεισήγετο...τὸ περὶ πνεύματος...ὅτι ἐστὶν ἐν τῇ αὐτῇ θεότητι †Apoll.*ep.Bas.*2(M.32.1108A); λανθανόντως ἑαυτὸν σ. Chrys.*hom.24.1 in Mt.*(7.299D); id.*hom.5.2 in Rom.*(9.463B); οὐσίας...οὐδὲ ὀνόματι μνήμη τοῖς ἄλλοις λόγοις συνεισήγετο Philost.*h.e.*4.8(M.65.521B); πῶς...~ετε πρώτῳ καὶ μόνῳ...θεῷ καὶ πατρὶ τὸν υἱόν; Cyr.*thes.*27(5^1.247B); **2.** *include*; hence *imply, involve at the same time* or *together* with τὴν ἐπέκεινα...ζωήν, ἥτις ἑαυτῇ σ. τὴν ἀνάστασιν Athenag.*res.*16(p.68.17; M.6.1008A); ἡ τοῦ ἑτέρου γνῶσις...σ. τὸ ἕτερον Gr.Naz.*or.*30.15(p.132.9; M.36.124B); τῆς...τῶν φύσεων δυάδος οὔσης νοερᾶς ἐξ ἀνάγκης καὶ θελημάτων αὐτῇ συνεισαχθήσεται δυάς Polem.*fr.*(Lietzmann p.276.17); ‡Ath.*dial.Trin.*2.22(M.28.1192A); of correlative terms συνεισάγεσθαι...ἀλλήλοις τὰ τοιαῦτα πέφυκε Max.*ep.*12(M.91.473A); ref. father and son as correlative terms, Bas.*Eun.*1.5(1.215A; M.29.517A); σ. [sc. πατήρ] τὸν υἱόν, οὐκ ἀλλοτριώσει, κατὰ...τὴν τῶν κλήσεων τούτων δύναμιν Gr.Naz.*or.*29.16(p.98.12; M.36.96A); ἡ τοῦ υἱοῦ προσηγορία σ. ... τὴν τοῦ πατρὸς ὕπαρξιν Cyr.*thes.*12(5^1.112A); **3.** *contribute* ἐὰν μὴ ἡμεῖς εἰς τὸ ἀγαθόν τι σ. Or.*princ.*3.1.24(p.243.12; M.11.301B); μηδὲν διὰ δωρεᾶς ...τούτοις [sc. non-Catholics] σ. (tr. Lat. *conferant*) *Cod.Afr.*22; **4.** *bring* or *display* a quality τῶν προσιόντων...σ. τὴν πρόνοιαν Philost.*h.e.*9.4(M.65.569B); cf. συνεισακτέον; **5.** *bring in, introduce as spiritual companion* of the opposite sex (v. s. συνείσακτος) ὅσοι ὑπὸ τοῦ ~ειν ἑαυτοῖς γυναῖκας ἐξέπεσον, οἱ δ' ὑπωπτεύθησαν Malch.*ep.*ap.Eus.*h.e.*7.30.13(M.20.716A); μηδὲ ~άγῃς ἀρσένα κηδεμόνα Gr.Naz.*carm.*2.2(epigr.)18.2(M.38.92A).

***συνεισαγωγικός,** *each involving the other, correlative,* Max.*ep.*12(M.91.472D).

***συνεισακτέον,** *one must bring* or *display*, e.g. a quality πολλὴν προσοχὴν σ. τῷ εὐλαβῶς ἐντυγχάνοντι...ταῖς θείαις βίβλοις Or.*princ.*4.3.5(p.331.15; M.11.385B).

συνείσακτος, *brought in, introduced together*; applied to a virgin companion of a celibate man or conversely; freq. as subst., of a man ἄρσενα πάντ' ἀλέεινε, σ. δὲ μάλιστα Gr.Naz.*carm.*1.2.2.96(M.37.586A) = *ib.*2.2(epigr.)14.1(M.38.88A); of women σ. καὶ ἀγαπητὰς ἐπικαλουμένας Epiph.*haer.*78.11(p.461.31; M.42.716A); τοὺς ἔχοντας παρθένους σ. Chrys.*subintr.*tit.(1.228A); **1.** def., cf. σ. δέ φησι, τὰς ἑλομένας συνοικεῖν ἱερεῦσιν ἀζύγοις, τὰς πρὸς τὰς ἀναγκαίας χρείας αὐτοῖς διακονουμένας Matthaeus Monachus *schol.*CNic.(325)*can.*3(M.119.1296C); εἰπόν τινες ἐπείσακτον ἢ σ. εἶναι τὴν ἀντὶ νομίμου γυναικὸς

συναχθεῖσαν, καὶ συνοικοῦσάν τινι πορνικῶς· ἄλλοι δὲ εἶπον εἶναι πᾶσαν γυναῖκα συνοικοῦσάν τινι ἀλλοτρίαν πάντως, κἂν ἀνύποπτός ἐστι Thdr.Bals.*schol.*CNic.(325)*can.*3(M.137.232B); **2.** earliest use of term appears to be at Antioch ref. Paul. Sam. *τὰς...σ. αὐτοῦ γυναῖκας, ὡς Ἀντιοχεῖς ὀνομάζουσιν, καὶ τῶν περὶ αὐτὸν πρεσβυτέρων καὶ διακόνων, οἷς καὶ τοῦτο καὶ τὰ ἄλλα ἁμαρτήματα ἀνίατα ὄντα συγκρύπτει* Malch.*ep.*ap.Eus.*h.e.*7.30.12(M.20.713C); **3.** subject of legislation *μήτε ἐπισκόπῳ...μήτε ὅλως τινὶ τῶν ἐν τῷ κλήρῳ ἐξεῖναι σ. ἔχειν, πλὴν εἰ μὴ ἄρα μητέρα ἢ ἀδελφὴν ἢ θείαν, ἢ ἃ μόνα πρόσωπα πᾶσαν ὑποψίαν διαπέφευγε* CNic.(325)*can.*3; *περὶ τοῦ μὴ ἔχειν σ. κληρικὸν οἱονδήποτε* Jo.Scholast.*coll.cap.*71; *περὶ ἐπισκόπων καὶ κληρικῶν συνόντων γυναιξὶ σ.* Phot.*nomoc.*8.14(p.529; M.104.1092C); cf. *episcopus vel quilibet alius clericus aut sororem aut filiam virginem dicatam Deo tantum secum habeat; extraneam nequaquam habere placuit,* CEliberitanum(306)*can.*27; *τὰς...συνερχομένας παρθένους τισὶν ὡς ἀδελφὰς ἐκωλύσαμεν* CAnc.(314)*can.*19; **4.** in the following sections the word *συνείσακτος*, where not found in the immediate context, may be understood as subject of author's remarks, e.g. †Bas.*contub.*tit.(M.30.812B); perh. the term to which such opprobrium was attached that Chrys. was unwilling to employ it, Chrys.*fem.reg.*3(1.254C); **a.** opp. both married and truly celibate *τοὺς...σ. ... οὐκ οἶδ' εἴτε γάμῳ δώσομεν, εἴτ' ἀγάμους θήσομεν* Gr.Naz.*carm.*2.2(epigr.)15.3(M.38.89A); *ὁ μὲν γάμος οὐδὲν ὄνειδος τῶν δὲ σ. φείδεται οὐδὲ λίθος ib.*14.6(89A); Chrys.*subintr.*1(1.228B); *ib.*6(236D,E); cf.id.*fem.reg.*1(1.248E,249A); *πολλῷ...βέλτιον γαμεῖν ἐκείνως, ἢ παρθενεύειν οὕτως ib.*3(254A); **b.** status of *σ.* defended on ground that it provided protection for weaker sex *ἐρεῖς, ὅτι διὰ Χριστὸν αὐτὸ πράττεις προνοούμενος τοῦ ἀσθενοῦς σκεύους* †Bas.*contub.*9(M.30.824B); *παρθένε...μηδὲ συνεισαγάγῃς ἀρσένα κηδεμόνα* Gr.Naz.*carm.*2.2(epigr.)18.2(M.38.92A); cf. *παρθένε, μὴ συνοίκει προστάτῃ ib.*1.2.3.67(M.37.638A); Chrys.*subintr.*6(1.235E); cf.id.*fem.reg.*4(1.255A); and supplied men's practical needs, †Bas.*contub.*9(824B); *ἐπισκόπου...ἐσχηκότος...τοιαύτας γυναῖκας ἐξυπηρετουμένας αὐτῷ, φημὶ δὲ σ.* Epiph.*haer.*63.2(p.400.10; M.41.1065A); *σ. γυναῖκας, [δι'] ἃς εἴωθαν* [sc. Hieracites] *φιλοτιμεῖσθαι ἔχειν εἰς ὑπηρεσίαν ib.*67.8(p.140.10; M.42.184A); cf. *διὰ τὴν αὐτῶν διακονίαν ὑμᾶς κατέχουσι* Chrys.*fem.reg.*4(255A); **c.** motives: basic motive alleged to be voluptuous pleasure, conscious or unconscious, on part of man, Chrys.*subintr.*1(1.228C–229B); and vainglory on part of woman, cf.id.*fem.reg.*6(1.259A); *οὐδὲ γὰρ ἡ δουλουμένη τοὺς ἄνδρας γυνή, ἀλλ' ἡ αἰδουμένη, αὕτη...ἐστιν αἰδέσιμός τε καὶ ἐπίδοξος ib.*(259D); regarded by some writers as no more than a cloak for immorality, †Bas.*contub.*9(M.30.824C); *ib.*10(824D); *τῆς ἐπιπλάστου ἀδελφοζωΐας, τὸ δ' ἀληθές,...τῆς ἀσχήμου κακοζωΐας περὶ τῶν καλουμένων σ.* Pall.*v.Chrys.*5(p.31.19; M.47.20); but gross sin not usu. alleged *οὔτε...τὸν ἑβδομηκονταετῆ γεγονότα πείθομαι ἐμπαθῶς συνοικεῖν γυναικί* Bas.*ep.*55(3.149D; M.32.404A); *ἐγὼ δὲ τοῦτο μὲν οὐκ ἂν εἴποιμι, ὅτι τὰς συνοικούσας φιλοῦσιν ἢ ἐπαφῶνται* Chrys.*subintr.*2(230B); cf.id.*fem.reg.*3(253C); *ib.*5(258D); **d.** relationship of *σ.* condemned as cause of offence *τὸ παρά τινων ὑγιῶς γινόμενον ἄλλοις ἀφορμὴ πρὸς ἁμαρτίαν ὑπάρχει* Bas.*ep.*55(3.149D; M.32.404A); Chrys.*subintr.*3(1.231D); cf.id.*fem.reg.*5(1.257Af.); and occasion of impurity in thought if not in act *ἂν πάλιν γυνὴ τῶν ἰδίων ἀποστᾶσα συγγενῶν ξένῳ ἀνδρὶ συνοικεῖν ἐπιχειρῇ τῆς ἐπιπλάστου ἀγάπης ἕνεκεν, τοῦτο μῖξις λοιπὸν συζυγίας ἀθεμίτου πυρκαϊὰν ἐργαζομένης* †Bas.*contub.*5(M.30.820D) et passim; Chrys.*subintr.*5(235Af.); cf.id.*fem.reg.*1,3(249D,253B); *κάκιστον μοναχὸς σ., ὡς πῦρ εἰς καλάμην* Hyper.*mon.*55(M.79.1480A) ∞ Ephr.2.359A; as a grave distraction in itself, †Bas.*contub.*11(M.30.825f.); and in virtue of business responsibilities undertaken on behalf of the virgins, Chrys.*subintr.*6(1.236A); those in such relationship would live to regret it, †Bas.*contub.*9(824B); *μὴ ἔχειν γυναῖκα σ., καθάπερ τινὲς ἀγαπητὰς ἐπέθεντο αὐταῖς ὀνόματα· τάχα δὲ ἐναντίως μισηταὶ αὐτοῖς εὑρεθήσονται* ‡Ath.*syntag.*2.7(p.123; M.28.837C); and faced a terrible judgement, †Bas.*contub.*11(828A); *ib.*8(824A); but condemnation chiefly on grounds of scandal, Bas. *ep.*55(3.149D,150A; M.32.404A,B); *μὴ σκανδαλίζετε τὸν κόσμον, οἱ τὰς σ. ἔχοντες, μὴ γὰρ γῆμαί σε ἡ γραφὴ οὐκ ἐπέτρεψε;* †Bas.*contub.*4(M.30.820B); *μηδὲ συνεισάκτῳ σὸν βίον ἐξυβρίσῃς* Gr.Naz.*carm.*2.2(epigr.)17.4(M.38.91A); *τὴν τοῦ θεοῦ δόξαν ὑβριζομένην...διὰ τὴν ἡδονὴν ταύτην* Chrys.*subintr.*1(1.228D); *ib.*8(240C,D); cf.id.*fem.reg.*3(1.253B,E); *ἡ...παρθενία αὕτη ἡ μετὰ ἀνδρῶν πορνείας χαλεπώτερον παρὰ πᾶσι διαβέβληται ib.*(254A).

***συνεισάλλομαι,** *rush in also,* Synes.*ep.*35(M.66.1361C); Cyr.*Ps.* 40:11(M.69.997C).

συνεισβαίν-ω, 1. *go in together, enter with* *μέχριπερ ἂν...τρανῶς ἐποπτεύσῃ Χριστῷ συνεισβᾶσα* [sc. the Church] Meth.*symp.*8.11(p.94. 11; M.18.156A); **2.** *be included,* of Persons in Trin. *ἅμα τε θεὸς νοεῖται ὁ πατήρ, καὶ συνεισβέβηκεν εὐθὺς ἡ ὕπαρξις τοῦ δι' ὃν ἐστι πατήρ, καὶ...τὸ...ἅγιον πνεῦμα* Cyr.*Abac.*35(3.549E); *πατρὸς μὲν .. νοουμένου τε καὶ ὄντος...τοῦ πατρός, υἱοῦ δὲ...νοουμένου τοῦ υἱοῦ, ~οντος...τοῦ ἁγίου πνεύματος* id.*Jo.*1.5(4.46D).

συνεισβάλλω, *interject* *ἐπίτριπτον λόγον σ.* Thdr.Stud.*epp.*2.162 (M.99.1512B).

***συνεισδέχομαι, 1.** *receive* one *together with* another, *take in at the same time,* ref. image and likeness of God *συνεισδεξόμεθα τῷ υἱῷ τὸν πατέρα* Cyr.*dial.Trin.*3(5¹.491C); **2.** *admit, allow* *τὰ...καθ' ὑπόστασιν...ἑνούμενα, οὔτε τροπὴν σ., οὔτε γνωρίζει διαίρεσιν* Sophr.H. *ep.syn.*(M.87.3164B).

συνεισδύομαι, *enter together,* Cyr.*ador.*3(1.99C).

συνεισέρχομαι, *enter along with,* of persons *τοῦ χρόνου τύπος ἂν εἴη Μωϋσῆς...ὡς μὴ σ. ἐκείνοις σωματικῶς εἰς τὴν κατάπαυσιν* Max. *ambig.*(M.91.1164B); *αὐτῷ...ὥσπερ εἰς νυμφῶνα, τὴν ἀνάπαυσιν τῶν καινῶν αἰώνων...συνεισελεύσεσθαι* Meth.*symp.*7.3(p.74.7; M.18.128D); Andr.Caes.*Apoc.*57(M.106.397D); Gnost. *τὸ σπέρμα σ. αὐτῷ εἰς τὸ πλήρωμα διὰ τῆς θύρας* Clem.*exc.Thdot.*26(p.115.20; M.9.672C); *ib.* 35(p.118.16; 676D); *ib.*86(p.133.9; 697B); myst., ref. indwelling of Trin. *σ. τὸ πνεῦμα* Ath.*ep.Serap.*1.31(M.26.601B); of soul into divine mysteries *τῷ Μωϋσῇ σ. εἰς τὸν γνόφον τῆς...θεωρίας* Gr.Nyss.*hex.*5 (M.44.65C); of things *εἰ ἔν τι...ἀπὸ τῆς κτίσεως προσαφθείη, πᾶσα ἡ κτίσις συνεισελεύσεται εἰς τὴν τοῦ πατρὸς καὶ υἱοῦ συναρίθμησιν* Bas. *hom.*24.5(2.194B; M.31.612A); of conceptions *τῇ τοῦ πατρὸς ἐννοίᾳ ἡ υἱοῦ σ.* id.*Eun.*2.12(1.247B; M.29.593C); *τῇ...τῆς θεότητος ἐννοίᾳ πάντα τὰ τοιαῦτα νοήματα σ.* Gr.Nyss.*Maced.*6(M.45.1309A).

συνεισηγέομαι, *bring in, introduce together* or *at the same time,* perf. in pass. sense *αὕτη* [sc. *ἡ παράκλησις*]*...παρ' αὐτῶν...συνεισήγητο* Chrys.*hom.*3.1 *in 2Cor.*(10.442A, v.l. *συνεισήγετο* Gaume).

***συνεισθέ-ω,** *run into;* **1.** *enter with* *οἱ τῷ Νῶε σ. εἰς τὴν κιβωτόν* Cyr.*glaph.Gen.*2(1.38A); **2.** *accompany, be associated* with *μετάπεμπτον...Μωσέα, ~οντος Ἀαρών* id.*ador.*1(1.44D); met., of things *γινώσκομεν...δι' αὐτοῦ* [sc. *τοῦ υἱοῦ*] *τε καὶ σὺν αὐτῷ τὸν πατέρα, ~οντος...τῇ τοιᾷδε γνώσει καὶ τοῦ ἐλεεῖσθαι ib.*11(405D); *τῆς ἀγαθουργίας οἱ τρόποι τῇ τῆς φαυλότητος ἀνατροπῇ ~οντες* id.*Mich.*20(3. 409C); of the H. Ghost in Trin. *συνθεολογουμένου τε καὶ ~οντος* id. *hom.pasch.*15.3(5².204D).

***συνεισκομίζω, 1.** *carry* or *take in along with;* into the ark, Cyr. *glaph.Gen.*2(1.38A); **2.** *introduce also* or *at the same point* in a discussion, *include* *τῇ τοῦ μυστηρίου παραδόσει καὶ ὁ περὶ τῆς ἀναστάσεως τῶν νεκρῶν συνεισκεκόμισται λόγος* Cyr.*Is.*3.1(2.354B); id.*Juln.*9 (6².291C); Max.*ambig.*(M.91.1072D).

***συνεισκομιστέον,** *one must include,* Cyr.*ador.*2(1.80B).

συνεισκρίνω, *include, imply,* Thdr.Stud.*epp.*2.204(M.99.1621B); *ib.*2.212(1640C); pass. *σ. ... ἐπ' ἀμφοῖν ἡ ἑκατέρου γνῶσις* Cyr.*ador.*7 (1.235B); Thdr.Stud.*epp.*2.212 loc. cit.

***συνείσοδος, ἡ,** *entry together;* of Law with Israel into Promised Land, Max.*ambig.*(M.91.1164B).

συνεισπέμπω, *send in along with;* met., *introduce, instil together* thoughts, Isid.Pel.*epp.*3.91(M.78.796C).

συνειστρέχ-ω, 1. *run in together with* *~οντας τῷ κηρύγματι τοὺς ἀγῶνας* Cyr.*hom.pasch.*9.1(5².107B); **2.** *go with, be associated with* *εἰσφέρεται...δι' ἀμφοῖν ἡ θατέρου περίνοια, καὶ σ. ... ὀνομασθέντι τῷ πατρὶ καὶ ἡ τοῦ γεννήματος μνήμη* id.*Jo.*5.2(4.495D); *συνεπινοουμένου καὶ σ. ib.*1.2(19A); **3.** in time, *coincide* *Χριστὸς Ἰησοῦς ὠνόμασται... τῆς...κλήσεως ὁ καιρὸς ~ουσαν ἔχει τὴν γέννησιν* id.*Nest.*1.7(p.28.10; 6¹.24A).

B. of resurrection body; **1.** identical with earthly τὰ νεκρούμενα καὶ εἰς γῆν βαλλόμενα πάλιν ἀπολήψεσθαι ἑαυτῶν σ. προσδοκῶμεν Just.*1apol.*18.6(M.6.356B); τῶν μὲν ἀνισταμένων σ. ἐκ τῶν οἰκείων μερῶν πάλιν συνισταμένων Athenag.*res.*7(p.55.14; M.6.985C); ὡς ἑκάστῳ σ. ἡ ἰδία ψυχὴ ἀποδοθήσεται Iren.*fr.*12(M.7.1236A); ἅπερ ποτὲ ἐχαρακτηρίζετο ἐν τῇ σαρκί, τοῦτο χαρακτηρισθήσεται ἐν τῷ πνευματικῷ σ. Or.*sel.in Ps.*1:5(M.12.1096B); cf. κἂν ῥευστὴ ἦν ἡ φύσις τοῦ σ., τῷ τὸ εἶδος τὸ χαρακτηρίζον τὸ σῶμα ταυτὸν εἶναι *ib.*(1093B); οἱ αἱρετικοὶ...λέγουσιν ὅτι ἕτερον σ. πίπτει καὶ ἕτερον σῶμα ἀνίσταται Chrys.*hom.41.2 in 1Cor.*(10.387E); ποῖον δὲ τὸ σ. τῆς ταπεινώσεως ἡμῶν; τουτὶ τὸ ἐκ γῆς...ἔσται δὲ ὁ μετασχηματισμὸς οὐκ εἰς ἑτέραν τινὰ φύσιν ἀποκομίζων ἡμᾶς, ἐσόμεθα γὰρ ὅπερ ἐσμέν, τουτέστιν ἄνθρωποι, πλὴν ἀμείνους ἀσυγκρίτως· ἄφθαρτοι γὰρ καὶ ἀνώλεθροι, καὶ πρός γε τούτῳ δεδοξασμένοι Cyr.*1Cor.*15:51(p.316.29; M.74.913A); Thdt.*eran.*2(4.121); **2.** but changed to become incorruptible τὸ γὰρ σ. τοῦτο ἐγείρεται, οὐ τοιοῦτον μένον ἀσθενές, ἀλλ' αὐτὸ τοῦτο ἐγείρεται· ἐνδυσάμενον δὲ τὴν ἀφθαρσίαν μεταποιεῖται, ὥσπερ σίδηρος πυρὶ προσομιλήσας γίνεται πῦρ...ἐγείρεται μὲν οὖν τοῦτο τὸ σ., ἀλλ' οὐ μένει τοιοῦτον, ἀλλὰ μένει αἰώνιον, οὐκέτι τροφῶν τοιούτων χρείαν ἔχει πρὸς ζωήν, οὐδὲ κλιμάκων πρὸς ἀνάβασιν· γίνεται γὰρ πνευματικόν, θαυμάσιόν τι, καὶ οἷον εἰπεῖν κατ' ἀξίαν οὐκ ἔχομεν Cyr.H.*catech.*18.18; ἐγειρόμεθα τοίνυν αἰώνια μὲν πάντες ἔχοντες τὰ σ., οὐ πάντες δὲ ὅμοια. ἀλλ' εἰ μέν τίς ἐστι δίκαιος, λαμβάνει σ. ἐπουράνιον, ἵνα δύνηται μετὰ ἀγγέλων ἀναστρέφειν ἐπαξίως. εἰ δέ τις ἁμαρτωλός ἐστι, λαμβάνει σ. αἰώνιον, ὑπομονητικὸν τιμωρίας ἁμαρτιῶν ...οὐδὲν γὰρ χωρὶς σ. ἡμῖν πέπρακται *ib.*18.19; cf.*ib.*4.31; ὅμοια τῇ τῶν φωστήρων καὶ ἀστέρων δόξῃ οὐ πάντων τῶν ἀνισταμένων τὰ σ., ἀλλ' ἢ μόνον τῶν εὖ βεβιωκότων καὶ σωφρονησάντων· κἂν γὰρ τὰ τῶν φαύλων σ. ἄφθαρτα ἐγείρονται, ἀλλ' οὖν στεροῦνται τῆς τῶν ἐπουρανίων δόξης Didym.*1Cor.*15:41(p.9.27f.); Chrys.*res.mort.*6(2.431D); οὐ τὴν σάρκα ἀποθέσθαι βουλόμεθα, φησίν, ἀλλὰ τὴν φθοράν, οὐ τὸ σ. ἀλλὰ τὸν θάνατον *ib.*(432B); τὰ σ. τῶν ἁμαρτωλῶν ἄφθαρτα ἀνίστανται καὶ ἀθάνατα· ἀλλ' ἡ τιμὴ αὕτη ἐφόδιον αὐτοῖς κολάσεως γίνεται καὶ τιμωρίας· ἄφθαρτα γὰρ ἀνίσταται, ἵνα διαπαντὸς καίηται. ἐπειδὴ γὰρ τὸ πῦρ ἄσβεστόν ἐστι ἐκεῖνο, τοιούτων αὐτῷ δεῖ καὶ σ. μηδέποτε δαπανωμένων *ib.*8(435A); ἐκείνῳ, τῷ καθημένῳ ἐν δεξιᾷ τοῦ πατρός, σύμμορφον τοῦτο τὸ σ. γίνεται id.*hom.13.2 in Phil.*(11.300B); cf.id.*delic.*6(3.343D,E); αὐτὸ...τὸ σ. τὸ φθειρόμενον καὶ διαλυόμενον, αὐτὸ ἀναστήσεται ἄφθαρτον Jo.D.*f.o.*4.27(M.94.1220A); ref. view ascribed to Or. οὐχὶ ἐναλλαγὴ τοῦ ὃ. εἰς σφαιροειδὲς σ., καθώς τισι πλανηθεῖσιν ἔδοξεν Andr.Caes.*therap.fr.*2(p.166.10f.); **3.** meaning of σ. πνευματικόν (cf. ἀερώδης): ἀναγκαῖον χρῆσθαι σ. πνευματικοῖς, οὐχὶ τοῦ εἴδους τοῦ προτέρου ἀφανιζομένου, κἂν ἐπὶ τὸ ἐνδοξότερον γένηται αὐτοῦ ἡ τροπή Or.*sel.in Ps.*1:5(M.12.1093D); ὅτι δὲ ἔστι σ. ψυχικὸν καὶ ἔστι σ. πνευματικόν, οὐκ ἄλλο σῶμα πνευματικὸν καὶ ἄλλο ψυχικόν, ἀλλ' αὐτὸ ψυχικὸν αὐτὸ πνευματικόν Epiph.*haer.*64.63(p.502.20ff.; M.41.1180B); ἐπειδὴ δὲ ἡ τοῖς πάθεσιν ἐμμένουσα ψυχή, εἰκότως καὶ τὸ τῆς τοιαύτης ψυχῆς σ. ψυχικὸν καλεῖται. ἐὰν δὲ ὑπεραναβῇ τὴν παθητικὴν ἕξιν ἡ ψυχή, γίνεται πνευματική, καὶ λέγεται τὸ σ. τῆς τοιαύτης ψυχῆς τῆς συμπλεκομένης αὐτὸ πνευματικόν Didym.*1Cor.*15:44–46(p.10.21f.); δεδιψήκαμεν γὰρ οὐ τὴν τῶν σ. ἀπόθεσιν, οὔτε μὴν ταύτην εἶναί φαμεν τὴν λύτρωσιν· ἔσεσθαι δὲ προσδοκῶμεν τὸ σ. πνευματικόν, τουτέστιν ἀποβεβληκὸς εἰσάπαν φρόνημα τὸ σαρκικὸν καὶ γεῶδες, καὶ τῆς ἁμαρτίας τὸ κέντρον Cyr.*Rom.*8:23(p.217.26f.; M.74.824B); **4.** called mystical ἀετούς...τοὺς ὑψιπετεῖς καὶ τοῦ μυστικοῦ σ. ἐφιεμένους, ἐν τοῖς...εὐαγγελίοις ὠνόμασε Thdt.*provid.*5(4.550).

C. body of Moses identified with Israel ὅταν γὰρ περὶ τοῦ Μωϋσέως ἀκούσῃς σώματος ἐν τῷ νόμῳ, γραφῇ νόμιζέ σοι χαρακτηρίζεσθαι τὸν ὅλον Ἰσραηλίτην λαόν Chrysipp.*enc.in Mich.*(p.93.9).

D. body of BMV οὐ μὴ ἴδῃ διαφθορὰν τὸ ὅσιον καὶ τίμιόν σου σ. *Dorm.BMV* 10(p.98); ἀμφοτέρων [sc. of Christ and BMV] σ. μὲν ἀφαντάστως ὑποδεξαμένων, διαφθορὰν δὲ μηδαμῶς ἐνεργησάντων Germ.CP *or.*6(M.98.345D); ἔσται τὸ τίμιόν σου σ. μετατιθέμενον ἐν τῷ παραδείσῳ, ἡ δὲ ἁγία σου ψυχὴ ἐν τοῖς οὐρανοῖς *Dorm.BMV* 39 (p.108); μετετέθη τὸ ἄμωμον καὶ τίμιον αὐτῆς σ. ἐν παραδείσῳ *ib.*48 (p.111); τὸ τίμιον σ. ... ἀπέθεντο ἐν μνημείῳ καινῷ...μετὰ δὲ τρίτην ἡμέραν ἀνοίξαντες τὴν σορὸν...ηὕραμεν μόνας τὰς σίνδονας, διότι μετετέθη [γὰρ] ὑπὸ τοῦ ἐξ αὐτῆς σαρκωθέντος Χριστοῦ τοῦ θεοῦ εἰς ἀένναον λῆξιν Jo.Thess.*dorm.BMV* A 14(p.401.28); εὗρον τὸ τάφον κενὸν καὶ οὐκ ἦν ἐν αὐτῷ τὸ σ. τῆς θεομήτορος *ib.*B 38(p.405.9); ὧν [sc. SS. Paul and Peter] ἐκ χειρῶν πάντων ἀποσκοπούντων τὸ ἄχραντον ἀφηρπάγη τῆς παρθένου σ. καὶ ὁ μὲν ἁρπάσας αὐτό, πᾶσιν ἄβλεπτος· θεὸς γὰρ ἦν ἀθεώρητος Germ.CP *or.*8(M.98.369C).

II. of Christ σ. γὰρ πιστεύομεν εἶναι τήν τε ἐκκλησίαν, καὶ τὸν ἅγιον ἄρτον, καὶ τὸ σταυρωθέν...διὰ γὰρ τὸ τοῦ αὐτοῦ πνεύματος μετασχεῖν τούτων ἕκαστον, τοῦ χρίσαντός τε τὸ σταυρωθὲν ἐκεῖνο, καὶ ἁγιάζοντος τοῦτον τὸν ἄρτον, καὶ τὴν ἐκκλησίαν πάλιν διὰ τῆς μεταλήψεως αὐτοῦ πᾶσαν ἁγιοποιοῦντος, σ. Χριστοῦ νοοῦνται πάντα· ὡς Χριστοῦ οὖν, ἓν· εἰ μέντοι ἁπλῶς τάδε ὡς σώματα κρίνομεν, τρία εἰσί, τό τε Χριστοῦ ἰδικόν, καὶ ὁ ἄρτος, καὶ ἡ ἐκκλησία Leont.H.*Nest.*3.12 (M.86.1648Af.).

A. his human body; **1.** ref. various opinions οὐ παύονται ζυγομαχοῦντες περὶ τῆς ἐνανθρωπήσεως τοῦ κυρίου· οἱ μὲν ἀνειληφέναι σ., οἱ δὲ ἀσώματον αὐτοῦ τὴν ἐπιδημίαν γεγενῆσθαι διοριζόμενοι· καὶ οἱ μὲν παθητὸν ἐσχηκέναι τὸ σ., οἱ δὲ φαντασίᾳ τινὶ τὴν διὰ σώματος οἰκονομίαν πληροῦν· καὶ ἄλλοι χοϊκόν, ἄλλοι δὲ ἐπουράνιον σ. Bas.*ep.* 260.8(3.400C,D; M.32.965B); **2.** as real ἀληθινὸν ἦν τὸ σ. ... ἐπειδὴ ταυτὸν ἦν τῷ ἡμετέρῳ Ath.*ep.Epict.*7(p.11.14; M.26.1061B); τὸ...σ. ...κοινὸν ἔχει τοῖς πᾶσι τὴν οὐσίαν (σ. γὰρ ἦν ἀνθρώπινον) id.*inc.*20. 4(M.25.132A); **a.** created εἴ τις λέγει ἄκτιστον τὸ σ. τοῦ Χριστοῦ, καὶ ὁμολογεῖ αὐτὸν τὸν ἄκτιστον τὸν θεὸν λόγον ἐκ τῆς κτιστῆς ἀνθρωπότητος τὴν σάρκωσιν καὶ τὴν ἐνανθρώπησιν ἐπιδειξάμενον, καθὼς γέγραπται, ἀνάθεμα ἔστω Gr.Thaum.*fid.cap.*12(p.147.19; M.10.1128A); τίς γάρ, ἄκτιστον ἀκούων τὸ τοῦ κυρίου σ., ἑαυτὸν δὲ ποιηθέντα καὶ κτισθέντα εἰδώς, οὐκ ἐννοηθήσεται ψευδεῖς μὲν εἶναι τὰς ἁγίας γραφάς, ἑαυτὸν δὲ μὴ ἔχειν πρὸς Χριστὸν κοινωνίαν; ‡Ath.*Apoll.*1.4(M.26. 1100B); Didym.(‡Bas.)*Eun.*5(1.298B; M.29.716B); but Γαϊανῖται, ἤτοι Ἰουλιανισταὶ ἄλλοι, οἵτινες καλοῦνται καὶ Ἀκτιστῆται· λέγουσι γὰρ ὅτι οὐ μόνον ἄφθαρτον ἐξ αὐτῆς τῆς ἑνώσεως, ἀλλὰ καὶ ἄκτιστον γεγονέναι τὸ τοῦ κυρίου σ. Tim.CP *haer.*(M.86.44C); **b.** hungering εἰ μηδὲν εἰλήφει παρὰ τῆς Μαρίας...οὐδ' ἂν εἰς τεσσαράκοντα ἡμέρας...νηστεύσας ἐπείνησε, τοῦ σ. ἐπιζητοῦντος τὴν ἰδίαν τροφήν Iren.*haer.*3.22.2(M.7. 957A); τὸ ἐσθίειν καὶ τοῦ σ. ἡ ὄψις ἐδείκνυεν αὐτὸν καὶ ἄνθρωπον Ath. *ep.Serap.*4.18(M.26.665A); but cf. ἔφαγεν...οὐ διὰ τὸ σ., δυνάμει συνεχόμενον ἁγίᾳ, ἀλλ' ὡς μὴ τοὺς συνόντας ἄλλως περὶ αὐτοῦ φρονεῖν ὑπεισέλθοι, ὥσπερ ἀμέλει ὕστερον δοκήσει τινὲς αὐτὸν πεφανερῶσθαι ὑπέλαβον Clem.*str.*6.9(p.467.11; M.9.292C); ταῖς τοῦ σ. ἀνάγκαις ὁμοίως ἡμῖν οὐδαμῶς καταδεσμούμενος, οὐδέ τι χεῖρον ἢ μεῖζον αὐτὸς ἑαυτοῦ τῆς θεότητος ὑπομένων, οὐδ' οὕτως οἷα ἀνθρώπου ψυχὴ τῷ σ. πεδούμενος Eus.*d.e.*7.1(p.302.6,9; M.22.496A); **c.** suffering, in contradistinction to the divinity μανθανέτω ὅτι ὁ λόγος τῇ οὐσίᾳ μένων λόγος οὐδὲν μὲν πάσχει ὧν πάσχει τὸ σ. ἢ ἡ ψυχή Or.*Cels.*4.15(p.285.14; M.11.1048A); Ath.*ep.Epict.*6(p.10.17,19; M.26.1060C) cit. infra 3.b; ἐνεργεῖ γὰρ ὡς ἀληθῶς ἡ θεότης διὰ τοῦ περὶ αὐτὴν σ. σωτηρίαν, ὡς εἶναι τῆς μὲν σαρκὸς τὸ πάθος, τοῦ δὲ θεοῦ τὴν ἐνέργειαν Gr.Nyss.*Eun.*6(2 p.129.23; M.45.713A); ἐπειδὴ δὲ τὸ γεγονὸς αὐτοῦ ἴδιον σ. πέπονθε, ταῦτα πάλιν αὐτὸς λέγεται παθεῖν ὑπὲρ ἡμῶν· ἦν γὰρ ὁ ἀπαθὴς ἐν τῷ πάσχοντι σ. Cyr.*ep.*4(p.27.17f.; 5^{2}.24Af.); τὰ ἰμάτιά μου, τουτέστι τὸ σ. μου· ἀπαθὴς γὰρ ἡ θεία φύσις, τὸ δὲ σ. τὸ πάθος ἐδέξατο Thdt.*Cant.*5:10 (2.115f.); τοῦ παθητοῦ σ. τὸ πάθος εἶναι φαμέν, τὴν ἀπαθῆ δὲ φύσιν ἐλευθέραν μεμενηκέναι τοῦ πάθους ὁμολογοῦμεν id.*eran.*3(4.190); ὑπὲρ μὲν τῶν σ. τὸ σ. δέδωκεν id.*eran.suppl.*4(4.274); **d.** dying τὸ γὰρ γεγενημένον ἀπὸ τῆς παρθένου σ. ἦν ἀπὸ τῆς ἀνθρωπίνης ὕλης συνεστηκός, δεκτικὸν τῶν ἀνθρωπίνων τραυμάτων καὶ θανάτου Or.*Cels.*3.25(p.222.

4; M.11.952A); *εἰ δὲ λέγεται Χριστὸς τεθνάναι καὶ τεθάφθαι, περὶ τοῦ σ. αὐτοῦ τοῦτο ἐκλεπτέον, οὐ τῆς ψυχῆς* Didym.*1Cor.*15:3–4(p.6.19); **e.** corruptible, denied by Aphthartodocetae *ἴδικτον γράφει* [sc. *ὁ Ἰουστινιανός*], *ἐν ᾧ ἄφθαρτον τὸ σ. τοῦ κυρίου κέκληκε* Evagr.*h.e.*4.39 (p.190.17; M.86.2781B); *ὁ μὲν γὰρ Ἰουλιανός...ἔλεγεν ὅτι ἄφθαρτόν ἐστι τὸ σ. τοῦ Χριστοῦ· εἰ μὴ γὰρ εἴπωμεν αὐτὸ ἄφθαρτον, ἀλλὰ φθαρτόν, διαφορὰν εἰσάγομεν πρὸς τὸν λόγον τοῦ θεοῦ. διαφορὰς δὲ εἰσαγομένης, δύο φύσεις εὑρίσκονται ἐν τῷ Χριστῷ...πρὸς ταῦτα ἔλεγεν ὁ Σεβῆρος ὅτι δύναται καὶ ἄφθαρτον εἰπεῖν τὸ σ. τοῦ Χριστοῦ καὶ διαφορὰν εἰσαγαγεῖν καὶ μίαν φύσιν εἰπεῖν* †Leont.B.*sect.*5.3(M.86.1229Df.); *Γαϊανῖται, ἤτοι Ἰουλιανισταί· οἵτινες λέγουσιν, ἐξ αὐτῆς τῆς ἑνώσεως τὸ τοῦ κυρίου σ. κατὰ πάντα τρόπον ἄφθαρτον εἶναι* Tim.CP *haer.*(M.86.44B); incorruptible only in special sense *πρὸς ταύτην οὖν τὴν φθορὰν τῆς ἁμαρτίας, ἄφθαρτον, τοῦτ' ἔστιν, ἀναμάρτητον λέγομεν τὸ πανάγιον καὶ πανάμωμον σ. τοῦ Χριστοῦ* Anast.S.*hod.*23(M.89.300A); **f.** not a mere appearance, as in docetic view, Ath.*Ar.*2.43 (M.26.237C); *εἰ γὰρ θέσει ἦν ἐν τῷ σ. ὁ λόγος κατ' ἐκείνους, τὸ δὲ θέσει λεγόμενον φαντασία ἐστίν, εὑρίσκεται δοκήσει καὶ ἡ σωτηρία καὶ ἡ ἀνάστασις τῶν ἀνθρώπων λεγομένη, κατὰ τὸν ἀσεβέστατον Μανιχαῖον. ἀλλὰ μὴν οὐ φαντασία ἡ σωτηρία ἡμῶν οὐδὲ σώματος μόνου, ἀλλ' ὅλου ἀνθρώπου ψυχῆς καὶ σ. ἀληθῶς ἡ σωτηρία γέγονεν ἐν αὐτῷ τῷ λόγῳ* Ath.*ep.Epict.*7(p.11.8,12; M.26.1061B); *ἐνανθρωπήσαντα...σῶμα καὶ ψυχὴν καὶ νοῦν καὶ πάντα ὅσα ἐστὶν ἀνθρώποις, χωρὶς ἁμαρτίας, ἀληθινῶς καὶ οὐ δοκήσει ἐσχηκότα* ‡Ath.*interpr.*(p.66.17; M.26.1232A); cf. *ἀνθρωπίνου μὲν σώματος εἰκόνα ἔχειν αὐτόν, ἀνθρωπίνης δὲ σαρκὸς μὴ ἀνειληφέναι ἀλήθειαν* Leo Mag.*ep.*35.1(p.40.31; *M.PL.*54.806A); **g.** united with human soul *εἴ τις λέγει ἄψυχον ἢ ἀνόητον τὸ σ. τοῦ Χριστοῦ καὶ μὴ ὁμολογεῖ αὐτὸν τέλειον κατὰ πάντα, ἕνα καὶ τὸν αὐτόν, καθὼς γέγραπται, ἀναθεματιζέσθω* Gr.Thaum.*fid.cap.*2(p.146.12; M.10.1133A); *'πάτερ, εἰς χεῖράς σου παρατίθημι τὸ πνεῦμά μου.' τοῦτο δὲ τὸ πνεῦμα, οἱ μὲν Ἀρείου καὶ Εὐνομίου τὴν θεότητα τοῦ μονογενοῦς εἶναι φασίν· ἄψυχον γὰρ ἀνειλῆφθαι τὸ σ. νομίζουσι* Thdt.*eran. suppl.*12(4.277); Apollinarian view *ψυχὴν οὐκ ἀνέλαβεν, ἀλλὰ σ. μόνον, ἡ δὲ θεότης ἀντὶ ψυχῆς ἐνωθεῖσα τῷ σ. πάντα τὰ τῆς ψυχῆς ἀνεδέξατο ib.*2(111); **h.** possession of *νοῦς* denied by Apoll. *ὥσπερ ὑμεῖς λέγετε νοῦν ἐπουράνιον ἐν σ. ἐμψύχῳ* ‡Ath.*Apoll.*1.20(M.26.1128B); Gr.Naz.*ep.*203(M.37.333A); Thdt.*ep.*104(4.1174) cit. s. *νοῦς*; **i.** similar to all men's bodies *εἰ καὶ σ. μοι ὅμοιον ἀνθρώποις ἦν, ἀλλ' οὐ καὶ τὴν δύναμιν οὐδὲ τὴν οὐσίαν τοῖς πολλοῖς ὢν ἐμφερής* Eus.*d.e.* 10.8(p.481.27; M.22.773D); *εἶποι ἂν ἴσως ἐνεργείᾳ μόνῃ οὐχὶ δὲ οὐσίας ὑποστάσει καὶ ἐν τῷ σ. γεγονέναι· δραστικῇ γὰρ ἐνεργείᾳ μόνῃ φησὶ* [sc. Marcellus] *τῇ σαρκὶ συνών* id.*Marcell.*2.4(p.57.13; M.24. 821A); not homoousios acc. Eutyches *ἕως σήμερον οὐκ εἶπον τὸ σ. τοῦ κυρίου καὶ θεοῦ ἡμῶν ὁμοούσιον ἡμῖν, τὴν δὲ ἁγίαν παρθένον ὁμολογῶ εἶναι ἡμῖν ὁμοούσιον καὶ ὅτι ἐξ αὐτῆς ἐσαρκώθη ὁ θεὸς ἡμῶν* Eut.ap. CCP(448)*act.*(p.142.13; H.2.164E); cf. *ἀρκέσει τῷ ἐξ ἡμῶν σώματι, τὸ τῆς κατὰ χάριν υἱότητος* Diod.*synous.*(M.33.1560C); *μὴ τῆς Μαρίας υἱὸς ὁ θεὸς λόγος ὑποπτευέσθω· θνητὸς γὰρ θνητὸν γεννᾷ κατὰ φύσιν, καὶ σ. τὸ ὁμοούσιον ib.*; cf. *αὐτοόμοούσιον, αὐτοέτεροούσιον σ. τῇ θεότητι διὰ τὴν ἕνωσιν λέγοντες* [sc. Apollinarians] Val.Apoll.*apol.*3 (p.288.23; M.86.1953D); **j.** as *πνευματικόν*: *ὁ δὲ Χριστὸς πνευματικὸν ἔσχε σ., ὅλην δεξάμενον τοῦ ἁγίου πνεύματος τὴν παρουσίαν καὶ δηλοῖ μείνασα ἐπ' αὐτὸν ἡ περιστερά* Oecum.*1Cor.*15:44(p.443); **k.** as *ψυχικόν*, acc. Valentinus *ἀσώματον...τὸν Χριστὸν...σ. ψυχικὸν παρὰ τοῦ δημιουργοῦ κομισάμενον, ὅπερ ἅπτον καὶ ὁρατὸν μὴ ὂν πρότερον γέγονεν ὕστερον* Tim.CP *haer.*(M.86.17B); **3.** relationship to Logos; **a.** not converted into divine nature *οὐδὲ ἡ τοῦ θεοῦ πρὸς τὸ σῶμα ἕνωσις μεταβολὴ σώματός ἐστιν, καίτοι τοῦ σ. τὰς θείας ἐνεργείας παρεχομένου τοῖς ἐφάψασθαι δυναμένοις* Apoll.*fr.*128(p.238.28f.) ap.Thdt.*eran.*2(4.171); *ib.*147(p.246.23ff.)ap.Leont.B.*Apoll.*(M.86. 1965Af.); *θεῖον μὲν εἶναι φαμὲν τὸ σ. τοῦ Χριστοῦ, ἐπειδὴ καὶ θεοῦ σ. ἐστι...ὅτι δὲ εἰς θεότητος φύσιν μετεβλήθη, οὔτε τῶν πατέρων τις τῶν ἁγίων ἢ πεφρόνηκεν, ἢ εἴρηκεν, οὔτε ἡμεῖς οὕτω διακείμεθα* Cyr.*ep.*45 (p.156.16f.; 5^2.140B); nor divine nature into it *οὔτε οὖν ὁ λόγος εἰς σ., ὡς εἴπομεν, οὔτε εἰς λόγον τὸ σ. ἠλλοίωται* Leo Mag.*ep.*35.2(p.41. 25; M.*PL.*54.808A); Apollinarian view *σ. ἀνθρώπινον* [*οὐκ*] *ἔσχεν ὁ Χριστὸς...ἀλλὰ...θεϊκόν...ἔμψυχον ἦν τὸ σ. ... θεία ἦν ἐμψυχία ψυχωθέν* ‡Ath.*dial.Trin.*4.1(M.28.1249Df.); answered *τὸ σ. φύσει μέν ἐστιν ἀνθρώπινον, τῇ δὲ ἑνώσει τῆς οἰκονομίας θεϊκόν ib.*4.2(1253A); *πῶς ὑμεῖς πάλιν λέγετε ἐξ οὐρανοῦ τὸ σ.*; ‡Ath.*Apoll.*1.7(M.26.1104B); *οὐκ εἶπεν δὲ σῶμα, ἵνα μὴ εἴπωσί τινες, ὅτι οὐράνιον σῶμα ἐφόρεσεν* Ammon.*Jo.*1:14(M.85.1397C); *τοῦ Εὐτυχοῦς...λέγοντος...οὐρανόθεν κατελθὸν τὸ σ. αὐτοῦ* Anast.S.*hod.*7(M.89.113A); *σῶμα λεγόντων ἔχοντα τὸν κύριον...οὐράνιον* Thdr.Stud.*ref.*4(M.99.445C); **b.** indwelt by Logos *ἐν τῷ περιτμηθέντι σ., καὶ βασταχθέντι...ἦν ὁ ἀπαθὴς καὶ ἀσώματος τοῦ θεοῦ λόγος* Ath.*ep.Epict.*5(p.9.19; M.26. 1060A); *ἦν παράδοξον, ὅτι αὐτὸς ἦν ὁ πάσχων καὶ μὴ πάσχων, πάσχων μέν, ὅτι ἴδιον αὐτοῦ ἔπασχε σ., καὶ ἐν αὐτῷ τῷ πάσχοντι ἦν· μὴ πάσχων δέ, ὅτι τῇ φύσει θεὸς ὢν ὁ λόγος ἀπαθής ἐστι. καὶ αὐτὸς μὲν ὁ ἀσώματος ἦν ἐν τῷ παθητῷ σ. ib.*6(p.10.17,19; 1060C); not of the *οὐσία* of the Logos, *ib.*2(p.5.2; 1053A); *οὐ τὸ σ. ἀλλ' αὐτὸν τὸν υἱὸν ὁμοούσιον...τοῦ πατρός, καὶ τοῦτον μὲν ἐκ τῆς οὐσίας τοῦ πατρός, τὸ δὲ σ. ἐκ Μαρίας... εἶναι πάλιν κατὰ τὰς γραφάς ib.*4(p.7.8,10; 1056B,Cf.); *ib.*8(p.14.2f.; 1064Bf.); Logos not identical with it *οὔτε ὁ ἀνείληφεν σῶμα ταὐτὸν ἦν τῷ ἀνειληφότι υἱῷ τοῦ θεοῦ* Eus.*e.th.*1.6(p.65.7; M.24.836A); *μὴ τὸ σ. ἦν ὁ λόγος, ἀλλὰ σ. ἦν τοῦ λόγου* Ath.*ep.Epict.*6(p.10.5,6; 1060B); **c.** united with Logos *...ἵνα καὶ τολμῶσι λέγειν· οὐ προσκυνοῦμεν ἡμεῖς τὸν κύριον μετὰ τῆς σαρκός· ἀλλὰ διαιροῦμεν τὸ σ. καὶ μόνῳ τούτῳ λατρεύομεν* Ath.*ep.Adelph.*5(M.26.1077D); *οὐ γὰρ ὁμοούσιον τῷ ἐκ θεοῦ λόγῳ τὸ σ.· ἐν δὲ τῇ συνόδῳ καὶ τῇ ἀπερινοήτῳ συνδρομῇ* Cyr. *Jo.*4.2(4.361B); *μιᾷ προσκυνήσει τιμᾶν εἰθίσμεθα τὸν Ἐμμανουήλ, οὐ διϊστάντες τοῦ λόγου τὸ ἐνωθὲν αὐτῷ καθ' ὑπόστασιν σ.* id.*Nest.*2. 10(p.47.30; 6^1.53A); id.*apol.orient.*11(p.58.55; 6^1.192C); adoptionist view *αὐτὴν δὲ τὴν σοφίαν δι' ἑαυτῆς ἐπιδεδημηκέναι οὐσιωδῶς ἐν τῷ ἐκ Μαρίας σ.* Paul.Sam.*fr.*(p.332.24)ap.Leont.B.*Nest.et Eut.*3(M.86. 1393B); *ib.*(p.333.27; M.l.c.); *διὰ τοῦ σ., ὡς δι' ὀστρακίνου σκεύους, ἐνοικήσασα ἐν αὐτῷ ἡ θεία δύναμις* Eus.*d.e.*4.16(p.189.15; M.22.316B); **d.** in rel. to deity *οὐδ' ἡμεῖς ὑπολαμβάνομεν τὸ βλεπόμενον τότε καὶ αἰσθητὸν τοῦ Ἰησοῦ σ. εἶναι θεόν* Or.*Cels.*2.9(p.135.15; M.11.808B); *ὅλον θεὸν καὶ μετὰ τοῦ σ., ἀλλ' οὐχὶ κατὰ τὸ σ. θεόν* ‡*Symb.Ant.*(269) (p.6.13); *οὐ γὰρ ἀνθρώπου τινὸς ἦν τὸ βλεπόμενον σ., ἀλλὰ θεοῦ* Ath.*ep.Max.*2(M.26.1088B); in iconoclastic argument *ἢ τὸ θεῖον περιγραπτὸν καὶ τῇ σαρκὶ συγχυθέν, ἢ τὸ σ. τοῦ Χριστοῦ ἀθέωτον καὶ διῃρημένον* CCP(754)*decr.*(H.4.365A); **e.** Logos not sullied by contact with body, Eus.*d.e.*4.13(p.170.29; M.22.285A); *μηδὲ ἐκ τῆς σαρκὸς ὁ ἀμίαντος ἐμιαίνετο μηδὲ συνεφθείρετο τῇ τοῦ σ. οἰκείᾳ φύσει ὁ ἀπαθὴς τοῦ θεοῦ λόγος ib.*7.1(p.302.18; 496A); **f.** Logos separated from body by death *ὁ λόγος...τῷ πατρὶ παρατιθεὶς τὸ πνεῦμα...οὕτως ἄφετος καὶ ἐλεύθερος αὐτὸς ἀφ' ἑαυτοῦ τὴν ἐκ τοῦ σ. ἀναχώρησιν ἐποιεῖτο ib.*3.4(p.115.4; 197A); this denied *εἰ δὲ ὁ θεὸς ἐχωρίσθη τοῦ σ., καὶ οὕτως ἡ νέκρωσις ἐδείκνυτο, πῶς τὸ σ., χωρισθὲν τοῦ ἀφθάρτου θεοῦ, τὴν ἀφθαρσίαν ἐπεδείκνυτο;* ‡Ath.*Apoll.*2.15(M.26. 1157A); *τούτου τοῦ πνεύματος ἡ ἀποχώρησις γέγονεν ἀπὸ τοῦ σ. ἐπὶ τοῦ σταυροῦ. καὶ οὕτω ἐνεκροῦτο τὸ σ. καὶ αὐτοῦ γέγονεν ἡ λύσις, θεοῦ τοῦ λόγου ἀμεταθέτως ἔχοντος πρός τε τὸ σ., πρός τε τὴν ψυχήν, πρός τε ἑαυτὸν ὄντα εἰς τὸν κόλπον τοῦ πατρὸς ἐν ἐπιδείξει ἀτρεπτότητος ib.*2.16(1161B).

B. Christ's resurrection body, v. *ἀνάστασις*; **1.** identical with crucified body *ἐκεῖνο τὸ αἰσθητὸν τοῦ Ἰησοῦ σ. ἐσταύρωται καὶ τέθαπται καὶ μετὰ τοῦτο ἐγήγερται* Or.*Jo.*10.36(20; p.210.1; M.14. 372B); Ath.*ep.Epict.*7(p.12.2; M.26.1061B); *ἐκεῖνο τὸ σ. τὸ μὲν πρότερον εἶδος ἔχει, καὶ σχῆμα καὶ περιγραφήν, καὶ ἁπαξαπλῶς εἰπεῖν, τὴν τοῦ σ. οὐσίαν* Thdt.*eran.*2(4.126); *οὐ μετεβλήθη οὖν εἰς πνεῦμα τὸ σ. ... μετὰ τὴν ἀνάστασιν σ. τὸ σ. μεμένηκεν* id.*eran.suppl.*10(4.272); but exalted *πρῶτον οὖν τὸ ἴδιον σ. ἤγειρεν ὁ κύριος ἐκ νεκρῶν, καὶ ὕψωσεν ἐν ἑαυτῷ* Ath.*inc.et c.Ar.*12(M.26.1004B); Chrys.*hom.41.2 in 1Cor.*(10.388Af.); not subject to human frailty but incorruptible, Ath.*ep.Epict.*10(p.16.12; 1068A); *οὐ σ. παθητὸν ἔχων, ἀλλ' ἀθάνατον λοιπὸν καὶ ἄφθαρτον, καὶ οὐ δεόμενον τροφῆς. οὐ τοίνυν διὰ χρείαν μετὰ τὴν ἀνάστασιν ἔφαγέ τε καὶ ἔπιεν· οὐδὲ γὰρ ἐδεῖτο λοιπὸν τὸ σ. τούτων* Chrys.*hom.82.2 in Mt.*(7.784A); *μετὰ...τὴν ἀνάστασιν ἦν μὲν αὐτὸ τὸ σ. τὸ πεπονθός, πλὴν οὐκέτι τὰς ἀνθρωπίνας ἀσθενείας ἔχον ἐν ἑαυτῷ. οὐ γὰρ ἔτι πείνης, ἢ κόπου, ἢ ἑτέρου τινὸς τῶν τοιούτων δεκτικὸν εἶναί φαμεν αὐτό, ἀλλὰ λοιπὸν ἄφθαρτον* Cyr.*ep.*45(p.156.1; 5^2.139C); *πρὸ μὲν τοῦ πάθους, φθαρτὸν ἦν τὸ τοῦ Χριστοῦ...σ. μετὰ δὲ τὴν...ἔγερσιν ἄφθαρτον* Anast.S.*hod.*23(M.89.300B); solid, Or.*Cels.*2. 61(p.183.25; M.11.893A); *εἴ τις λέγει ὡς τὸ τοῦ κυρίου ἐξ ἀναστάσεως σ. αἰθέριόν τε καὶ σφαιροειδὲς τῷ σχήματι, καὶ ὅτι τὰ τοιαῦτα καὶ τὰ τῶν λοιπῶν ἐξ ἀναστάσεως ἔσται σ., καὶ ὅτι αὐτοῦ τοῦ κυρίου πρῶτον ἀποτιθεμένου τὸ ἴδιον αὐτοῦ σ. καὶ πάντων ὁμοίως εἰς τὸ ἀνύπαρκτον χωρήσει ἡ τῶν σ. φύσις, ἀνάθεμα ἔστω* CCP(543)*anath.*10; **2.** retained after Ascension: denied by Hermogenes *ἀνερχόμενον εἰς τοὺς οὐρανοὺς ἐν τῷ ἡλίῳ τὸ σ. καταλελοιπέναι, αὐτὸν δὲ πρὸς τὸν πατέρα πεπορεῦσθαι* Hipp.*haer.*8.17(p.237.9; M.16.3366A); asserted by orthodox *καὶ μετὰ τὴν ἀνάληψιν σ. καλούμενον τοῦ δεσπότου τὸ σ.* Thdt.*eran.*2(4.124); *εἰ τοίνυν τοῦ ὄντως σ. ἀντίτυπά ἐστι τὰ θεῖα μυστήρια, σ. ἄρα ἐστὶ καὶ νῦν τοῦ δεσπότου τὸ σ., οὐκ εἰς θεότητος φύσιν μεταβληθέν, ἀλλὰ θείας δόξης ἀναπλησθέν ib.*(125); *ἀνελθόντα εἰς οὐρανοὺς ἐν αὐτῷ τῷ σ. ἐνδόξως καθίσαντα ἐν δεξιᾷ τοῦ πατρός, ἐρχόμενον ἐν αὐτῷ τῷ σ. ἐν δόξῃ κρῖναι ζῶντας καὶ νεκρούς* ‡Ath.*interpr.*(p.66. 20f.; M.26.1232B); **3.** considered as intermediate between fleshly body and soul, Or.*Cels.*2.62(p.184.13; M.11.893C) cit. s. *ἀνάστασις*;

οὐκ ἔτι μὲν σάρκα, οὐκ ἀσώματον δέ, οἷς αὐτὸς οἶδε λόγοις θεοειδεστέρου σ., ἵνα καὶ ὀφθῇ ὑπὸ τῶν ἐκκεντησάντων, καὶ μείνῃ θεὸς ἕξω παχύτητος Gr.Naz.*or.*40.46(M.36.424C).

C. eucharistic, v. *ἀντίτυπος, τύπος, σύμβολον, ὁμοίωμα, μυστικός*; **1.** in gen.; words of institution cited, *Lit.*ap.*Const.App.*8.12.36; *Lit.Chrys.*(p.328.6); *Lit.Bas.*(p.328.6); *ἐκεῖνος τὸ σ. ἐξίσης ἔδωκε... καὶ γὰρ ὑπὲρ ἁπάντων ὁμοίως ἐκλάσθη, καὶ σ. γέγονεν ὑπὲρ ἁπάντων* Chrys.*hom.27.4 in 1Cor.*(10.246D); **2.** thought by iconoclasts to be only true image of Christ *ἰδοὺ οὖν ἡ εἰκὼν τοῦ ζωοποιοῦ σ. αὐτοῦ, ἡ ἐντίμως καὶ τετιμημένως πραττομένη* CCP(754)*decr.*(H.4.368D); theory denied *οὐκ εἶπε· λάβετε, φάγετε τὴν εἰκόνα τοῦ σ. μου* CNic.(787)*refut.*(H.4.369C); *οὐδαμοῦ οὔτε ὁ κύριος οὔτε οἱ ἀπόστολοι ἢ πατέρες εἰκόνα εἶπον τὴν διὰ τοῦ ἱερέως προσφερομένην ἀναίμακτον θυσίαν, ἀλλ' αὐτὸ σ. καὶ αὐτὸ αἷμα ib.*(H.4.369D); **3.** in relation to Christ's earthly body; **a.** essential identity, Chrys.*hom.24.4 in 1Cor.*(10.217Af.); *ἐνταῦθα κεῖσεται τὸ σ. τὸ δεσποτικόν, οὐχὶ ἐσπαργανωμένον, καθάπερ τότε, ἀλλὰ πνεύματι πανταχόθεν ἁγίῳ περιστελλόμενον* id.*Philogon.*3(1.498A); *οὐ μόνον τοῖς ἕνδεκα ἀποστόλοις, ἀλλὰ καὶ τῷ προδότῃ, τοῦ τιμίου μετέδωκε σ. τε καὶ αἵματος* Thdt.*1Cor.*11:25(3.238); *ἐν ἀληθείᾳ σ. καὶ αἷμα ὁρατὸν καὶ κτιστὸν καὶ γηγενὲς Χριστοῦ εἶναι* Anast.S.*hod.*13(M.89.208D); **b.** dist. *θέα τὴν πᾶσαν τοῦ σωτῆρος ἡμῶν διδασκαλίαν ὅπως οὐ περὶ ἧς ἀνείληφεν σαρκὸς διελέγετο, περὶ δὲ τοῦ μυστικοῦ σ. τε καὶ αἵματος* Eus.*e.th.*3.12(p.168.3; M.24.1021B); *μετὰ...τὴν αὐτοῦ παρουσίαν, οὐκέτι χρεία τῶν συμβόλων τοῦ σ., αὐτοῦ φαινομένου τοῦ σ.* Thdt.*1Cor.*11:26(3.238); **4.** in rel. to bread; **a.** in liturgical texts: in epiclesis *παρακαλοῦμεν τὸν φιλάνθρωπον θεὸν τὸ ἅγιον πνεῦμα ἐξαποστεῖλαι ἐπὶ τὰ προκείμενα, ἵνα ποιήσῃ τὸν μὲν ἄρτον σ. Χριστοῦ, τὸν δὲ οἶνον αἷμα Χριστοῦ. πάντως γὰρ οὗ ἂν ἐφάψηται τὸ ἅγιον πνεῦμα, τοῦτο ἡγίασται καὶ μεταβέβληται* Cyr.H.*catech.*23.7; *ἐπιδημησάτω...ὁ ἁγιός σου λόγος ἐπὶ τὸν ἄρτον τοῦτον, ἵνα γένηται ὁ ἄρτος σ. τοῦ λόγου* Serap.*Euch.*13.15; *ἀξιοῦμέν σε, ὅπως ...καταπέμψῃς τὸ ἅγιόν σου πνεῦμα ἐπὶ τὴν θυσίαν ταύτην...ὅπως ἀποφήνῃ τὸν ἄρτον τοῦτον σ. τοῦ Χριστοῦ σου Lit.*ap.*Const.App.*8.12.39; *προθέντες τὰ ἀντίτυπα τοῦ ἁγίου σ. καὶ αἵματος τοῦ Χριστοῦ ...σε παρακαλοῦμεν...ἐλθεῖν τὸ πνεῦμά σου τὸ πανάγιον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα καὶ εὐλογῆσαι αὐτὰ καὶ ἁγιάσαι καὶ ἀναδεῖξαι τὸν μὲν ἄρτον τοῦτον αὐτὸ τὸ τίμιον σ. τοῦ...Χριστοῦ Lit.Bas.*(pp.329f.); *ἱκετεύομεν κατάπεμψον τὸ πνεῦμά σου τὸ ἅγιον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα καὶ ποίησον τὸν μὲν ἄρτον τοῦτον τίμιον σ. τοῦ Χριστοῦ σου, μεταβαλὼν τῷ πνεύματί σου τῷ ἁγίῳ Lit.Chrys.*(p.330); *Lit.Marc.*(Brightman p.134); *αὐτὸ τὸ πνεῦμά σου τὸ πανάγιον κατάπεμψον, δέσποτα, ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ προκείμενα ἅμα δῶρα ταῦτα, ἵνα ἐπιφοιτῆσαν τῇ ἁγίᾳ...αὐτοῦ παρουσίᾳ ἁγιάσῃ καὶ ποιήσῃ τὸν μὲν ἄρτον τοῦτον σ. ἅγιον Χριστοῦ Lit.Jac.*(p.206.10); in words of administration *σῶμα Χριστοῦ Lit.*ap.*Const.App.*8.13.15; *σ. ἅγιον τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῖς πιστοῖς μεταδιδόμενον εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον Lit.Jac.*(p.234.8); *σ. ἅγιον τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ Lit.Marc.*(Brightman p.140); *σ. καὶ αἷμα τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ* Anast.S.*hod.*13(M.89.208D); **b.** relationship discussed *μὴ πρόσεχε οὖν, ὡς ψιλοῖς τῷ ἄρτῳ καὶ τῷ οἴνῳ· σ. γὰρ καὶ αἷμα Χριστοῦ κατὰ τὴν δεσποτικὴν τυγχάνει ἀπόφασιν...μὴ ἀπὸ τῆς γεύσεως κρίνῃς τὸ πρᾶγμα, ἀλλ' ὑπὸ τῆς πίστεως πληροφοροῦ ἀνενδοιάστως σ. καὶ αἵματος Χριστοῦ καταξιωθείς* Cyr.H.*catech.*22.6; *ὁ φαινόμενος ἄρτος οὐκ ἄρτος ἐστίν, εἰ καὶ τῇ γεύσει αἰσθητός, ἀλλὰ σ. Χριστοῦ ib.*22.9; Chrys.*poenit.*9(2.350A) cit. s. *ἀπουσιάζω; σ. ἐστι καὶ αἷμα Χριστοῦ εἰς σύστασιν τῆς ἡμετέρας ψυχῆς τε καὶ σ. χωροῦν, οὐ δαπανώμενον, οὐ φθειρόμενον, οὐκ εἰς ἀφεδρῶνα χωροῦν...ἀλλ' εἰς τὴν ἡμῶν οὐσίαν καὶ συντήρησιν* Jo.D.*f.o.*4.13(M.94.1152A); *ὥσπερ φυσικῶς διὰ τῆς βρώσεως ὁ ἄρτος, καὶ ὁ οἶνος καὶ τὸ ὕδωρ διὰ τῆς πόσεως εἰς σῶμα καὶ αἷμα τοῦ ἐσθίοντος καὶ πίνοντος μεταβάλλονται, καὶ οὐ γίνονται ἕτερον σ. παρὰ τὸ πρότερον αὐτοῦ σ.· οὕτως ὁ τῆς προθέσεως ἄρτος, οἰνός τε, καὶ ὕδωρ, διὰ τῆς ἐπικλήσεως καὶ ἐπιφοιτήσεως τοῦ ἁγίου πνεύματος, ὑπερφυῶς μεταποιοῦνται εἰς τὸ σ. τοῦ Χριστοῦ καὶ τὸ αἷμα, καὶ οὐκ εἰσὶ δύο, ἀλλ' ἓν καὶ τὸ αὐτό ib.*(1145A); cf. *antequam sanctificetur panis, panem nominamus: divina autem illum sanctificante gratia, mediante sacerdote, liberatus est quidem ab appellatione panis, dignus autem habitus dominici corporis appellatione, etiamsi natura panis in ipso permansit, et non duo corpora, sed unum corpus filii praedicamus,* ‡Chrys.*ep.Caes.*(3.744C); *τὸ φύσει σ. σῖτον καὶ ἄρτον προσαγορεύσας, καὶ αὖ πάλιν ἑαυτὸν ἄμπελον ὀνομάσας, οὗτος τὰ ὁρώμενα σύμβολα τῇ τοῦ σ. καὶ αἵματος προσηγορίᾳ τετίμηκεν, οὐ τὴν φύσιν μεταβαλών, ἀλλὰ τὴν χάριν τῇ φύσει προστεθεικώς* Thdt.*eran.*1(4.26); cf.*ib.*2(126); *οὐκ ἄρτος λιτός ἐστιν, ἀλλ' ἡνωμένος θεότητι· σ. δὲ ἡνώμενον θεότητι, οὐ μία φύσις ἐστίν, ἀλλὰ μία μὲν τοῦ σ., τῆς δὲ ἡνωμένης αὐτῷ θεότητος ἑτέρα· ὥστε τὸ συναμφότερον, οὐ μία φύσις, ἀλλὰ δύο* Jo.D.*f.o.*4.13(1149B); *δύο φύσεις ἐν τῷ μεταλαμβανομένῳ ὑφ' ἡμῶν σ. τοῦ Χριστοῦ, ἡνωμέναι καθ' ὑπόστασίν εἰσιν ἀδιασπάστως. καὶ τῶν δύο φύσεων μετέχομεν, τοῦ σ. σωματικῶς, τῆς θεότητος πνευματικῶς* id.*imag.*3.26(M.94.1348B); **c.** relationship effected **i.** through prayers of liturgy *ἡμεῖς δὲ τῷ τοῦ παντὸς δημιουργῷ εὐχαριστοῦντες καὶ τοὺς μετ' εὐχαριστίας καὶ εὐχῆς τῆς ἐπὶ τοῖς δοθεῖσι προσαγομένους ἄρτους ἐσθίομεν, σ. γενομένους διὰ τὴν εὐχὴν ἁγιόν τι καὶ ἁγιάζον τοὺς μετὰ ὑγιοῦς προθέσεως αὐτῷ χρωμένους* Or.*Cels.*8.33(p.249.7; M.11.1565C); *ὅταν αὐτὸν* [sc. *ἄρτον*] *τὸ μυστήριον ἱερουργήσῃ, σ. Χριστοῦ λέγεταί τε καὶ γίνεται* Gr.Nyss.*bapt.Chr.*(M.46.581C); calling down word of God, Ath.ap.Eutych.*pasch.*8(M.86.2401B) cit. s. *μυστήριον*; *τὸν τῷ λόγῳ τοῦ θεοῦ ἁγιαζόμενον ἄρτον εἰς σ. τοῦ θεοῦ λόγου μεταποιεῖσθαι πιστεύομεν· καὶ γὰρ ἐκεῖνο τὸ σ., ἄρτος τῇ δυνάμει ἦν, ἡγιάσθη δὲ τῇ ἐπισκηνώσει τοῦ λόγου τοῦ σκηνώσαντος ἐν τῇ σαρκί* Gr.Nyss.*or.catech.*37(p.149.3; M.45.96D); **ii.** through epiclesis in partic., Cyr.H.*catech.*19.7 cit. s. *ἐπίκλησις*; *ἐν τῇ ἐπικλήσει τοῦ ἁγίου βαπτίσματος ...καὶ ἐπὶ τῆς τραπέζης τῆς μυστικῆς τὸν ἄρτον τὸν κοινόν, σ. ἰδικὸν τῆς αὐτοῦ σαρκώσεως ἀποφαῖνον* Isid.Pel.*epp.*1.109(M.78.256C); *διὰ τοιούτων τοίνυν εὐχῶν τὴν ἐπιφοίτησιν τοῦ ἁγίου πνεύματος προσεδόκων, ὅπως τῇ αὐτοῦ θείᾳ παρουσίᾳ τὸν προκείμενον εἰς ἱερουργίαν ἄρτον, καὶ οἶνον ὕδατι μεμιγμένον, αὐτὸ ἐκεῖνο τὸ σ. καὶ αἷμα τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἀποφήνῃ τε καὶ ἀναδείξῃ* ‡Procl.CP *tract.*(M.65.852A); *ἐρωτῶμεν, πῶς ὁ ἄρτος γίνεται σ. Χριστοῦ...λέγω σοι κἀγώ· πνεῦμα ἅγιον ἐπιφοιτᾷ, καὶ ταῦτα ποιεῖ τὰ ὑπὲρ λόγον καὶ ἔννοιαν* Jo.D.*f.o.*4.13(M.94.1141A); *ib.*(1145A); **iii.** by words of institution *ὁ ἄρτος...οὐ διὰ βρώσεως προϊὼν εἰς τὸ σ. γενέσθαι τοῦ λόγου, ἀλλ' εὐθὺς πρὸς τὸ σ. διὰ τοῦ λόγου μεταποιούμενος, καθὼς εἴρηται ὑπὸ τοῦ λόγου ὅτι τοῦτό ἐστι τὸ σ. μου* Gr.Nyss.*or.catech.*37 (p.150.2,3; M.45.97A); *τοῦτό μού ἐστι τὸ σ., φησί· τοῦτο τὸ ῥῆμα τὰ προκείμενα μεταρρυθμίζει* Chrys.*prod.Jud.*2.6(2.394A); **5.** to be received with great reverence, Cyr.H.*catech.*23.21; *τοῦ καθαρᾷ τῇ συνειδήσει τὸ ἅγιον ὑποδέχεσθαι σ.* Gr.Nyss.*perf.*(M.46.268D); Thdt.*1Cor.*11:27(3.238); Anast.S.*synax.*(M.89.832B); **6.** sustaining bodies of recipients and uniting them with Christ *γίνεται ἡ εὐχαριστία σ. Χριστοῦ, ἐκ τούτων* [sc. *ποτήριου, ἄρτου*] *δὲ αὔξει καὶ συνίσταται ἡ τῆς σαρκὸς ἡμῶν ὑπόστασις* Iren.*haer.*5.2.3(M.7.1125B); *ἵνα γένῃ μεταλαβὼν σ. καὶ αἵματος Χριστοῦ σύσσωμος καὶ σύναιμος αὐτοῦ. οὕτω γὰρ καὶ Χριστοφόροι γινόμεθα, τοῦ σ. αὐτοῦ καὶ τοῦ αἵματος εἰς τὰ ἡμέτερα ἀναδιδομένου μέλη* Cyr.H.*catech.*22.3; Gr.Nyss.*or.catech.*37(p.142.2f.; M.45.93Af.); *τὸ ἀθανατισθὲν ὑπὸ τοῦ θεοῦ σ. ἐν τῷ ἡμετέρῳ γενόμενον ὅλον πρὸς ἑαυτὸ μεταποιεῖ καὶ μετατίθησιν ib.*(p.143.4; 93B); **7.** forming recipients into one body *τί γάρ ἐστιν ὁ ἄρτος; σ. Χριστοῦ. τί δὲ γίνονται οἱ μεταλαμβάνοντες; σῶμα Χριστοῦ. οὐχὶ σώματα πολλά, ἀλλὰ σ. ἕν* Chrys.*hom.24.2 in 1Cor.*(10.213E); *γεγόναμεν ἡμεῖς Χριστοῦ σ. ἐν καὶ σαρξ μία* id.*hom.82.5 in Mt.*(7.788C); thus a means of unity *'εἷς ἄρτος, ἓν σῶμα οἱ πολλοί ἐσμεν, οἱ γὰρ πάντες ἐκ τοῦ ἑνὸς ἄρτου μετέχομεν.' συνδεῖ γὰρ ἡμᾶς εἰς ἑνότητα τὸ ἐν ἡμῖν σ. Χριστοῦ, μεμέρισται δὲ κατ' οὐδένα τρόπον...διὰ τοῦ σ. τοῦ Χριστοῦ πρὸς ἑνότητα τὴν πρὸς αὐτόν, καὶ πρός γε τὴν εἰς ἀλλήλους συνενηνέγμεθα* Cyr.*Nest.*4.5(p.85.39f.; 6[1].111B); **8.** not reverting to mere bread if not consumed *ἀκούω δὲ ὅτι φασὶν ἀπρακτεῖν εἰς ἀγιασμὸν τὴν μυστικὴν εὐλογίαν, εἰ ἀπομείνοι λείψανον αὐτῆς εἰς ἑτέραν ἡμέραν. μαίνονται δὲ ταῦτα λέγοντες· οὐ γὰρ ἀλλοιοῦται Χριστός, οὐδὲ τὸ ἅγιον αὐτοῦ σ. μεταβληθήσεται, ἀλλ' ἡ τῆς εὐλογίας δύναμις, καὶ ἡ ζωοποιὸς χάρις διηνεκὴς ἐστιν ἐν αὐτῷ* Cyr.*ep.Calos.*(p.606.1; 6[2].365B); **9.** whole body is received *ὅλον...ἅπας τὸ ἅγιον σ. καὶ τὸ τίμιον αἷμα τοῦ κυρίου δέχεται, κἂν εἰ μέρος τούτων δέξηται· μερίζεται γὰρ ἀμερίστως ἐν ἅπασι, διὰ τὴν ἔμμιξιν* Eutych.*pasch.*2(M.86.2393C).

D. Church as Christ's body, v. *ἐκκλησία*; **1.** in gen., Ign.*Smyrn.*1.2; Clem.*str.*7.14(p.62.19; M.9.521B); *σ. τὴν ἐκκλησίαν καὶ οἶκον θεοῦ ἐκ λίθων ζώντων οἰκοδομούμενον* Or.*Jo.*10.39(23; p.215.30; M.14.381B); id.*Cels.*6.79(p.151.2; M.11.1417D); *τοῦ σ. τοῦ ἐκκλησιαστικοῦ* Chrys.*hom.10.1 in Eph.*(11.86B); Thdr.Mops.*Eph.*5:23(p.184.22; M.66.920B); also of a single Christian *ἓν σ. εἶ τοῦ Χριστοῦ, φέρε τὸν σταυρόν· καὶ γὰρ ἐκεῖνος ἤνεγκε·...τοιοῦτον ἐκεῖνο τὸ σ. ἦν* Chrys.*hom.3.3 in Eph.*(11.21B,C); **2.** its composition; **a.** Christ the head, v. *κεφαλή*; **b.** Christians its members *ἡμῖν τῷ κοινῷ Χριστοῦ σ.* Gr.Naz.*or.*32.10(M.36.185B); v. *μέλος*; **c.** relation between body and head discussed *σ. Χριστοῦ εὑρίσκοντες λεγομένην τὴν ἐκκλησίαν, ζητοῦμεν πότερόν ποτε, ὡς παρὰ τὴν κεφαλὴν τὸ λοιπὸν σ., ὄργανον τῆς κεφαλῆς δεῖ αὐτὴν νοεῖν, ἢ ὥσπερ τοῦ ἀνθρώπου σ., οὗ σ. μέρος ἐστὶν ἡ κεφαλή, οὕτως Χριστοῦ σ. ἐστι ψυχούμενον ὑπὸ τῆς θεότητος αὐτοῦ καὶ πληρούμενον ὑπὸ τοῦ πνεύματος αὐτοῦ ἡ πᾶσα ἐκκλησία Χριστοῦ, ἢ ἄλλως πως δεῖ ταῦτα ἐκλαμβάνειν. ἐὰν μέντοιγε τὸ δεύτερον ᾖ, ἔσται τὸ μὲν ἀνθρωπικώτερον αὐτοῦ καὶ αὐτὸ μέρος τυγχάνον τοῦ ὅλου σ., τὸ*

δὲ θεῖον καὶ ζωοποιο[ῦ]ν πᾶσαν τὴν ἐκκλησίαν ἡ ὥσπερεὶ ψυχοῦσα αὐτὴν δύναμις θεία Or.*comm.in Eph.*1:23(p.401); ref. 1Cor.12:12 οὕτω καὶ τοῦ Χριστοῦ τὸ σῶμα, ὅπερ ἐστὶν ἡ ἐκκλησία. καθάπερ γὰρ καὶ σ. καὶ κεφαλὴ εἷς ἐστιν ἄνθρωπος, οὕτω τὴν ἐκκλησίαν καὶ τὸν Χριστὸν ἓν ἔφησεν εἶναι. διὸ καὶ τὸν Χριστὸν ἀντὶ τῆς ἐκκλησίας τέθεικε, τὸ σ. αὐτοῦ οὕτως ὀνομάζων. ὥσπερ οὖν, φησίν, ἕν τι ἐστὶ τὸ ἡμέτερον σ., εἰ καὶ ἐκ πολλῶν σύγκειται· οὕτω καὶ ἐν τῇ ἐκκλησίᾳ ἕν τι πάντες ἐσμέν Chrys.*hom.30.1 in 1Cor.*(10.270A); **d.** qualification for membership *τί δέ ἐστιν 'ἓν σ.'; οἱ πανταχοῦ τῆς οἰκουμένης πιστοί, καὶ ὄντες καὶ γενόμενοι καὶ ἐσόμενοι· πάλιν καὶ οἱ πρὸ τῆς τοῦ Χριστοῦ παρουσίας εὐηρεστηκότες, ἓν σ. εἰσι* id.*hom.10.1 in Eph.*(11.75B); *σ. καὶ μέλη λέγει Χριστοῦ, τὸ σ. τῶν πιστευσάντων καὶ βαπτισθέντων* Sever. *1Cor.*6:15(p.247.17); cf. *ἡ τοῦ ἁγίου πνεύματος ἐν πάσῃ τῇ καθολικῇ ἐκκλησίᾳ μία ἐστὶ μάθησις καὶ ἡ αὐτὴ διδασκαλία, ἣν εἴ τις μὴ δέχεται, οὔκ ἐστι μέλος τοῦ σ. τοῦ Χριστοῦ* Leo Mag.*ep.*35(p.40.24; M.*PL.*54.806A); **3.** its resurrection *τὴν γενομένην ἀνάστασιν τοῦ Χριστοῦ ἀπὸ τοῦ κατὰ τὸν σταυρὸν πάθους περιέχειν μυστήριον τῆς ἀναστάσεως τοῦ παντὸς Χριστοῦ σ.* Or.*Jo.*10.35(20; p.209.32; M.14.372B); *ὅτε δὲ γίνεται αὐτὴ ἡ ἀνάστασις τοῦ ἀληθινοῦ καὶ τελειοτέρου Χριστοῦ σ., τότε τὰ μέλη τοῦ Χριστοῦ τὰ νῦν, ὡς πρὸς τὸ μέλλον, ξηρὰ ὀστᾶ συναχθήσεται ib.*10.36(20; p.210.32; 373A); *ἐγερεῖ καὶ τὰ μέλη τοῦ σ. αὐτοῦ, ἵνα χαρίσηται αὐτοῖς τὰ πάντα, ὡς θεός, ὅσα αὐτὸς ὡς ἄνθρωπος ἔλαβεν* Ath.*inc.et c.Ar.*12(M.26.1004B); **4.** exeg. Eph.1:23 *ἂν γὰρ μὴ ὦμεν πολλοί, καὶ ὁ μὲν χείρ, ὁ δὲ ποῦς, ὁ δὲ ἄλλο τι μέρος, οὐ πληροῦται ὅλον τὸ σ. διὰ πάντων οὖν πληροῦται τὸ σ. αὐτοῦ. τότε πληροῦται ἡ κεφαλή, τότε τέλειον σ. γίνεται, ὅταν ὁμοῦ πάντες ὦμεν συνημμένοι καὶ συγκεκολλημένοι* Chrys.*hom.3.2 in Eph.*(11.20A,B); *ὥσπερ γάρ, φησίν, 'ἐν πᾶσι τὰ πάντα πληροῖ', οὕτως καὶ ἐν τῇ ἐκκλησίᾳ πληροῦται κατὰ τὸ εἶναι σ. τοῦ Χριστοῦ. Χριστοῦ οὖν σ., πλήρωμα δὲ θεοῦ ἡ ἐκκλησία* Sever.*Eph.*1:23(p.307).

III. of God: said by Arius to be a consequence of homoousian doctrine, Ar.*ep.Alex.*(p.13; M.26.709C–712A) cit. s. *ὁμοούσιος.*

IV. of angels *τὰ δαιμόνια 'ἀσώματα' εἴρηται, οὐχ ὡς σ. μὴ ἔχοντα (ἔχει γὰρ καὶ σχῆμα· διὸ καὶ συναίσθησιν κολάσεως ἔχει), ἀλλ' ὡς πρὸς σύγκρισιν τῶν σωζομένων σ. πνευματικῶν σκιὰ ὄντα ἀσώματα εἴρηται. καὶ οἱ ἄγγελοι σ. εἰσιν· ὁρῶνται γοῦν* Clem.*exc.Thdot.*14(p.111.15f.; M.9.664B); *ἄγγελος δέ, καὶ ψυχή, καὶ δαίμων, πρὸς μὲν θεὸν συγκρινόμενοι, τὸν μόνον ἀσύγκριτον, σώματά εἰσι· πρὸς δὲ τὰ ὑλικὰ σ., ἀσώματοι* Jo.D.*imag.*3.25(M.94.1345A); *τῷ ὄντι...ὡς πρὸς ἡμᾶς ἀόρατοί εἰσιν· ὡς ὁραθέντες δὲ παρὰ πλειόνων αἰσθητῶς πλεονάκις τῷ εἴδει τῶν οἰκείων αὐτῶν σ.* Jo.Thess.*fr.*ap.CNic.(787)*act.*5(H.4.293C).

V. *figure of three dimensions, solid τὰ τριττὰ τῶν σ. σχήματα* Dion. Ar.*d.n.*9.5(M.3.913A); *σ. δέ ἐστι, τὸ τριχῇ διαστατόν, ἤγουν τὸ ἔχον μῆκος, καὶ πλάτος, καὶ βάθος, ἤτοι πάχος* Jo.D.*f.o.*2.12(M.94.925A).

VI. *book, volume,* opp. papyrus roll *ἓν...σ. τῆς γραφῆς ὡς ἑνὸς καὶ μόνου τὰς ἁπάντων ἡμῖν ἐκθεμένου φωνάς* Proc.G.*Gen.*proem.(M.87.21A); *βιβλίον ἔχον ὅλην τὴν νέαν διαθήκην...ἐν σώματι πολὺ καλῷ* Jo. Mosch.*prat.*134(M.87.2997A); *βιβλίον...ἐν σώμασι ἀργυρένδετον* CCP (681)*act.*10(H.3.1201E); *ib.*(1208D).

VII. *corporate body, corporation τῷ προειρημένῳ σ. τῶν Χριστιανῶν* Const.ap.Eus.*h.e.*10.5.12(M.20.885A).

VIII. *body, unit τοῦ τὸ ἓν σ. τῆς ἀληθείας μετὰ σοφίας συναχθῆναι* Or.*Jo.*13.46(p.272.31; M.14.481A); *ποῦ νῦν εἰσιν οἱ τὴν παλαιὰν διαβάλλοντες, οἱ τὸ σ. τῆς γραφῆς διασπῶντες;* Chrys.*hom.2.2 in 2Cor.* 4:13(3.270D); id.*hom.in Jer.*10:23(6.160C) cit. s. *γραφή.*

IX. *reality, POxy.*5.9 (saec. iii–iv) cit. s. *πνεῦμα.*

X. *kernel, essential part* of a book *ὡς τὸ σ. καὶ τὸ ὕφος τῆς προφητείας ὑπαγορεύει* Clem.*str.*7.16(p.68.9; M.9.533B); *τὸ σ. τοῦ ὅλου λόγου* Or.*Jo.*6.3(1; p.108.14; M.14.201A); *ὡς ἂν μὴ τὸ σ. τῆς παρούσης ἡμῖν διακόπτοιτο ἱστορίας* Eus.*v.C.*3.24(p.89.10; M.20.1085A).

XI. *bodily aspect* or *form*; hence of literal sense of scripture, v. *γραφή*; *οἱ μὲν τὸ σ. τῶν γραφῶν, τὰς λέξεις καὶ τὰ ὀνόματα, καθάπερ τὸ σ. τὸ Μωϋσέως, προσβλέπουσιν, οἱ δὲ τὰς διανοίας καὶ τὰ ὑπὸ τῶν ὀνομάτων δηλούμενα διορῶσι* Clem.*str.*6.15(p.498.29,30; M.9.357A); *μὴ τὸ σ. τῆς ἐπιστολῆς ἀναγινώσκειν μόνον, ἀλλὰ καὶ τὴν κάτω κειμένην πρόσρησιν* Chrys.*hom.1.1 in Rom.16:3*(3.172B); Thdt.*eran.* proem.(4.3C).

XII. *personal service κελεύει δὲ ἐκ τούτων ὀκτακόσια μὲν ἐν σώμασι λειτουργεῖν, τὰ δὲ λοιπὰ ἐν ἀπαργυρισμῷ* Ath.Scholast.*coll.*2.11(p.41).

σωματεῖον, τό, *corporate body ἀπεκατεστάθη αὐτοῖς τὸ ἴδιον σ.* Ign. *Smyrn.*11.2; met. *τὸ γὰρ προφητικὸν πνεῦμα τὸ σ. ἐστιν τῆς προφητικῆς τάξεως POxy.*1.5.9.

***σωματέμψυχος,** *having both soul and body ὁ λόγος...ἑαυτῷ ἥνωσε τὴν ἡμετέραν σ. φύσιν, οὐκ ἄψυχον* Eulog.*fr.Trin.*3.1(p.368).

σωματικός, 1. *bodily, of the body, corporeal*; in gen. *οὐ σ. γὰρ τὸ ἐκείνου* [sc. Christ] *βάπτισμα, τὸν μετανοοῦντα πληροῦντος ἁγίου πνεύματος καὶ θειοτέρου πυρὸς πᾶν ὑλικὸν ἀφανίζοντος καὶ πᾶν γεῶδες ἐξαναλίσκοντος* Or.*Jo.*6.32(17; p.141.27; M.14.256A); *τῆς σ. ἐπιφανείας* [i.e. of Christ] Ath.*inc.*20.1(M.25.129C); *σάρκα γεγονότα... ἄνευ μεταβολῆς καὶ μειώσεως, ἄνευ σ. ἀλλοιώσεως* Sophr.H.*or.*2.36(M. 87.3265A); used only met. of God *ἐὰν ἐκ γαστρὸς ἡ γραφὴ λέγῃ, οὐ σ. δεῖ ταύτην ἐκδέχεσθαι* ‡Ath.*Ar.*4.27(p.75.17; M.26.509C); *μηδὲ στόμα θεοῦ σ.* Didym.(‡Bas.)*Eun.*5(1.306E; M.29.736B); of communion with God *τῆς πρὸς αὐτὸν ἐχόμενοι κοινωνίας, οὐχὶ μόνον πνευματικῆς ἀλλὰ καὶ σ.* Cyr.*Jo.*10.2(4.864A); neut. as subst., *bodily nature ἐκ τούτου μὲν γὰρ τὸ σ. τοῦ κυρίου σημαίνεται, ἐξ ἐκείνων δὲ τὸ ἀΐδιον τῆς θεότητος αὐτοῦ* Ath.*Dion.*20(p.61.12; M.25.209A); plur. *οἱ μὲν τὰ σ. βλέποντες τοῦ σωτῆρος* id.*ep.Serap.*4.15(M.26.657B); **2.** *having a body σ. ... ἐστιν οἰκήτωρ κόσμου* Tit.Bost.*Man.*2.2(M.18.1137A); **3.** *corporal σ. ὅρκον ὑποτελῶν ἐν τῇ παρ' αὐτοῦ γενομένῃ διαθήκῃ* Ath. Scholast.*coll.*9.4(p.101); *τὸν σ. ἐπὶ τῶν προκειμένων ἀχράντων τοῦ θεοῦ εὐαγγελίων καταβαλλόμενοι ὅρκον* CCP(681)*act.*10(H.3.1248E); *ib.*13 (1352A); **4.** *bodily, fleshly, sexual σαρκικῶν καὶ σ. ἐπιθυμιῶν Did.*1.4; *ὁ Αὔγουστος...σωφρονήσας ἀπὸ σ. ἁμαρτίας* Jo.Mal.*chron.*10 p.232 (M.97.357B); neut. as subst. *κακῶς βιοῦντες πρὸς τὰ σ. ib.*18 p.436 (644A); **5.** *concerned with corporeal* or *earthly things*; **a.** of things and abstracts, usu. opp. *πνευματικός: οὐ τὰς σ. ... πράξεις...ἀλλὰ... τὰς πνευματικάς* Or.*Cels.*4.44(p.317.19; M.11.1101A); *σ. περιτομῆς καὶ σ. σαββάτου καὶ σ. ἑορτῶν καὶ σ. νουμηνιῶν ib.*2.7(p.133.13; 805A); *ὑπεράνω μὲν τῶν αἰσθητῶν καὶ πάσης σ. φαντασίας γινόμενος, πρὸς δὲ τὰ ἐν οὐρανοῖς θεῖα καὶ νοητὰ τῇ δυνάμει τοῦ νοῦ συναπτόμενος* Ath. *gent.*2(M.25.8A); *εἰς γάμον σ. κληθεὶς* [i.e. at Cana] Cyr.H.*catech.* 22.2; *τὸ δὲ πλῆθος τῆς σ. δυνάμεως ἐμπόδιόν ἐστι πρὸς τὴν σωτηρίαν τοῦ πνεύματος* Bas.*hom.in Ps.*32(1.141B; M.29.343C); *'ὁ λόγος ὁ σὸς ἀλήθειά ἐστι'· τουτέστι, οὐδὲν ψεῦδος ἐν αὐτῷ...καὶ ὅτι οὐδὲν τυπικὸν δηλοῖ πάλιν, οὐδὲ σ.* Chrys.*hom.82.1 in Jo.*(8.484A); *οὐκ ἔστι* [sc. fasting] *σ. γυμνασία, ἀλλὰ πνευματική* id.*hom.12.2 in 1Tim.*(11. 612A); *σ. ἔννοιαι* Cyr.*Jo.*3.6(4.320C); **b.** of persons, *earthly-minded ὁ σ. θεολόγος* Gr.Nyss.*Eun.*10(2 p.190.16; M.45.785A); *τοῖς σ. Ἰουδαίοις* ‡Chrys.*pasch.*4(8.260B); **c.** neut. plur. as subst., *earthly things,* Clem.*ecl.*11(p.139.26; M.9.704A); *ἐλθὼν οὐκ εἰρήνην ἐπὶ τὴν γῆν, τοῦτ' ἔστιν ἐπὶ τὰ σ. καὶ αἰσθητά, βαλεῖν ἀλλὰ μάχαιραν* Or.*Jo.*1.32 (36; p.40.32; M.14.85A); *οἱ ἐν σ. νοοῦντες εἶναι τὸν θεόν* Ath.*inc.*15.2 (M.25.121D); *οὐκ ἀργήσεις σωματικῶν, ἵνα ἄρῃς πνευματικά;* Cyr.H. *procatech.*6; *διὰ τῶν σ. αὐτοὺς ἐπὶ τὰ πνευματικὰ ποδηγεῖ* Thdt.*qu. 36 in Ex.*(1.148); **6.** *concrete, physical*; **a.** in gen. *ἐὰν λάβῃς τὰς φυλὰς ταύτας σωματικάς...ποῦ ιβ' χιλιάδας εὕροις;* Or.*Apoc.*32(*JTS* 25 p.10); *ποῖος γὰρ σ. δράκων ἐν τῷ σ. τῆς Αἰγύπτου ποταμῷ ὀφθεὶς ἱστόρηταί ποτε;* id.*Jo.*6.48(29; p.157.12; M.14.284B); *διὰ τοῦτο ζῶντές εἰσιν Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, ἐπεὶ καὶ αὐτοὶ συνταφέντες τῷ Χριστῷ συνανέστησαν αὐτῷ, οὐ πάντως κατὰ τὴν σ. τοῦ Ἰησοῦ ταφὴν ἢ σ. ἀνάστασιν αὐτοῦ ib.*20.12(p.342.20f.; 600C); *εἰ ὁ εὐαγγελιζόμενος 'ἀγαθὰ εὐαγγελίζεται', πάντες δὲ οἱ πρὸ τῆς σ. Χριστοῦ ἐπιδημίας Χριστὸν εὐαγγελίζονται ὄντα 'τὰ ἀγαθά' ib.*1.15(p.19.18; 49A); *ταῦτα τροπικῶς λέγεται εἰς παράστασιν τὴν ἀπὸ τῶν συνήθων καὶ σ. ὀνομάτων τῆς νοητῆς φύσεως* id.*Cels.*6.70(p.140.3; M.11.1404C); **b.** *external,* of Jewish worship *'μόδιον' δὲ συμβολικῶς κέκληκε τὴν συναγωγὴν τῶν Ἰουδαίων καὶ τὴν σ. τοῦ νόμου λατρείαν τῶν πάλαι ἐν τῷ γράμματι συμβόλων id.fr.12 in Lc.*(p.238); *τῆς ἐν τῷ τόπῳ σ. λευϊτικῆς καὶ ἱερατικῆς λατρείας* id.*Jo.*28.12(11; p.402.22; M.14.704B); *τὴν παραίτησιν τῆς κατὰ τὸν Μωσέως νόμον σωματικωτέρας λατρείας διδάσκει* Eus.*d.e.*6.3 (p.255.5; M.22.420A); of words opp. writing *ἐκ νοὸς εἰς νοῦν, διὰ μέσου λόγου, σωματικοῦ μέν, ἀυλοτέρου δὲ ὅμως, γραφῆς ἐκτός* Dion. Ar.*e.h.*1.4(M.3.376C); **c.** *literal, actual*; **i.** ref. interpretation of scriptures *ἢ προϊέμενος τὰ τέσσαρα εἶναι ⟨ἐρεῖ τ'⟩ ἀληθὲς αὐτῶν οὐκ ἐν τοῖς σ. χαρακτῆρσιν* Or.*Jo.*10.2(2; p.173.31; M.14.312B); *προέκειτο... αὐτοῖς* [sc. the evangelists] *ὅπου μὲν ἐνεχώρει ἀληθεύειν πνευματικῶς ἅμα καὶ σωματικῶς, ὅπου δὲ μὴ ἐνεδέχετο ἀμφοτέρως, προκρίνειν τὸ πνευματικὸν τοῦ σ., σωζομένου πολλάκις τοῦ ἀληθοῦς πνευματικοῦ ἐν τῷ σ., ὡς ἂν εἴποι τις, ψεύδει ib.*10.5(4; p.175.19; 313C); *οἱ Ἰουδαῖοι τὰ βάθη τῶν γραφῶν μὴ συνηθημένοι καὶ πάντα σ. τὸν νόμον ἡγούμενοι καὶ τοὺς προφήτας εἰρηκέναι* Meth.*symp.*9.1(p.115.6; M.18.180A); *ὅταν ἀκούω 'ἄμπελον ἐξ Αἰγύπτου μετῆρας', οὐκ ἄμπελον σ. περιβλέπομαι, ἀλλὰ τὸν λαὸν νοῶ* ‡Ath.*dial.Trin.*3.27(M.28.1245A); *τῆς σ. τῶν ὀνομάτων ἐμφάσεως* Gr.Nyss.*Eun.*8(2 p.187.12; M.45.781B); Cyr.*Am.*5(3.258D); **ii.** *literal-minded*; of the Jews, Or.*comm.in Mt.*11.12(p.52.30; M.13.940C); id.*Jo.*10.15(12; p.185.25; M.14.332C); *οἱ σ. καὶ τοῖς αἰσθητοῖς φίλοι δοκοῦσίν μοι νῦν διὰ τῶν Ἰουδαίων δηλοῦσθαι ib.*10.38(20; p.209.5; 369C); **iii.** neut. as subst., *literal sense* of scripture, v. *γραφή, ἔνδυμα; κατὰ τὸ σ. literally ἐκ τῆς 'διψῆν' φωνῆς καὶ ἐκ τῆς 'πεινῆν' κατὰ τὸ σ. δύο σημαινόμενα ib.*13. 2(p.227.15; M.14.401A); *κατὰ τὸ σ. οὐ πάντες ἄνθρωποι σπέρμα εἰσὶν*

τοῦ Ἀβραάμ *ib.*20.2(p.328.13; 573C); opp. κατὰ τὴν ἀναγωγήν, *ib.* 32.27(17; p.472.24; 816D); τὸ σ. ἐκβαλών, τὸ πνευματικὸν πληροῦν ἐπαγγέλλεται Proc.G.*Is.*1:11–15(M.87.1485D); **d.** ? *factual* ἀναγκαῖον πνευματικῶς καὶ σωματικῶς Χριστιανίζειν· καὶ ὅπου μὲν χρὴ τὸ σ. κηρύσσειν εὐαγγέλιον, φάσκοντα 'μηδὲν εἰδέναι' ⟨ἐν⟩ τοῖς σαρκίνοις 'ἢ Ἰησοῦν Χριστὸν καὶ τοῦτον ἐσταυρωμένον', τοῦτο ποιητέον Or.*Jo.* 1.7(9; p.13.4; M.14.37B); **e.** *solid* τὰ σ. τοῦ κόσμου στοιχεῖα Iren. *haer.*1.4.2(M.7.484A); **f.** *material* εἰκονίζονται μὲν οὖν σωματικῶς, ὡς εἰκόνισε Μωϋσῆς τὰ χερουβίμ, καὶ ὡς ἐωράθησαν τοῖς ἀξίοις, ἀλλ' ἀσώματον καὶ νοητήν τινα θεωρίαν δηλούσης τῆς σ. εἰκόνος Jo.D. *imag.*3.24(M.94.1344B).

σωματικῶς, 1. *in bodily form*; **a.** in gen. ἐκθεοῦνται τοῖς ἀνθρώποις καὶ σ. ἀναπλάττονται, Δίκη τις καὶ Κλωθώ κτλ. Clem.*prot.*2(p.19.27; M.8.96B); Ἀβραὰμ εἶπεν...· σ. ἤθελον ἀναληφθῆναι *T.Abr.*B 7 (p.112.7); **b.** ref. Christ, at Transfiguration σ. ἐπεδείκνυτο πρὸς τὸ καὶ τοῖς θνητοῖς αὐτῶν εἰς θέαν ὑποπεσεῖν ὀφθαλμοῖς Or.*fr.22 in Lc.* (p.243) = Cyr.*Lc.*9:29(M.72.656B); in Inc. σ. παρὼν Ath.*inc.*18.2 (M.25.128A); Ἰησοῦς Χριστός, χθὲς καὶ σήμερον σ., ὁ αὐτὸς πνευματικῶς, καὶ εἰς τοὺς αἰῶνας Gr.Naz.*or.*30.21(p.144.2; M.36.133A); παρέδειξε σ., ὡς καὶ αὐτοῖς ὄμμασι καταθεᾶσθαι παρόν Cyr.*inc.unigen.* (5¹.703E); in glory ἐν δεξιᾷ τοῦ πατρὸς κεκάθικε σ. Jo.D.*f.o.*4.23(M.94.1205B); **c.** ref. H. Ghost at Pentecost ἔπρεπε...καὶ αὐτὸ φανῆναι σ. Gr.Naz.*or.*41.11(M.36.444C); **2.** *when in the body* κατὰ τὸν σ. ὑπὸ τοῦ κύριου διδαχθέντα τύπον Didym.(‡Bas.)*Eun.*5(1.303E; M.29.729A); **3.** *through the body* μὴ ἐνεργούσης ἔτι σ. τῆς ψυχῆς [i.e. in sleep] Clem.*paed.*2.9(p.207.22; M.8.496C); **4.** *by using bodily terms* μὴ τοίνυν διὰ τὰ σ. περὶ τοῦ θεοῦ λεγόμενα, ὡς ἐχώρουν οἱ παλαιοί, σῶμα τὸν θεὸν νομίζωμεν Or.*fr.4 in 1Reg.*(p.296.23; M.17.44D); Thdr.Mops. *Ps.*37:4(p.223.25); περὶ γὰρ τοῦ θεοῦ...σωματικώτερον ἔθος τῇ θείᾳ γραφῇ λαλεῖν Thdt.*Ps.*6:2(1.635); ὅσα τοίνυν περὶ θεοῦ σωματικώτερον εἴρηται, συμβολικῶς μὲν λέγονται· ἔχει δέ τινα ὑψηλοτέραν διάνοιαν ‡Cyr.*Trin.*12(6³.28A; M.77.1148A); **5.** *in respect of humanity*, opp. θεϊκῶς; of Christ, Cyr.*Jo.*11.12(4.1001E) cit. s. ἐν; **6.** *bodily*, exeg. Col.2:9 τὸ γὰρ σ. κατοικεῖν τὸν πατέρα καὶ τὸ πνεῦμα ἐν Χριστῷ, ἐπειδὴ σὰρξ γέγονεν ὁ λόγος ‡Dion.Al.*ep.Paul.Sam.*(p.32); '...σ.', ἐν τῇ σαρκὶ αὐτοῦ κατοικεῖν πᾶν τὸ πλήρωμα τῆς θεότητος νοητέον Ath.*inc.et c.Ar.*4(M.26.989C); 'σ.'· τουτέστιν οὐσιωδῶς Didym.*Trin.* 1.27(M.39.401B); φασὶν ὅτι τὴν ἐκκλησίαν λέγει πεπληρωμένην ὑπὸ τῆς θεότητος αὐτοῦ...τὸ δὲ σ. ὡς ἐν κεφαλῇ σῶμα Chrys.*hom.6.1 in Col.*(11.366E); ἡ ἐκκλησία πλήρης ἐστίν, ἐν τῷ Χριστῷ δὲ κατοικεῖ σ., τοῦτ' ἔστιν ὡς σῶμα ἡνωμένον κεφαλῇ Sever.*Col.*2:9(p.322.8); but cf. τινὲς τῶν διδασκάλων ἐνταῦθα Χριστὸν τὴν ἐκκλησίαν ἔφησαν ὠνομᾶσθαι...οὐκ οἶδα δέ, εἰ καὶ σ. ἁρμόττει τῇ τοιαύτῃ τοῦ νοήματος θεωρίᾳ...σ., τουτέστιν ὡς ἐν ἰδίῳ σώματι Thdt.*Col.*2:9(3.485f.); 'σ.'· ἐγὼ δ' οἶμαι εἰρῆσθαι ἀντὶ τοῦ οὐσιωδῶς Isid.Pel.*epp.*4.160 (M.78.1256A); σ., ἵνα μὴ ἁπλῆν ἢ γοῦν σχετικὴν τὴν κατοίκησιν ὑποτοπήσειέ τις, ἀλλ'...ἀληθινήν τε καὶ καθ' ὑπόστασιν Cyr.*Nest.*1.8 (p.30.37; 6¹.28A); ἐν αὐτῷ φησι κατοικῆσαι πᾶν τὸ πλήρωμα τῆς θεότητος, οὐ μεθεκτῶς μᾶλλον ἢ σχετικῶς ἤγουν ὡς ἐν δόσει χάριτος, ἀλλὰ σ., ὅ ἐστιν οὐσιωδῶς, ὡς ἂν εἰ καὶ ἐν ἀνθρώπῳ λέγοιτο κατοικεῖν τὸ πνεῦμα αὐτοῦ, οὐχ ἕτερον ὂν παρ' αὐτόν id.*Pulch.*(p.37.19; 5². 144D); σ., ὅ ἐστιν οὐσιωδῶς Eutych.*pasch.*3(M.86.2396A); ἢ σ. νόει οἷον σεσαρκωμένος Oecum.*Col.*2:9(p.455.3); ἵνα μή τις νομίσῃ σχετικὴν εἶναι τὴν κατοίκησιν, ἢ συναπτικὴν ἁπλῶς, τούτου χάριν εἶπε 'σ.' ἀντὶ τοῦ οὐσιωδῶς Jo.D.*Col.*2:9(M.95.893B); 'σ.', τουτέστιν, ἐν τῇ σαρκὶ αὐτοῦ id.*f.o.*3.7(M.94.1004B); **7.** *in a corporeal* or *physical way*; **a.** Christ ἀληθῶς σ. ἀνέστη †Just.*fr.res.*(p.46; M.6.1589A); ἀναστρεφόμενος σ. *Ev.Thom.*B 1(p.158); παρθένος οὖσα ἐν γαστρὶ σ. παρὰ τὴν κοινὴν συνελάμβανε φύσιν, σ. μὲν ὡς ἐν σώματι, πνευματικῶς δὲ ὅτι ἄνευ κοινωνίας Or.*hom.7 in Lc.*(p.54.9,11); οὐδὲ...χωρίζομεν αὐτὸν τοῦ πατρός, τόπους καὶ διαστήματά τινα μεταξὺ τῆς συναφείας αὐτῶν σ. ἐπινοοῦντες *Symb.Ant.*(345)9 ap.Ath.*syn.*26(p.253.36; M.26. 733B); οἱ...τὸν Σαμοσατέα καθελόντες σ. ἐκλαμβάνοντες τὸ ὁμοούσιον Ath.*syn.*45(p.269.37; M.26.772C); οὐχὶ παρὼν τοῖς μαθηταῖς ὁ Χριστὸς σ. μόνον Chrys.*hom.43.1 in Jo.*(8.254D); τὸ...ἐν Βηθλεὲμ σ. γεννηθῆναι ‡Meth.*Sym.et Ann.*3(M.18.353A); **b.** ref. baptism τῇ δὲ ὕδατος φυσικῇ καθάρσει, σωματικώτερον αὐτῷ διαγγέλλουσα Dion.Ar.*e.h.*2.3. 1(M.3.397B); **c.** ref. man's union with Christ, esp. at eucharist γίνεται μὲν γὰρ ἐν ἡμῖν ὁ υἱός, σ. μὲν ὡς ἄνθρωπος, συνανακιρνάμενός τε καὶ συνενούμενος δι' εὐλογίας τῆς μυστικῆς Cyr.*Jo.*11.12(4.1001E); τὸν γὰρ φύσει τε καὶ ἀληθῶς υἱόν, οὐσιώδη πρὸς αὐτὸν ἔχοντα τὴν ἕνωσιν, λαβόντες ἐν ἑαυτοῖς καὶ σ. καὶ πνευματικῶς...τῆς ὑπὲρ πάντα φύσεως μέτοχοι καὶ κοινωνοὶ γεγονότες δεδοξάσμεθα *ib.*(1002B); διδασκέτω...τῆς μυστικῆς εὐλογίας τὴν δύναμιν. γίνεται γὰρ ἐν ἡμῖν διατί; ἆρ' οὐχὶ καὶ σ. ἡμῖν ἐνοικίζουσα τὸν Χριστὸν τῇ μεθέξει καὶ κοινωνίᾳ τῆς ἁγίας αὐτοῦ σαρκός; *ib.*10.2(862D); οὐ γὰρ ἦν ἑτέρως ζωοποιηθῆναι δύνασθαι τὸ φθεῖρεσθαι πεφυκός, εἰ μὴ συνεπλάκη σ. τῷ σώματι τῆς κατὰ φύσιν ζωῆς τουτέστι, τοῦ μονογενοῦς *ib.*(863B); τί μάτην ἡμῶν καταφλυαρεῖ, λέγων ὡς ἐπείπερ οὐ σ. τῆς πρὸς αὐτὸν κοινωνίας ἐξήμμεθα, πίστει δὲ μᾶλλον καὶ διαθέσει τῆς κατὰ τὸν νόμον ἀγάπης, οὐ τὴν σάρκα, φησί, τὴν ἰδίαν ἄμπελον ὠνόμασε, μᾶλλον δὲ τὴν θεότητα *ib.*(864A); ταῦτά φαμεν, οὐκ ἐπιχειροῦντες ἀναιρεῖν τὸ συνενοῦσθαι δύνασθαι τῷ Χριστῷ, διά τε πίστεως ὀρθῆς καὶ ἀγάπης εἰλικρινοῦς, ἀποδείκνυντες δὲ μᾶλλον ὅτι καὶ πνευματικῶς καὶ σ. ἄμπελος μέν ὁ Χριστός, κλήματα δὲ ἡμεῖς *ib.*(864B); ζωοποιούμεθα καὶ εὐλογούμεθα καὶ σ. καὶ πνευματικῶς id. *Lc.*22:19(M.72.903C); **8.** *corporeally, physically*, Eus.*h.e.*1.3.15(M.20. 73B); σ. ... χρισθέντα *ib.*1.3.18(73C); χιλιάδα τινά φησιν ἐτῶν ἔσεσθαι μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν, σ. τῆς Χριστοῦ βασιλείας ἐπὶ ταυτησὶ τῆς γῆς ὑποστησομένης *ib.*3.39.12(300A); **9.** *in a material way* εἰκονίζονται [sc. incorporeal beings]...σ., ὡς εἰκόνισε Μωϋσῆς τὰ χερουβίμ, καὶ ὡς ἐωράθησαν τοῖς ἀξίοις Jo.D.*imag.*3.24(M.94.1344B); **10.** *literally, in a literal sense*, usu. opp. πνευματικῶς, ref. scriptural exegesis ἀναγκαῖον πνευματικῶς καὶ σ. Χριστιανίζειν Or.*Jo.*1.7(9; p.13.4; M.14.37B); ἀληθεύειν πνευματικῶς ἅμα καὶ σ. *ib.*10.5(4; p.175.17; 313C); οἱ...ἁπλούστεροι καὶ ἀκεραιότεροι θαυμαζέτωσαν τὰ μεγαλεῖα τοῦ θεοῦ κατὰ ταῦτα· οἰκοδομεῖ γὰρ καὶ σ. νοούμενα id.*fr.15 in Lc.*8:41(p.239); ἡ Μάρθα σωματικώτερον ὑπεδέξατο τὸν λόγον..., ἡ δὲ Μαρία πνευματικῶς ἤκουεν αὐτοῦ *ib.*40(p.252); οὐδὲ περὶ τοῦ θρόνου τοῦ σωματικώτερον νοουμένου αἱ πρὸς Δαβὶδ ἦσαν ἐπαγγελίαι Eus.*qu. Steph.*15.3(M.22.929D); μηκέτι σ. ... ἀλλὰ πνευματικῶς διανοεῖσθαι περὶ τοῦ θεοῦ Ath.*ep.Serap.*4.10(M.26.668A); τῶν...σωματικώτερον τοῖς γεγραμμένοις ἐντυγχανόντων Gr.Nyss.*Eun.*7(2 p.154.28; M.45. 744A); τηρῆσαι σ. τὸ σάββατον †Bas.*Is.*23(1.397D; M.30.164B); οὐδὲ ...τὴν γῆν ὑποπόδιον τῶν ποδῶν αὐτοῦ πατουμένην σ. θέλει λέγειν περὶ θεοῦ, ἀλλ' ὡς ὑποκειμένην τῇ θεϊκῇ ἐξουσίᾳ Didym.(‡Bas.)*Eun.*5(3. 316C; M.29.757C); Epiph.*haer.*8.7(p.193.15; M.41.216B); Cyr.*Is.*2.4 (2.298B).

σωμάτιον, τό, 1. *body* (with no dim. sense), *M.Polyc.*17.1; Clem. *str.*7.7(p.36.15; M.9.468D); Pall.*h.Laus.*19(p.60.23; M.34.1067A); **2.** *slave* σ. πρίασθαι *Const.App.*2.62.4; **3.** *whole body*, met. προσαρμόσας τῷ τῆς ἀληθείας σ. Iren.*haer.*1.9.4(σωματείῳ M.7.548A); **4.** *book, volume* of parchment (opp. papyrus roll) πεντήκοντα σ. ἐν διφθέραις Const.ap.Eus.*v.C.*4.36(p.131.24; M.20.1185A); Bas.*ep.*261 (3.354E; M.32.861C); Mac.Aeg.*hom.*26.6(M.34.677B).

***σωματοβόρος**, *man-eating*, *Ep.Dor.*(M.88.1613C).

***σωματογραφέω**, *depict as having a body*, Thdr.Stud.*epp.*2.74(M. 99.1309C).

σωματοειδής (σωματώδης), *corporeal*; **1.** *in bodily form* σ. τὸ θεῖον ὑπολαμβάνουσιν Ath.*gent.*22(M.25.44C); **2.** *material*, **-τώδης,** Gr.Nyss.*Eun.*12(1 p.286.10; M.45.993D); **-τώδης,** id.*infant.*(M.46. 173A,B); **3.** *bodily* προσκυνήσεως Dion.Ar.*e.h.*2.2.3(M.3.393C); *ib.* 2.8.7(404B).

σωματοειδῶς (-τωδῶς), *in bodily form* εἰ τὴν ψυχὴν αὐτὴν σ. ὁ λόγος διέπλαττε Dion.Ar.*d.n.*9.5(M.3.913A); σ. τὰς ἀσωμάτους διαπλάττει Eustrat.*stat.anim.*19(p.496); *V.Chrys.*59(p.325.8); σὴν σωματωδῶς... ἐνδημίαν Jo.D.*carm.pent.*117(p.217; M.96.837C).

***σωματοκάπηλος, ὁ**, *slave-dealer*, Chrys.*hom.40.5 in 1Cor.*(10. 385B).

σωματοκτόνος, ὁ, *one who kills* or *mortifies the body* ἡμεῖς οὐκ ἐδιδάχθημεν σ., ἀλλὰ παθόκτονοι *Apophth.Patr.*(M.65.368A); ref. Mt.20:28 μὴ φοβηθῶμεν τοὺς σ. Thdr.Stud.*epp.*2.28(M.99.1197A).

σωματόμορφος, *in bodily shape* οἱ...σωματόμορφον τὸν θεὸν... δογματίσαντες Anast.S.*hex.*7(M.89.963C).

σωματοποι-έω, 1. *provide with a body*; **a.** in gen. συνέστηκεν...πρὸ τῶν δερματίνων σεσωματοποιῆσθαι χιτώνων τὸν ἄνθρωπον Meth.*res.*1. 39(p.283.6; M.41.1108A); πνεῦμα σεσωματοποιημένον *T.Sal.*4.4(σεβωμάτω (?) πεποιημένον M.122.1321A); **b.** *make into a body* ὁ τὸ εὐτελέστατον οὕτω σ. [sc. God] Cyr.H.*catech.*18.9; intrans. ἐξ ἀσωμάτων σ. Iren.*haer.*1.5.2(M.7.493A); **c.** *embody* ὁ δὲ σωτὴρ ἐπιδημήσας καὶ τὸ εὐαγγέλιον σωματοποιηθῆναι θελήσας τῷ εὐαγγελίῳ πάντα εὐαγγέλιον πεποίηκεν Or.*Jo.*1.6(8; p.11.5; M.14.33D); met., of words embodied in writing, of the writing on the wall τὸν λόγον...~εῖσθαι καὶ σχῆμα ἀνθρώπου ἀναλαμβάνειν Hipp.*Dan.*3.14.6; ὁ τῷ πνεύματι σωματοποιηθεὶς ἄνθρωπος χαρακτήρ Eust.*fr.in Pr.*8:22(M.18.677D); **d.** *consolidate, materialize* οὐδέ ἐστιν [sc. ἡ ξηρὰ ψυχή] κάθυγρος ταῖς ἐκ τοῦ οἴνου ἀναθυμιάσεσιν νεφέλης δίκην ~ουμένη Clem.*paed.*2.2(p.174. 16; M.8.425A); πίστις...βρώματι ἐπεικάζεται, ἐν αὐτῇ ~ουμένη τῇ ψυχῇ *ib.*1.6(p.112.28; 296A); οἱ Στρωματεῖς τῇ πολυμαθίᾳ ~ούμενοι id.*str.*1.2(p.14.9; M.8.709C); **e.** *depict in bodily form, represent in art* τὴν ἀσώματον ψυχὴν ~εῖ Eustrat.*stat.anim.*19(p.496); μὴ γὰρ εἶναι θεμιτὸν ἔλεγεν ὁ Ξεναίας ἀσωμάτους ὄντας ἀγγέλους ~εῖν Jo. Diacr.*fr.h.e.*ap.CNic.(787)*act.*5(H.4.305D); **2.** *make into bodily form,*

τοῦ φωτὸς μὴ διαιρῶμεν Ath.*decr.*24(p.20.5; M.25.457C); τὸ ὅμοιον οὐκ ἐπὶ τῶν οὐσιῶν, ἀλλ' ἐπὶ σχημάτων καὶ ποιοτήτων λέγεται ὅμοιον· ἐπὶ γὰρ τῶν οὐσιῶν οὐχ ὁμοιότης, ἀλλὰ τ. ἂν λεχθείη id.*syn.*53(p.276.26; M.26.788C); τὸ ὁμοιούσιον ἔδει λέγεσθαι...ἐπὶ τῶν σωμάτων, ἐφ' ὧν καὶ ὁμοιότης, τὸ δὲ ὁμοούσιον ἐπὶ τῶν ἀσωμάτων, ἐφ' ὧν ἡ τ. ‡Ath. *Maced.dial.*2(M.28.1336C); αὖτη δὲ ἡ φωνὴ [sc. ὁμοούσιος] καὶ τὸ τοῦ Σαβελλίου κακὸν ἐπανορθοῦται· ἀναιρεῖ γὰρ τὴν τ. τῆς ὑποστάσεως καὶ εἰσάγει τελείαν τῶν προσώπων τὴν ἔννοιαν Bas.*ep.*52.3(3.146A; M.32.393C); ὅμοιον γὰρ καὶ ἀνόμοιον κατὰ τὰς ποιότητας λέγεται· ποιότητος δὲ τὸ θεῖον ἐλεύθερον· ταυτότητα δὲ τῆς φύσεως ὁμολογοῦντες, καὶ τὸ ὁμοούσιον ἐκδεχόμεθα καὶ τὸ σύνθετον φεύγομεν Evagr.Pont.*ep.*3(M.32.249C); ref. indwelling of Trin. εἰ δὲ ναοὶ χρηματίζομεν, ἐνὸς...καὶ οὐ δύο θεῶν, ὅταν ἡμῖν ὁ πατὴρ καὶ ὁ υἱὸς ἐναυλίζωνται, ποῖος...λόγος συστέλλει πρὸς ἑνότητα τοὺς δύο, τῆς κατ' οὐσίας τ. οὐκ ἐχούσης τόπον; Cyr.*Jo.*10(4.832C); of second and third Persons *Χριστὸν*... τὸ πνεῦμα καλεῖ...οὐκ ἀλλότριον αὐτὸ δεικνύων τῆς τοῦ λόγου φύσεως, ἀλλ' οὕτως ἡνωμένον, εἰ καὶ ἔστιν ἰδιοσύστατον, ὡς αὐτό τε ὑπάρχειν ἐν υἱῷ, καὶ υἱὸν ἐν αὐτῷ διὰ τὴν τῆς οὐσίας τ. id.*thes.*33(5[1].334E); of identity of will between Father and Son, v. *βούλημα*; of operation ἡ τῆς ἐνεργείας τ. ἐπὶ πατρός τε καὶ υἱοῦ καὶ πνεύματος ἁγίου δείκνυσι... τὸ τῆς φύσεως ἀπαράλλακτον Gr.Nyss.*Trin.*7(p.80.4; M.32.693C); ἐπειδὴ...τὴν οὐσίαν αὐτοῦ ἰδεῖν ἀμήχανον ἦν, ἀπὸ τῆς τῶν ἔργων...τ. τὴν ἀπόδειξιν τῆς κατὰ τὴν δύναμιν ἀπαραλλαξίας παρέχεται Chrys. *hom.*6*1.2 in Jo.*(8.364C); τὸ ταυτὸν τῆς οὐσίας καὶ τῆς ἐνεργείας... τήν τε τῆς ἐξουσίας καὶ τῆς δυνάμεως...τ.· οὐκ εἶπον ὁμοιότητα, ἀλλὰ τ.· καὶ τὸ ἓν ἔξαλμα τῆς κινήσεως Jo.D.*f.o.*1.8(M.94.828C); **4.** Christol. τὴν γὰρ ποιηθεῖσαν τῆς ἀνθρωπότητος φύσιν μὴ τῇ ἑνώσει τοῦ λόγου εἶναι ἰδίαν, ἀλλὰ...τῇ τοῦ θεοῦ φύσει ἐξισουμένην τῇ τ. τῆς φύσεως ἐννοεῖν, ἀσεβές ‡Ath.*Apoll.*1.5(M.26.1100D); ταυτότητι ὑπάρξεως καὶ φύσεως κοινότητι ὥφθη ὁ κύριος *ib.*2.11(1149B); ὁ τεχθεὶς ἐκ τῆς παρθένου...ἄνθρωπος...ταυτότητι γνώμης αὐτῷ [sc. λόγῳ] συνημμένος Thdr.Mops.*fr.inc.*14(p.311.27; H.3.896B; cf.M.66.994A); *πιστεύειν*... εἰς τὸν...ἐγηγερμένον ἐκ νεκρῶν, οὐχ ὡς ἕτερον ὄντα παρὰ τὸν... λόγον, οὐχ ὅσον εἰς οὐσίας ταυτότητά φημι...ἀλλ' ὅσον εἰς τὸ τῆς ἀληθοῦς υἱότητος χρῆμα Cyr.*Jo.*9(4.763A); ἡ ἄκρα ἕνωσις καὶ τ. ἔχει καὶ ἑτερότητα· ἢ τ. οὐσιῶν καὶ ἑτερότητα προσώπων καὶ τὸ ἔμπαλιν. ...ἐπὶ τῆς...τριάδος τ. μέν ἐστιν οὐσίας· ἑτερότης δὲ προσώπων...ἐπὶ ...τοῦ ἀνθρώπου τ. μέν ἐστι προσώπου, ἑτερότης δὲ οὐσιῶν...ὁμοίως... ἐπὶ...Χριστοῦ τ. μέν ἐστι προσώπου, ἑτερότης δὲ οὐσιῶν· ἑνὸς γὰρ ὄντος προσώπου ἤτοι ὑποστάσεως, ἑτέρας οὐσίας ἐστὶν ἡ θεότης καὶ ἑτέρας ἡ ἀνθρωπότης Max.*opusc.*(M.91.145B); ὑποστατικῇ τ. ... αὐτὴν [sc. σάρκα] τοῦ προσλαβόντος λόγου θεώσαντος id.*ambig.*(M.91.1040C); ref. Transfiguration μένων...αὐτὸς ἐν τ. παρ' ὃ τὸ πρὶν ἐφαίνετο νῦν τοῖς μαθηταῖς ἑωρᾶτο φαινόμενος Jo.D.*hom.*1.12(M.96.564C).

B. *consistency, fixity, immutability,* in gen. τὰς γνωστικὰς ψυχὰς... ταυτότητι τῆς ὑπεροχῆς...τετιμημένας διαμένειν Clem.*str.*7 3(p.10.15; M.9.416C); Eus.*d.e.*4.3(p.154.6; M.22.257A); τῆς γνώμης ταυτότητι Max.*ambig.*(M.91.1044A); theol. ἐν τ. ... ἀγεννήτῳ ὁ ὢν αὐτὸς μόνος Clem.*str.*6.16(p.501.19; 364A); τὸν ὄντως θεὸν τὸν ἐν τ. τῆς δικαίας ἀγαθωσύνης ὄντα *ib.*7.3(p.12.2; 420B); τὸ θεῖον ἐν τ. ὑπάρχει καὶ οὐκ ἐπιδέεται προσθήκης οὐ δόξης οὐ προκοπῆς Epiph.*anc.*6(p.12.7; M. 43.25A); κάθηται...ἡ πάντων...δημιουργὸς σοφία τοῦτ' ἔστιν ἀκλόνητον ἔχει τὴν ἐν τ. διαμονήν Cyr.*Is.*1.4(2.102D); ἀπάντων ἐπέκεινα τῆς ἐπέκεινα πάντων ὅλης ἰδιότητος ταυτότητος Dion.Ar.*d.n.*2.4(M.3. 641A); οἱ θεῖοι νόες...ἀνεκφοιτήτως μένουσιν ἐν τ. περὶ τὸ τῆς ταυτότητος αἴτιον καλὸν καὶ ἀγαθὸν ἀκαταλήκτως περιχορεύοντες *ib.*4.8 (705A); ref. BMV ἡ...ταύτης γαστὴρ...ἐν ταυτότητι διαμείνασα τῆς παρθενίας ‡Meth.*Sym.et Ann.*4(M.18.356C).

C. *unity, harmony* τὴν τῶν δογμάτων τ. Or.*Cels.*7.59(p.208.25; M.11.1505A); in created order, Didym.*Trin.*2.1(M.39.452B); Max. *ambig.*(M.91.1189A); among Christians, Clem.*str.*2.9(p.135.11; M.8. 977B); in OT, *ib.*3.2(p.199.20; 1109A); *interdependence* of knowledge of God and eternal salvation, *ib.*4.22(p.308.30; 1348A).

D. plur., *repetitions* ἀνέπλασαν κατὰ περιόδους ταυτότητας Or. *Cels.*4.12(p.282.13; M.11.1041B).

***ταὐτοτρόπως,** *in the same manner* as τ. ... τοῦ διδασκάλου Geo. Pis.*carm.*24.3(p.52).

***ταυτουργείς,** *ὡς τῷ θεῷ καὶ πατρὶ τ., εἶπε* Hesych.H.*fr.Ps.* 40:11(M.93.1193C); prob. error for *ταυτουργός.*

***ταὐτουργία, ἡ,** v. **ταὐτοεργία.*

***ταὐτουργός,** *performing the same work,* ‡Hipp.*Ber.Hel.*3(p.323. 28; M.10.836B); *ib.*5(p.324.13; 836D) cit. s. *ταὐτοπαθής*; *ταύτην* [sc. blessing of chrism] *οἱ θεῖοι καθηγεμόνες...ὡς ὁμοταγῆ καὶ τ. τῷ συνάξεως ἱερῷ τελεστηρίῳ...διετάξαντο* Dion.Ar.*e.h.*4.3.3(M.3.476C); of H. Ghost in rel. to Father, Jo.D.*hom.*4.4(M.96.605A) cit. s. *ταὐτοτελής.*

***ταὐτούσιος,** v. **ταὐτοούσιος.*

***ταὐτοφυής,** *of the same nature ποῖον ἴστε ἱερέα τ. τῷ ἱερατευομένῳ ποτέ;* Leont.H.*Nest.*5.4(M.86.1728D).

***ταυτωνυμία, ἡ,** *identity of name ἕνωσιν γεγενῆσθαι λέγοντες οὐ κατὰ...σύγχυσιν...φάσκομεν· οὐδ' αὖ πάλιν...κατ' ἀξίαν ἢ...τ., ὡς ὁ Νεστόριος...ἔφη* Jo.D.*Jacob.*81(M.94.1480A).

ταὐτώνυμος, *called by the same name,* ‡Caes.Naz.*dial.*128(M.38. 1025).

ταφεών, ὁ, *burial-place,* met. τ. *ψυχῶν* Eus.*v.C.*3.26(p.89.32; M. 20.1085C).

ταφή, ἡ, *burial,* of Christ *κατὰ τὴν σωματικὴν τοῦ Ἰησοῦ τ. ἢ σωματικὴν ἀνάστασιν αὐτοῦ* Or.*Jo.*20.12(p.342.21; M.14.600C); *οὐ* [sc. the sinner] *χάριν μὴ φεισάμενος σταυρῷ καὶ θανάτῳ καὶ ταφῇ συνεχώρησεν παθεῖν...τὸν υἱὸν τὸν ἀγαπητόν Const.App.*2.24.3; *τῆς τριημερονύκτου τ.* Leont.B.*Nest.et Eut.*2(M.86.1336B); ref. observance of Holy Saturday *ἓν...μόνον σάββατον ὑμῖν φυλακτέον ἐν ὅλῳ τῷ ἐνιαυτῷ, τὸ τῆς τοῦ κυρίου τ., ὅπερ νηστεύειν προσῆκεν Const. App.*7.23.4; ref. baptism *τίς οὖν ὁ τρόπος τῆς τ.; καὶ τί ἐκ τῆς μιμήσεως χρήσιμον;* Bas.*Spir.*35(3.28E; M.32.129A); *μιμούμενοι τὴν τ. τοῦ Χριστοῦ διὰ τοῦ βαπτίσματος ib.*(29A; M.129B); *τὸ...ὕδωρ τοῦ θανάτου τὴν εἰκόνα παρέχει, ὥσπερ ἐν τ. τὸ σῶμα παραδεχόμενον ib.* (29C; M.129D); *τὸν...βαπτιζόμενον ἡ συμβολικὴ διδασκαλία μυσταγωγεῖ ταῖς ἐν τῷ ὕδατι τρισὶ καταδύσεσι τὸν θεαρχικὸν τῆς τριημερονύκτου τ. Ἰησοῦ...μιμεῖσθαι θάνατον* Dion.Ar.*e.h.*2.3.7(M.3.404B).

τάφιος, *for burial* τ. *ἀθόναις* Nonn.*par.Jo.*20:7(M.43.969A).

τάφος, ὁ, *tomb*; **1.** lit., ref. martyr cults *πάντα ἐπληρώσατε τ. καὶ μνημάτων* Juln.Imp.ap.Cyr.*Juln.*10(6[2].335C); of Christ's tomb *προσκυνοῦμεν...τὸν τ. τὸν ἅγιον, τὴν πηγὴν τῆς ἡμῶν ἀναστάσεως* Jo.D. *imag.*3.34(M.94.1353B); of a living tomb *κολακεύσατε τὰ θηρία, ἵνα μοι τ. γένωνται* Ign.*Rom.*4.2; *τίς ἂν...ἀνάστασιν πεπιστευκὼς* [*ἐπὶ*] *σώμασιν ἀναστησομένοις ἑαυτὸν παράσχοι τ.;* Athenag.*leg.*36.1(M.6. 969B); *ἦν Ἰωνᾶς...ἐν ζῶντι τ. φερόμενος* Bas.Sel.*or.*12.2(M.85.164A); as synon. with death *μετὰ τὸν τ. ... ὁ μέλλων...βίος* Thdt.*1Cor.*6:13 (3.197); **2.** of the womb *ἀναλογισώμεθα...ἐκ ποίου τ. καὶ σκότους ὁ πλάσας ἡμᾶς...εἰσήγαγεν εἰς τὸν κόσμον αὐτοῦ 1Clem.*38.3; Clem. *str.*2.18(p.163.23; M.8.1036A); **3.** met. *ἐὰν...περὶ...Χριστοῦ μὴ λαλῶσιν, οὗτοι ἐμοὶ στῆλαί εἰσιν καὶ τ. νεκρῶν* Ign.*Philad.*6.1; of temples of pagan gods, Clem.*prot.*3(p.34.6; M.8.132A); of body as tomb of soul, id.*str.*3.11(p.230.25; M.8.1177A); of sinful life, Or.*Jo.*20.37(29; p.378.6; M.14.631A).

ταχινός, *swift*; **1.** adverbially τ. ... *ἱκάνω* Nonn.*par.Jo.*14:18(M. 43.869B); comp., *ib.*13:27(864C); **2.** neut. as subst., Chrys.*hom.*54.5 *in Mt.*(7.554C).

***ταχύγουνος,** *swift-footed,* Nonn.*par.Jo.*6:20(M.43.796C); *ib.* 11:31(844B).

ταχυγράφος, ὁ, *shorthand-writer, Orac.Sib.*proem.; Or.*Jo.*6.2 (p.108.5; M.14.200C); Eus.*h.e.*6.23.2(M.20.576B); Bas.*ep.*134(3.226A; M.32.572A); τ. *βασιλικός* ‡Jo.D.*Artem.*2(p.152.22; M.96.1253B).

ταχυδινής, *whirling quickly,* Nonn.*par.Jo.*5:35(M.43.792A).

ταχυδρομέω, *run fast,* ptcpl. as subst., *courier,* Thphyl.*exc. gent.*5(p.481.34; M.113.941B).

ταχυδρόμος, *quickly running, A.Jo.*5(p.153.23); Ath.*v.Anton.*31 (M.26.889C); of ships, Geo.Pis.*Pers.*1.200(M.92.1211A); as subst., *courier, A.Thadd.*2(p.274.3); *Ep.Abg.*3(p.281.31); Epiph.*haer.*66.7 (p.28.13; M.42.40D); met., *swift messenger,* ‡Chrys.*concept.Jo. Bapt.*(2.795E).

ταχύμητις, *swift* or *hasty in counsel,* Nonn.*par.Jo.*1:47(M.43. 757C); *ib.*19:4(897C).

ταχυπετής, *quickly flying*; neut. as subst., *speed in flight,* Dion. Ar.*c.h.*15.8(M.3.337A).

***ταχυπήκοος,** *quick to obey*; of BMV, ‡Hipp.Th.*fr.*17(p.50.3).

ταχυπλοέω, *sail fast,* Cosm.Ind.*top.*2(M.88.89A).

ταχύποτμος, *bringing death soon τ. ἐὴν* [sc. of Christ] *αὐτάγρετον ὥρην* Nonn.*par.Jo.*7:33(M.43.809C).

***ταχύρεμβος,** *quickly-moving,* Eudoc.*Cypr.*2.147(M.85.852A).

ταχύς, neut. as subst., *fleetingness, quickness to perish,* Alex.Lyc. *Man.*25(p.37.23).

***ταχυσυγχώρητος,** *quickly forgiven,* Jo.Jej.*canonar.*2(p.438); †Jo.Jej.*poenit.*(M.88.1904D).

***ταχυτέρως,** adv. formed from comp. of *ταχύς, more quickly,* Hipp.*haer.*1.9(p.15.28; M.16.3036C).

***ταχυφάρμακον, τό,** *speedy cure τούτων οἱ μώλωπες τῷ τῆς μετανοίας τ. καθαίρονται* Chrysipp.*enc.in Mich.*(p.92.32).

[*]τεάφιον, τό, = *θειάφιον, sulphur ἐξῆλθεν ὁ δαίμων...καὶ ἐπλήρωσε...τὸν τόπον δυσωδίας ὡς καιομένου τ.* Cyr.S.*v.Euthym.*24 (p.37.27); *Contrad.*2(p.9).

***τεθεωρημένως**, **1.** *with circumspection, carefully,* Or.*Cels.*1.26 (p.78.9; M.11.709B); id.*Jo.*20.36(29; p.377.8; M.14.660B); Meth.*symp.* 3.12(p.40.14; M.18.77D); **2.** *deliberately, of set purpose* τ. παλλακὰς προσηγόρευσε τὰς ψυχὰς τὰς προφητικὰς ὁ λόγος *ib.*7.4(p.75.22; 129D); id.*lepr.*9(p.463.12); **3.** *spiritually* ὁ...λόγος...τ. ἐκλαμβανόμενος Bas.*hex.*3.9(1.31E; M.29.76B); τ. προφέρειν...τὰ ἀρετῆς... ἐπίχειρα Didym.*Trin.*1.20(M.39.369C).

***τεθήμερος**, v. *τετραήμερος.*

***τεῖσις**, **ἡ**, *stretching,* noun formed from verb *τείνω* (fut. *τενῶ*) and introduced to justify spelling *Τιτάν* with diphthong *Τειτάν,* Oecum.*Apoc.*13:18(p.158).

τειχίζω, *build a wall (around)*; met., *fortify τῇ πίστει καὶ ταῖς εὐχαῖς καὶ νηστείαις ἐτείχιζε τὸ σῶμα* Ath.*v.Anton.*5(M.26.848B); perf. pass. *τετειχισμένοι τῷ σημείῳ τοῦ σταυροῦ ib.*13(864A); *τὸν νόμον ᾧ τετειχίσμεθα* Gr.Naz.*or.*15.5(M.35.920B); *Didasc.Jac.*5.20(p.91.9).

τεῖχος, **τό**, *wall*; fig., of the teeth, Geo.Pis.*carm.vit.*46(p.53); met. *τῷ τ. τῆς ὑπομονῆς* Innoc.*ep.cler.*(M.52.538); τ. δὲ ὁ κύριος, *ὡς πολλάκις εἴρηται* Oecum.*Apoc.*21:19(p.242).

***τεκνάδελφος**, **ὁ**, *brother's son, nephew, Apophth.Patr.*(M.65. 101B); Ath.Scholast.*coll.*9.10(p.104).

***τεκνάρπαξ**, *snatching children,* Geo.Pis.*Sev.*372(M.92.1649A).

***τεκνοβόρος**, *devouring one's own children*; of Cronos, *Hom. Clem.*5.23.

τεκνογον-έω, *bear children γαμοῦσιν* [sc. Christians] *ὡς πάντες, ~οῦσιν, ἀλλ' οὐ ῥίπτουσι τὰ γεννώμενα Diogn.*5.6; *τὸ μὲν γὰρ εἰς παρθενίαν...προκόψαι τὸν ἄνθρωπον...δοκεῖ μοι καλῶς διελέσθαι, τὸ δὲ μηκέτι χρῆναι λέγειν τοὐντεῦθεν ~εῖν οὐ καλῶς* Meth.*symp.*2.1(p.15.8; M.18.48B); as aim of marriage, Cyr.H.*catech.*4.25.

***τεκνογονικόν**, **τό**, *faculty of begetting children κατ' εἰκόνα... λέγεται πᾶς ἄνθρωπος κατὰ τὸ τοῦ νοὸς ἀξίωμα...ἤτοι τὸ ἀκατάληπτον ...νὰ μὴν καὶ τὸ ἀρχηγὸν καὶ τ. καὶ οἰκοδομικόν* Jo.D.*spir.neq.*(M.95. 97A); Ephr.3.433B.

***τεκνοθυσία**, **ἡ**, *sacrifice of children,* Ath.*gent.*25(M.25.49C); Dam. *troph.*1.1(p.193.5).

***τεκνοθύτης**, **ὁ**, *sacrificer of children,* Leont.N.ap.Jo.D.*imag.*3(M. 94.1388A).

τεκνοκτονέω, *murder children,* Clem.*str.*8.9(p.97.17; M.9.596A).

***τεκνοκυΐσκ-ω**, *beget, procreate children μετὰ γὰρ τὸ προφητεῦσαι Μωϋσῆν...οὐκέτι ~ει* Epiph.*ep.Arab.*ap.*haer.*78.16(M.42.724D; *τέκνα κυΐσκει* p.466.21).

***τεκνολογία**, **ἡ**, *list of children,* Cyr.*glaph.Gen.*1(1.22A).

τεκνοποι-έω, **1.** act., *beget children*; of Son (Arian) *ἀρχὴν δὲ τὸν υἱὸν ἔθηκε τῶν γενητῶν ὁ ἄναρχος καὶ ἤνεγκεν εἰς υἱόν, ἑαυτῷ τόνδε τεκνοποιήσας* Ar.*Thal.fr.*2.7(p.217)ap.Ath.*syn.*15(p.242.15; M.26. 705D); **2.** *adopt as a child*; med., Pall.*h.Laus.*5(p.22.10; M.34.1018B); Jo.Mal.*chron.*16 p.401(M.97.593B); of Church *θυγατέρα αὐτὴν προσαγορεύων, οἱονεὶ ~ούμενος αὐτὴν διὰ τῆς ἀγάπης* Bas.*hom.in Ps.*44 (1.167C; M.29.403A); pass. *ἦσαν...καὶ ἐν τῇ παλαιᾷ υἱοὶ...διὰ τοῦ υἱοῦ ~ούμενοι* ‡Ath.*Ar.*4.29(p.77.24; M.26.513A); pass. *αὐτῆς* [sc. Creation] *μετὰ πάντων τῶν τεκνοποιηθέντων πρωτότοκος ὁ κύριος* Ath. *Ar.*2.63(M.26.281C).

***τεκνοσφαγία**, **ἡ**, *child-slaughter,* Cyr.*ador.*1(1.15B).

***τεκνοτρεφής**, *bringing up children*; neut. as subst., Thdr.Stud. *epp.*2.144(M.99.1452C).

***τεκνοτρόφος**, *bringing up children,* ‡Chrys.*hom.3.4 in Gen.*(6. 551D).

***τεκνοφαγέω**, *eat children*; of Cronos, ‡Just.*or.Gr.*2(M.6.232B).

τεκνοφαγία, **ἡ**, *eating of children,* Athenag.*res.*4(p.52.19; M.6. 981C); Gr.Nyss.*virg.*3(p.266.5; M.46.336C); Cyr.*Jo.*5.4(4.517C).

τεκνοφάγος, *eating children*; of Cronos, Thphl.Ant.*Autol.*3.3(M. 6.1125A).

***τεκνοφόρος**, *child-bearing,* of BMV *ἡ μόνη πασῶν παρθένων τ.* Thdr.Stud.*nativ.BMV* 7(M.96.689B).

***τεκτονάρχης**, **ὁ**, *chief carpenter, craftsman,* of God *οὗτος γὰρ ὁ γεννώμενος τέκτων, ὁ τοῦ τ. παῖς, τὸν τρισύστατον οὐράνιον ὄροφον ἐτεκτόνησε πανσόφοις τέχναις Pers.*(p.12.18; M.10.101A).

τεκτονεύω, *forge* a shield, Geo.Pis.*carm.*1.40.

***τεκτόνημα**, **τό**, *fabrication τὴν ὕλην...κακίστην καλεῖ* [sc. Marcion] *καὶ τὸν κόσμον τοῦ πονηροῦ τεκτόνημα* Tim.CP *haer.*(M.86.16A).

τεκτονική, **ἡ**, [sc. *τέχνη*], *joiner's work, carpentry,* met. τ. *ἐστι κατὰ πνεῦμα ἡ πρακτικὴ τῶν ἀγαθῶν ἀρετῶν ἐργασία* Or.*exp.in Pr.* 11:27(M.17.192C).

τέκτων, **ὁ**, *craftsman*; met., *worker, agent τ. αὐτῷ καὶ θιάσωτας... προχειρισάμενος* [sc. *ὁ δαίμων*] Anast.S.*haer.*(p.259).

***τελειοδύναμος**, *of perfect power,* Dion.Ar.*d.n.*8.7(M.3.896A).

τελειοποιέω, *make perfect,* Max.*schol.c.h.*3.1(M.4.49A).

***τελειοποιός**, **1.** *perfecting τὰ...τ. τῆς εἰς Χριστὸν πίστεως διδάγματα* Meth.*creat.*1(p.494.8; M.18.332A); *πνεῦμα ἅγιον...τὴν πηγὴν τῆς ἁγιότητος,...χάριν τ., δι' οὗ υἱοθετεῖται ἄνθρωπος* Bas.*ep.*105 (3.200B; M.32.513B); *χωρὶς ἀγάπης καὶ ἡ τῶν...χαρισμάτων...ἐνέργεια καὶ ἡ τ. ἐντολὴ ἀνωφελής* †Bas.*bapt.*1.2.24(2.646B; M.31.1565D); *καλεῖται...θεὸς καὶ ἐν τρισὶ τοῖς μεγίστοις ἵσταται, αἰτίῳ καὶ δημιούργῳ καὶ τ.· τῷ πατρί, λέγω, καὶ τῷ υἱῷ καὶ τῷ...πνεύματι* Gr.Naz.*or.*34.8 (M.36.249A); *τελειότατον...καὶ τ., ὃν* [sc. *νόμον*] *αὐτὸς θεσμοθετεῖ, ἀγαπᾶν...διδάσκων* Arsen.*lent.*(M.66.1624D); of spiritual joy, Diad. *perf.*60(p.66.24); of wisdom, ‡Proc.G.*Pr.*2:6(M.87.1236B); *ἡ τῆς ψυχῆς...ἐκθεωτικὴ καὶ τ. ... κατάστασις* Max.*myst.*22(M.91.697B); of eucharist *τοῦ τελειοτάτου καὶ τ. τῶν θυσιῶν δώρου* id.*schol.epp.Dion. Ar.*8.6(M.4.556A); **2.** partic., *consecrating, sanctifying,* Gr.Naz.*or.*40. 26(M.36.396C).

***τελειοπρόσωπον**, **τό**, *perfection* or *completeness of person,* ref. Christ *ἐν τῷδε οὐδὲ τὸ ὁμοούσιον τῶν ὑποστάσεων τοῦδε, οὔτε τὸ τ. τῶν ἰδικῶν δυνάμεων ὅμοιον ἡμῖν* Leont.H.*Nest.*1.52(M.86.1521B).

***τελειοπώγων**, *having a perfect beard,* Jo.Mal.*chron.*12 p.311(M. 97.468B).

τέλειος, **I.** *perfect*;

A. ref. God; **1.** in gen. *οἱ...ἐφιέμενοι τῆς τοῦ τ. θεοῦ γνώσεως τελειοτέραν διὰ τῶν ἀγώνων ἐν ἡμέρᾳ κρίσεως τὴν μαρτυρίαν λάβωσιν* Tat.*orat.*12(p.13.27; M.6.832C); *ὁ τ. θεὸς ib.*15(p.16.20; 837B); *ib.*17 (p.19.18; 844C); *πάντα γὰρ ὁ θεὸς ἐστιν αὐτὸς αὑτῷ...κόσμος τ.* Athenag.*leg.*16.2(M.6.920D); τ. δὲ *ὢν* [sc. *θεός*] *τέλεια χαιρεῖται* Clem. *paed.*1.6(p.105.29; M.8.281A); *ὁ θεὸς...τ. μόνος ib.*1.10(p.145.25; 361A); **2.** ref. Creation *οὐχὶ τ. πάντῃ δι' ἑαυτὸν καὶ ἀπροσδεής...τὸ γὰρ αὐτὸ δι' ἑαυτὸ ἑαυτοῦ πλήρωμα ὂν καὶ αὐτὸ ἐν ἑαυτῷ μένον, τ. εἶναι τοῦτο μόνον δοξαστέον;...οὐκ ἄρα τ. φατέον...διὰ κόσμον τὸν θεόν; οὗ, ὅπως δι' ἑαυτόν, ἀλλὰ μὴ διὰ κόσμον...αὐτὸς καθ' ἑαυτὸν τ. εὑρίσκοιτο* Meth.*creat.*3(p.495.1–25; M.18.333C–336A); cf.*ib.*7(p.497.31ff.; 340A); *εἰ τ. τότε νοοῦμεν τὸ τ. ὅτε πάντα κέκτηται τέλεια, τ. δὲ ἄκρως τὸ καθ' ὁτιοῦν προσθήκην ἢ αὔξησιν μὴ δεχόμενον, πῶς ὁ θεὸς μὲν προϋπάρχων τῆς κτίσεως, ὕστερον δὲ τὴν κτίσιν ποιησάμενος, οὕτω θεὸς τὸ δημιουργὸς ὄνομά τε καὶ πρᾶγμα προσέλαβε, καὶ ἐκ τοῦ θεὸς εἰς τὸ καὶ δημιουργὸς εἶναι τὴν αὔξησίν τε καὶ τὴν γένεσιν δέδεκται;...ἐπειδὴ οὖν τὸ τ. τοῦ θεοῦ ἐν τῷ αὐτὸ εἶναι, διὰ τοῦτο οὐκ αὔξει αὐτὸν τὸ ἄλλου εἶναι. καὶ καθάπερ τὸ ἀρχὴν εἶναι ἀριθμοῦ οὐδὲν συντελεῖ τῷ ἑνὶ πρὸς τὴν αὐτοῦ τελειότητα (καὶ γὰρ μὴ ὄντος αὐτοῦ ἀρχῆς ἀριθμοῦ, τ. ἦν...) οὕτως καὶ ὁ θεὸς πρὸ τῆς κτίσεως ἦν τ., καὶ μετὰ τὴν κτίσιν οὐκ ηὐξήθη* ‡Just.*qu.et resp.*113(M.6.1361B,C); *τ. ... ἐστιν οὐ μόνον ὡς αὐτοτελές, καὶ καθ' ἑαυτὸ ὑφ' ἑαυτοῦ μονοειδῶς ἀφοριζόμενον, καὶ ὅλον δι' ὅλου τελειότατον, ἀλλὰ καὶ ὡς ὑπερτελὲς κατὰ τὸ πάντων ὑπερέχον ...τ. δ' αὖ λέγεται καὶ ὡς ἀναυξὲς καὶ ἀεὶ τ., καὶ ὡς ἀμείωτον, ὡς πάντα ἐν ἑαυτῷ προέχον, καὶ ὑπερβλύζον κατὰ μίαν τὴν ἄπαυστον... καὶ ἀνελάττωτον χορηγίαν, καθ' ἣν τὰ τ. πάντα τελεσιουργεῖ* Dion.Ar. *d.n.*13.1(M.3.977B,C); **3.** as Father, Alex.Al.*ep.Alex.*7(p.23.30; M. 18.557B) cit. s. *ἀνελλιπής*; *εἰ τ., φησίν* [sc. heretic], *ἔστιν ὁ πατὴρ ἐν τῇ οἰκείᾳ μεγαλειότητι καὶ οὐδὲν ἐλλείπει πρὸς τοῦτο τῇ αὐτοῦ φύσει, περιττῶς ὡς πλήρωμα τῆς θεότητος αὐτοῦ ὁ υἱὸς ἐπεισφέρεται. τ. μὲν ὁ πατὴρ ἐν τῇ ἑαυτοῦ μεγαλειότητι·...τ. δέ, οὐχ ὅτι μόνον ἐστὶ θεός, ἀλλ' ὅτι καὶ πατήρ. εἰ γὰρ ἀφέλοις τοῦ θεοῦ τὸ εἶναι πατέρα, ἀναιρήσεις τῆς θείας φύσεως τὸ καρποῦσθαι...φυσικὸν οὖν τῷ πατρὶ τὸ καρπογόνον, καὶ διὰ τοῦτο τ.* Cyr.*thes.*5(5.37C–38A); **4.** perfection of Logos; **a.** perfection as creature only *κτίσμα τοῦ θεοῦ τέλειον* Ar. *ep.Alex.*(p.12; M.26.709A); **b.** divine perfection admitted without assertion of *homoousion πιστεύομεν...εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν ...τ. ἐκ τ.* Symb.*Ant.*(341)2 ap.Ath.*syn.*23(p.249.15; M.26.721C); *Symb.Ant.*(341)3 *ib.*24(p.250.11; 724C); *εἰ καὶ ὑποτέτακται τῷ πατρὶ ...ἀλλ' ὅμως πρὸ αἰώνων γεννηθέντα ἐκ τοῦ θεοῦ θεὸν κατὰ φύσιν τ. εἶναι Symb.Ant.*(345)4 *ib.*26(p.252.31; 729C); **c.** full perfection of divinity upheld *εἷς ὁ λόγος, ἵνα τ. μόνος αὐτός* Ath.*decr.*17(p.14.10; M.25.'452'(444)C); *γέννημα τ. ἐκ τ.* id.*Ar.*2.35(M.26.221C); †Ath.*exp. fid.*3(M.25.204C); *ἐρέσθαι γὰρ αὐτοὺς δίκαιον, εἰ ὁ λόγος, ἐν τῷ θεῷ ὢν τ. ἦν, ὥστε καὶ ποιεῖν δύνασθαι. εἰ μὲν οὖν ἀτελὴς ἦν ἐν θεῷ ὤν, γεννηθεὶς δὲ τ. γέγονεν, ἡμεῖς αἴτιοι τῆς τελειότητος αὐτοῦ...εἰ δὲ τ. ἦν ἐν θεῷ, ὥστε καὶ ποιεῖν δύνασθαι, περιττὴ ἡ γέννησις αὐτοῦ· ἠδύνατο γὰρ καὶ ἐν πατρὶ ὢν δημιουργεῖν· ὥστε ἢ οὐ γεγέννηται, ἢ γεγέννηται οὐ δι' ἡμᾶς, ἀλλ' ὅτι ἀεὶ ἐκ τοῦ πατρός ἐστιν* ‡Ath.*Ar.*4.11(p.55.5ff.; M.26. 481B); *ὁμοούσιον τὸν υἱὸν τῷ πατρί...καὶ τ. ἐκ τ.* ‡Ath.*Apoll.*1.2 (M.26.1096A); τ. δὲ *ὁ πατὴρ διὰ τὸ πάντα ἔχειν ἐν ἑαυτῷ τελείως· τ. ... καὶ ὁ υἱός* Cyr.*Jo.*1.3(4.21A); *ὁ δὲ θεὸς...τ. ὤν, καὶ τ. καὶ ἐνυπόστατον ἔξει τὸν ἑαυτοῦ λόγον* Jo.D.*f.o.*1.6(M.94.804A); **5.** of H. Ghost *πτέρωσις γὰρ ἡ τῆς ψυχῆς πνεῦμα τὸ τ.* Tat.*orat.*20(p.22. 12; M.6.852A); *πιστεύομεν εἰς τὸ πνεῦμα τὸ ἅγιον...τὸ τ.* ‡Ath.*interpr.* (p.66.23; M.26.1232B); **6.** of Trin. *ὄντα καὶ ὑφεστῶτα πατέρα τ. καὶ*

ὑφεστῶτα υἱὸν τ. κα ὑφεστὼς τὸ πνεῦμα τὸ ἅγιον τ. Paulin.T.*symb.* (p.434.34f.; M.42.672B); ἡ πίστις ἄτρεπτον καὶ τ. ... οἷδε τριάδα Ath. *Ar.*1.18(M.26.49B); δείκνυται τ. εἶναι ἐν τούτῳ [sc. πνεύματι] τὴν τριάδα id.*ep.Serap.*1.25(M.26.589B); *ib.*1.28(596A); *ib.*4.12(652C); ἅγιος, ἅγιος, ἅγιος λέγοντα, τὰς τρεῖς ὑποστάσεις τ. δείκνυντα id.*hom. in Mt.*11:27(M.25.220A); ἡ...τριάς, καὶ λαβόντος ἐκ Μαρίας σῶμα τοῦ λόγου, τριάς ἐστιν οὐ δεχομένη προσθήκην οὐδὲ ἀφαίρεσιν· ἀλλ' ἀεὶ τ. ἐστίν id.*ep.Epict.*9(p.15.12; M.26.1065B); ὥσπερ γὰρ ὁ υἱός, ὁμοούσιος πρὸς τὸν πατέρα ὁμολογούμενος, τ. πρὸς τέλειον ὁμολογεῖται, καθὰ καὶ τὸ ἅγιον πνεῦμα· ὁμοούσιος γὰρ ἡ τριάς ‡Ath.*Apoll.*1.9(M.26.1109A); perfection of Trinitarian number, Ath.*syn.*28(p.257.25; M.26.744A); theology, id.*Ar.*1.18(M.26.49A); faith, id.*ep.Afr.*11(M.26.1048B).

B. of Christ; **1.** in Godhead σήμερον ἀναγεννηθεὶς ὁ Χριστὸς ἤδη τ. ἐστιν...μή τι οὖν ὁμολογήσουσιν ἄκοντες τὸν λόγον, τ. ἐκ τ. φύντα τοῦ πατρός, κατὰ τὴν οἰκονομικὴν προδιατύπωσιν ἀναγεννηθῆναι τελείως; καὶ εἰ τ. ἦν, τί ἐβαπτίζετο ὁ τ.; ἔδει, φασί, πληρῶσαι τὸ ἐπάγγελμα τὸ ἀνθρώπινον Clem.*paed.*1.6(p.105.7ff.; M.8.280C); τοῦ Ἰησοῦ θεότης ...τ. μὲν ἔστιν ἐν τοῖς ἀτελέσιν, ὡς τελετάρχις· ἀτελὴς δὲ ἐν τοῖς τ., ὡς ὑπερτελής Dion.Ar.*d.n.*2.10(M.3.648C); **2.** in manhood ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ...αὐτοῦ με ἐνδυναμοῦντος τοῦ τ. ἀνθρώπου Ign.*Smyrn.*4.2; πάντα δὲ ὁμοῦ τ. οὐκ οἶδ' εἴ τις ἀνθρώπων, ἔτι ἄνθρωπος ὤν, πλὴν μόνον ὁ δι' ἡμᾶς ἄνθρωπον ἐνδυσάμενος Clem.*str.*4.21(p.305.21; M.8.1340B); καθὸ δὲ ἄνθρωπος ἦν...ὑπέμεινεν ὡς...τ. ἅπερ ἐχρῆν ὑπομεῖναι Or.*Cels.*7.17(p.168.28; M.11.1445B); ὁ λόγος... ἄνθρωπος τ. Ath.*inc.et c.Ar.*8(M.26.996C); ἐν τῇ τ. ἐνανθρωπήσει Epiph.*exp.fid.*17(p.517.19; M.42.813B); Cosm.Ind.*top.*2(M.88.128B); **3.** in both natures οὕτως ἂν λέγοιτο τ. θεὸς καὶ τ. ἄνθρωπος ὁ Χριστός· οὐχ ὡς τῆς θεϊκῆς τελειότητος εἰς ἀνθρωπίνην τελειότητα μεταποιηθείσης, ὅ ἐστιν ἀσεβές· οὔτε μὴν ὡς δύο τελειοτήτων κατὰ διαίρεσιν ὁμολογουμένων...ἀλλὰ καθ' ὕπαρξιν ἀνελλιπῆ· ἵνα εἷς ᾖ τὰ ἑκάτερα, τ. κατὰ πάντα, θεὸς καὶ ἄνθρωπος ὁ αὐτός ‡Ath.*Apoll.*1.16(M.26.1121C–1124A); τ. ἔχει τὴν διπλῆν φύσιν ὁ Χριστός, ἵνα μὴ ἀπολέσαι τὰς δύο Ephr.2.263F; ἐκ τ. τέλειος, ἐξ ἀνθρώπου ἄνθρωπος, ἐκ θεοῦ θεός, ἐκ παρθένου Χριστός id.263E; ὁμολογεῖν...Χριστὸν...τ. τὸν αὐτὸν ἐν θεότητι καὶ τ. τὸν αὐτὸν ἐν ἀνθρωπότητι *Symb.Chalc.*(p.129.24; H.2.456C); Just.Imp.*edict.*(p.199.34; M.86.2797B); ὁ τῶν πατέρων χορός, τ. τὸν Χριστὸν πρεσβεύει ὥσπερ ἐν θεότητι, οὕτω καὶ ἐν ἀνθρωπότητι Ephr.Ant.*fr.*(M.86.2108A); ὁ μονογενὴς υἱὸς...ἐκ...Μαρίας γεγέννηται ...καὶ ἄνθρωπος τ. ἐξ αὐτῆς γέγονε·...θεὸς τ. ἐστιν ὁμοῦ καὶ ἄνθρωπος τ., ἐκ δύο φύσεων Jo.D.*f.o.*1.2(M.94.793A); cf. Θεοδόσιον, τὸν μικρὸν ἀληθῶς βασιλέα, τὸν οὐδὲν τ. ἐπὶ Χριστοῦ φρονήσαντα Anast.S.*haer.* (p.261); **4.** but with manhood imposing limitations on Godhead ὁ ἄρτος ὁ τ. τοῦ πατρός, γάλα ἡμῖν ἑαυτὸν παρέσχεν Iren.*haer.*4.38.1(M.7.1106A); καὶ τὴν ἀρχὴν ὁ μὲν θεὸς δυνατὸς ἦν διδόναι τὸ τ. τῷ ἀνθρώπῳ, ἐκεῖνος δὲ ἄρτι γεγονώς, ἀδύνατος ἦν λαβεῖν αὐτό...καὶ διὰ τοῦτο συνεπηίαζεν υἱὸς τοῦ θεοῦ, τ. ὤν, τῷ ἀνθρώπῳ, οὐ δι' ἑαυτόν, ἀλλὰ διὰ τὸ τοῦ ἀνθρώπου νήπιον οὕτω χωρούμενος, ὡς ἄνθρωπος αὐτὸν χωρεῖν ἠδύνατο *ib.*4.38.2(1107A); exeg. Ps.5:7, Eph.4:13–15 ἡ προφητεία τὸ τ. τῇ τοῦ ἀνδρὸς τετίμηκεν προσηγορίᾳ καὶ διά γε τοῦ Δαβὶδ ἐπὶ μὲν τοῦ διαβόλου 'ἄνδρα αἱμάτων', φησί, 'βδελύσσεται κύριος'. ἄνδρα αὐτὸν ὡς τ. ἐν κακίᾳ καλεῖ. λέγεται δὲ καὶ ὁ κύριος ἀνὴρ διὰ τὸ εἶναι αὐτὸν τ. ἐν δικαιοσύνῃ...σαφέστατα δὲ...ἀπεκάλυψεν [sc. S. Paul] τὸ ζητούμενον...λέγων, 'μέχρι καταντήσωμεν...εἰς ἄνδρα τ. ...' ταῦτα λέγων εἰς οἰκοδομὴν τοῦ σώματος τοῦ Χριστοῦ, ὅς ἐστι...ἀνὴρ ὁ μόνος ἐν δικαιοσύνῃ τ., ἡμεῖς δὲ οἱ νήπιοι...τελειούμεθα τότε, ὅτε ἐσμὲν ἐκκλησία τὴν κεφαλὴν τὸν Χριστὸν ἀπειληφότες Clem.*paed.*1.5(p.100.16ff.; M.8.269B); Χριστοῦ ἐπιδημίαν καὶ πρὸ τῆς κατὰ σῶμα ἐπιδημίας τὴν νοητὴν γεγονέναι τοῖς τελειοτέροις καὶ οὐ νηπίοις...ὥσπερ δὲ πρὸ τῆς ἐμφανοῦς...ἐπιδημίας ἐπεδήμησε τοῖς τ., οὕτω καὶ μετὰ τὴν κεκηρυγμένην παρουσίαν τοῖς ἔτι νηπίοις Or.*Jo.*1.7(9; pp.11.27–12.2; M.14.36B,C); ὁ δὲ τοῦ θεοῦ υἱός, ἐπεὶ προκόπτειν οὐκ εἶχε, τ. ὢν τῷ πατρί, ἑταπείνωσεν ἑαυτὸν ὑπὲρ ἡμῶν...οὐκ ἄρα ὁ λόγος ἦν, ᾗ λόγος ἐστίν, ὁ προκόπτων, ὁ τ. ἐκ τ. ὢν τοῦ πατρός...ἀλλὰ ἀνθρωπίνως εἴρηται καὶ ἐνταῦθα τὸ προκόπτειν Ath.*Ar.*3.52(M.26.432B,C); διὰ τοῦτο ὁ τ. τοῦ θεοῦ λόγος τὸ ἀτελὲς περιτίθεται σῶμα,...ἵνα, ἀνθ' ἡμῶν τὴν ὀφειλὴν ἀποδιδούς, τὰ λείποντα τῷ ἀνθρώπῳ δι' ἑαυτοῦ τελειώσῃ *ib.*2.66(288B); τὴν ἄγνοιαν τῶν ἀνθρώπων ἐν τῷ σώματι ἔχων ...τ. καὶ ἀγίαν παραστήσῃ τῷ πατρὶ τὴν ἀνθρωπότητα id.*ep.Serap.*2.9 (M.26.624A); **5.** ref. controversy with Apollinarians; heret. propositions: perfect manhood involves sin, ‡Ath.*Apoll.*1.2(M.26.1096B) cit. s. ἁμαρτία; εἰ γὰρ ἕτερός ἐστιν ὁ Χριστὸς παρὰ τὸν ἐπουράνιον νοῦν τὸν ἐν αὐτῷ γενόμενον, τ. δὲ καὶ ὁ νοῦς, δύο ἄρα καθ' ὑμᾶς *ib.*1.13(1116C); orthodox replies: τ. τὴν καινότητα ἐπιδειξαμένου τοῦ Χριστοῦ, ἵνα τ. τὴν σωτηρίαν κατεργάσηται ὅλου τοῦ ἀνθρώπου, ψυχῆς λογικῆς καὶ σώματος, ἵνα τ. ᾖ καὶ ἀνάστασις *ib.*1.15(1121A); σῶμα ἀντὶ σώματος, καὶ ψυχὴν ἀντὶ ψυχῆς δέδωκε, καὶ τ. ὕπαρξιν ὑπὲρ ὅλου ἀνθρώπου *ib.*1.17(1125A); **6.** of incarnate Son's knowledge of Father τῷ γινώσκειν αὐτὸν...ἐπὶ τ. γνῶσιν, ἣν γινώσκει ὁ υἱὸς τὸν πατέρα, ἐδοξάσθη...καὶ ἑαυτὸν γινώσκων, ὅπερ καὶ αὐτὸ οὐ μακρὰν ἀποδεῖ τοῦ προτέρου, ἐδοξάσθη ἐκ τοῦ αὐτὸν ἐγνωκέναι Or.*Jo.*32.28(18; p.473.14; M.14.817B); **7.** of things relating to Christ υἱὸς ἐν πατρί, καὶ πατὴρ ἐν υἱῷ· καὶ πῶς οὐ τ. ἡ παιδεία τοῦ παιδίου ἐκείνου; Clem. *paed.*1.5(p.104.14; M.8.277C); μέχρι τοῦ...Ἰησοῦ ὁ τ. ἐβλάστησε λόγος Or.*Jo.*1.2(4; p.6.14; M.14.28A); ἡ ἀνάστασις τοῦ...τελειοτέρου Χριστοῦ σώματος *ib.*10.36(20; p.210.32; 373A).

C. of man; **1.** relativity of human perfection, ref. Phil.3:12–14 ἐμοὶ...θαυμάζειν ἔπεισιν ὅπως σφᾶς τ. τινὲς τολμῶσι καλεῖν καὶ γνωστικούς, ὑπὲρ τὸν ἀπόστολον φρονοῦντες...καὶ τ. μὲν ἑαυτὸν ἡγεῖται, ὅτι ἀπήλλακται τοῦ προτέρου βίου, ἔχεται δὲ τοῦ κρείττονος, οὐχ ὡς ἐν γνώσει τ., ἀλλ' ὡς τοῦ τ. ἐφιέμενος· διὸ καὶ ἐπιφέρει 'ὅσοι οὖν τ., τοῦτο φρονοῦμεν', τελείωσιν δηλονότι λέγων τὸ ἀποτετάχθαι ταῖς ἁμαρτίαις καὶ εἰς πίστιν τοῦ μόνου τ. ἀναγεγεννῆσθαι Clem.*paed.*1.6(p.121.9ff.; M.8.312B,C); ὡς γὰρ τ. φαμεν ἰατρὸν καὶ τ. φιλόσοφον, οὕτως...καὶ τ. γνωστικόν· ἀλλ' οὐδὲν τούτων, καίτοι μέγιστον ὄν, εἰς ὁμοιότητα θεοῦ παραλαμβάνεται. ... μή τι οὖν τ. γίγνεσθαι ὀφείλομεν ὡς ὁ πατὴρ βούλεται; ἀδύνατον γὰρ...ὡς ὁ θεός ἐστι γενέσθαι τινὰ τ.· βούλεται δὲ ὁ πατὴρ ζῶντας ἡμᾶς κατὰ τὴν τοῦ εὐαγγελίου ὑπακοὴν...τ. γίγνεσθαι id.*str.*7.14(p.63.7ff.; M.9.521C–524A); **2.** reached by progress ὁ γεννητὸς...ἄνθρωπος κατ' εἰκόνα...τοῦ ἀγεννήτου γίνεται θεοῦ· τοῦ μὲν πατρὸς εὐδοκοῦντος...τοῦ δὲ υἱοῦ...δημιουργοῦντος, τοῦ δὲ πνεύματος τρέφοντος...τοῦ δὲ ἀνθρώπου ἠρέμα προκόπτοντος, καὶ πρὸς τέλειον ἀνερχομένου, τουτέστι, πλησίον τοῦ ἀγεννήτου γινομένου· τ. γὰρ ὁ ἀγέννητος· οὗτος δέ ἐστι θεός Iren.*haer.*4.38.3(M.7.1108B); καθάπερ τὸ ἔμβρυον...κατὰ μέρος γίγνεται εἰκὼν καὶ γεννᾶται, οὐκ ἤδη δέ ἐστι τ. ἄνθρωπος, ἀλλ' αὐξάνει ἐν ἔτεσι πολλοῖς...ὡσαύτως κἀν τοῖς πνευματικοῖς...κατὰ μικρὸν ὁ ἄνθρωπος αὐξάνει καὶ γίνεται εἰς ἄνδρα τ. Mac.Aeg.*hom.*15.41(M.34.604B,C); **3.** Christian in gen. called τ.: τ., ζῶμεν δὲ ἤδη οἱ θανάτου κεχωρισμένοι Clem.*paed.*1.6(p.106.3; M. 8.281B); Or.*Cels.*3.61(p.255.20; M.11.1000D); exeg. 1Cor.2:6 τ. δὲ τοὺς πεπιστευκότας Chrys.*hom.*7.1 *in* 1*Cor.*(10.50C,D); opp. Jews, id.*hom.*1.1 *in Heb.*(12.5B); of baptized opp. catechumens εἰ δὲ μή εἰσι τ. Χριστιανοὶ οἱ κατηχούμενοι πρὶν ἢ βαπτισθῶσι, βαπτισθέντες δὲ τελειοῦνται ‡Ath.*Maced.dial.*1.6(M.28.1297B); cf.Dion.Ar.*e.h.*3. 3.6(M.3.432C); in prayer for catechumens κύριε...αὐτοῦ τὸ ἦθος... διαφύλαξον, ἵνα...σοι τῷ τῶν πάντων ποιητῇ δουλεύῃ πρὸς τὸ τ. αὐτὸν ...ἀποδειχθῆναι Serap.*euch.*21; **4.** of the 'perfect' as dist. from other Christians; **a.** def. κατὰ νόμον...τις ἂν εἴη τ., ὃς ἀποχὴν κακῶν ἐπαγγέλλεται Clem.*str.*4.21(p.305.23; M.8.1340C); τ. γὰρ ἐκεῖνον καλοῦμεν τὸν μετὰ τῆς πίστεως βίον ἔχοντα ὀρθόν Chrys.*hom.*6.2 *in Heb.*(12. 94C); **b.** characterized by union with God σπευστέον ἀπανδροῦσθαι γνωστικῶς καὶ τελειοῦσθαι ὡς ὅτι μάλιστα ἔτι ἐν σαρκὶ καταμένοντας, ἐκ τῆς τ. ἐνθένδε ὁμοφροσύνης μελετήσαντας συνδραμεῖν τῷ θελήματι τοῦ θεοῦ εἰς τὴν ἀποκατάστασιν τῆς τῷ ὄντι τ. εὐγενείας τε καὶ συγγενείας εἰς τὸ πλήρωμα τοῦ Χριστοῦ τὸ ἐκ καταρτισμοῦ τελείως ἀπηρτισμένον. ἤδη συνορῶμεν ὅπῃ καὶ ὅπως...ὁ θεῖος ἀπόστολος τὸν τ. λέγει καὶ ὡς τελείων ἐμφαίνει διαφοράς Clem.*str.*4.21(p.307.6ff.; M. 8.1344B); περὶ δὲ τοῦ τ. καὶ κολλωμένου τῷ...κυρίῳ Or.*Cels.*6.47 (p.119.9; M.11.1372D); ὁ μὲν τ., ἀεὶ ἐν τοῖς λόγοις ὢν καὶ τοῖς ἔργοις καὶ τοῖς διανοήμασι τοῦ τῇ φύσει κυρίου λόγου θεοῦ, ἀεί ἐστιν αὐτοῦ ἐν ταῖς ἡμέραις καὶ ἀεὶ ἄγει κυριακὰς ἡμέρας. ἀλλὰ καὶ ἀεὶ παρασκευάζων ἑαυτὸν πρὸς τὸ ἀληθινῶς ζῆν *ib.*8.22(p.239.13; 1549D); ὅταν ἡ ψυχή σου κοινωνήσῃ τῷ πνεύματι...τότε εἶ τ. ἄνθρωπος ἐν θεῷ Mac.Aeg.*hom.*32.6(M.34.737C); and with Cross of Christ, *ib.*17.1 (624B); **c.** by humility ἴδιον τῶν τ. τὸ μὴ ἑαυτοὺς ὑπεραίρειν Bas. *ep.*204.4(3.304E; M.32.749A); Chrys.*hom.*12.2 *in Phil.*(11.293A); *ib.* (293C); **d.** by charity ὁ γνωστικὸς...μάρτυς τε ἐπὶ τοῖσδε ὀρθότατα ὁμολογήσας δι' ἀγάπην γένοιτο...οὐδ' οὕτως φθάσει τ. ἐν σαρκὶ λαθεῖς, ἐπεὶ τὴν προσηγορίαν ταύτην προείληφεν ἡ συμπεραίωσις τοῦ βίου, φθάσαντος ἤδη τοῦ γνωστικοῦ μάρτυρος τὸ τ. ἔργον ἐνδείξασθαι Clem. *str.*4.21(p.306.1ff.; M.8.1341A); οἱ γὰρ τ., τῆς θεωρητικῆς ἤδη μυστικῶς ἀξιωθέντες θεολογίας, καὶ πάσης φαντασίας ὑλικῆς τὸν νοῦν καθαρὸν καταστήσαντες...τὴν θείαν ἀγάπην ἐν ἑαυτοῖς ἐνστερνισάμενοι φαίνονται Max.*cap.*1.68(M.90.1208A); **e.** by knowledge τοὺς δὲ τῶν ἐντολῶν λόγους, ἐν οἷς ἡ τῶν τ. ὑπάρχει γνῶσις, τῷ θεῷ παραχωρεῖ διὰ τῆς πίστεως...ὁ τ., οὐ μόνον τὴν τῶν εἰσαγομένων τάξιν, ἀλλὰ καὶ τὴν τῶν προκοπτόντων διαδραμών, οὐκ ἀγνοεῖ τῶν ὑπ' αὐτοῦ κατ' ἐντολὴν γινομένων τοὺς λόγους *ib.*2.14f.(M.90.1225C); **f.** by combination of contemplative and active life, Ath.*fr.Ps.*64 *comm.*(M.27.576B; p.17); **g.** of martyrs, *Ep.Lugd.*ap.Eus.*h.e.*5.2.5(M.20.436A); Dion.Al. ap.Eus.*h.e.*7.11.24(M.20.672B); Dion.Al.*ib.*7.22.4(688B); **h.** of monks πρὸς ζῆλον μὲν...τῶν τ., πρὸς οἰκοδομὴν δὲ...τῶν ἀρχομένων ἀσκεῖν ‡Pall.*h.mon.*proem.(p.4.7; M.65.445B); τὴν τελειοτάτην αὐτῷ [sc.

newly professed monk] ζωὴν ὑφηγεῖται, μαρτυρούμενος, ὅτι χρὴ τῆς μέσης αὐτὸν ὑπερανεστηκέναι Dion.Ar.*e.h.*6.2(M.3.533B); τελειοτάτην ἐμφαίνει τῶν μοναχῶν φιλοσοφίαν *ib.*6.3.2(533D); οἱ μὲν ἀρχάριοι πληροῦσι τὸ ψαλτήριον...οἱ δὲ τ. μόνον εὔχονται Jo.Jej.*doct.*5(p.230); their 'perfect' way of life signified by habit, Dion.Ar.*e.h.*6.3.4 (536B); **1.** of perfect opp. beginners and those still progressing τοῖς τ. opp. τοῖς πιστεύουσι, Or.*comm.in Mt.*12.30(p.133.20; M.13.1049Af.); οἱ δὲ προκόπτοντες, καὶ μᾶλλον ἔτι οἱ τ., ῥᾳδίως ἃ μετίασι κατορθοῦντες γάννυνται Dion.Al.ap.Eus.*p.e.*14.27(781D; M.21.1285B); ἡ θεία γραφή, τοὺς μὲν εἰσαγομένους...τῆς θείας αὐλῆς τῶν ἀρετῶν, βουλομένους καλεῖ· τοὺς δὲ κτησαμένους σύμμετρον ἕξιν τῶν κατ' ἀρετὴν λόγων... οἶδεν ὀνομάζειν προκόπτοντας· τοὺς δὲ κατ' αὐτὴν γνωστικῶς ἤδη γεγενημένους τῆς τῶν ἀρετῶν ἐκφαντικῆς ἀληθείας τὴν κορυφήν, προσαγορεύει τ. Max.*qu.Thal.*10(M.90.288B) = id.*cap.*1.68(M.90.1205C).

D. of Christian virtues and doctrines: faith οὐδὲν δὲ ἐνδεῖ τῇ πίστει τ. οὖσῃ ἐξ ἑαυτῆς Clem.*paed.*1.6(p.107.17; M.8.285A); love, Or.*Jo.*20.34(27; p.372.31; M.14.652C); Max.*qu.Thal.*29(M.90.365B); combined with fear τὴν ἀληθινὴν ἀγάπην, ἣν λέγει ὁ ἅγιος τ., καὶ αὕτη ἡ ἀγάπη φέρει αὐτὸν εἰς τὸν τ. φόβον Dor.*doct.*4.1(M.88.1657D); φθάσαι τὴν τ. ἀπάθειαν Marc.Diac.*v.Porph.*8; wisdom and knowledge τ. γὰρ ἡ σοφία θείων οὖσα καὶ ἀνθρωπίνων πραγμάτων ἐπιστήμη ἐμπεριλαβοῦσα τὰ ὅλα Clem.*paed.*2.2(p.171.16; 420A); prayer and worship εὐχαὶ καὶ εὐχαριστίαι...τ. μόναι...θυσίαι Just.*dial.*117.2(M.6.745C); θεωρία, Clem.*str.*7.3(p.12.22; M.9.421A); θεοσέβεια, Or.*Jo.*13.13(p.238.12; 420B); εὐχαριστία, Marc.Diac.*v.Porph.*21; union with God, Dion.Ar.*e.h.*2.3.4(M.3.400C); joy, Clem.*paed.*1.6(p.111.30; 293B); id.*str.*1.24(p.99.23; M.8.905B); divine adoption ἡ...εἰς τὴν τ. υἱοθεσίαν διὰ τοῦ υἱοῦ ἀποκατάστασις *ib.*2.22(p.187.8; 1084A); martyrdom τὸ μαρτύριον...τ. ἔργον ἀγάπης *ib.*4.4(p.255.3; 1228B); *ib.*4.21(p.306.3; 1341A); Christian unity, exeg. Jo.17:22f. μεῖζόν τι καὶ τελειότερον περὶ ἡμῶν ὁ κύριος αἰτεῖ...ἵνα καὶ αὐτοὶ γένωνται τ., ἔχοντες πρὸς τοῦτο τὴν ἑνότητα, καὶ εἰς αὐτὸ ἓν γενόμενοι· ἵνα...πάντες ὦσιν ἓν σῶμα καὶ ἓν πνεῦμα, καὶ εἰς ἄνδρα τ. καταντήσωσιν Ath.*Ar.*3.22(M.26.368C–369A); partial knowledge on earth opp. perfect knowledge in heaven, Or.*hom.*8.7 *in Jer.*(p.61.28; M.13.344D); resurrection, id.*Jo.*10.35(20; p.210.10; M.14.372C); Dion.Ar.*e.h.*7.3.9(M.3.565B); second Advent, Anon.ap.Eus.*h.e.*5.17.4(M.20.473B); eschatol. τ. ἡμέρα Clem.*paed.*3.12(p.291.7; 680C).

E. ref. Adam; **1.** as created perfect τ. ὧν πως ἀτελὴς διὰ τὴν παρακοὴν γέγονεν...ὁ ἄνθρωπος ἐξέπεσεν ἐκ τ. ἐπὶ τὸ ἀτελές Or.*Jo.*13.37(p.262.20,32; M.14.464B,C); Ath.*Ar.*2.66(M.26.288B) cit. s. ἐλλιπής; **2.** as created immature εἰ δὲ λέγει τις· οὐκ ἠδύνατο ὁ θεὸς ἀπ' ἀρχῆς τ. ἀναδεῖξαι τὸν ἄνθρωπον; γνώτω, ὅτι τῷ μὲν θεῷ...πάντα δυνατά· τὰ δὲ γεγονότα, καθὸ μετέπειτα γενέσεως ἀρχὴν ἰδίαν ἔσχε, κατὰ τοῦτο καὶ ὑστερεῖσθαι δεῖ αὐτὰ τοῦ πεποιηκότος...κατὰ τοῦτο καὶ ὑστεροῦνται τοῦ τ. καθὸ δὲ νεώτερα...καὶ ἀγύμναστα πρὸς τὴν τ. ἀγωγήν. ὡς οὖν ἡ μὲν μήτηρ δύναται τ. παρασχεῖν τῷ βρέφει τὸ ἔμβρωμα, τὸ δὲ ἔτι ἀδυνατεῖ τὴν...δέξασθαι τροφήν· οὕτως καὶ ὁ θεὸς αὐτὸς μὲν οἷός τε ἦν παρασχεῖν ἀπ' ἀρχῆς τῷ ἀνθρώπῳ τὸ τ., ὁ δὲ ἄνθρωπος ἀδύνατος λαβεῖν αὐτό· νήπιος γὰρ ἦν Iren.*haer.*4.38.1(M.7.1105A–C); v. Ἀδάμ.

F. *fully instructed*, iron. σοὶ ἔξεστι τελείῳ κατὰ τὴν γνῶσιν εἶναι, μὴ πιστεύοντι τῷ μονογενεῖ θεῷ Gr.Nyss.*Eun.*12(1 p.234.5; M.45.932A); τ. γίνομαι *be initiated*, i.e. *baptized* ἐπιγνόντι σοὶ τὸν Χριστὸν τοῦ θεοῦ καὶ τ. γινομένῳ εὐδαιμονεῖν Just.*dial.*8.2(M.6.493A); Gnost. οὐ δύναται...σωθῆναι ὁ τ. ἄνθρωπος, ἐὰν μὴ ἀναγεννηθῇ διὰ ταύτης εἰσελθὼν τῆς πύλης Hipp.*haer.*5.8(p.93.4; M.16.3146B); οὐδεὶς τούτων τῶν μυστηρίων ἀκροατὴς γέγονεν εἰ μὴ μόνοι ⟨οἱ⟩ γνωστικοὶ τ. *ib.*(p.94.24; 3147C).

G. of numbers ἐπὶ τὸν τ. ἀριθμὸν τὸν ὑπεράνω τῶν ἐννέα Clem.*str.*2.11(p.140.6; M.8.988A); οἱ φύσεις ἀριθμῶν ἐρευνήσαντες πρῶτον μὲν τ. τὸν ἓξ εἰρήκασιν...δεύτερον δὲ τ. φασιν εἶναι τὸν εἴκοσι καὶ ὀκτώ Or.*Jo.*28.1(p.389.1ff.; M.14.680B); id.*sel.in Ps.*66:2(M.12.1504B) cit. s. ἕξ; πρῶτος γὰρ ὁ ἓξ τ. ἐστι· τ. δὲ τοὺς ἐκ τῶν ἑαυτῶν μερῶν ἀπαρτιζομένους φασί...οἱ δὲ παρὰ τοὺς τ. ἀριθμοὺς συντιθέμενοι, ἢ λείπουσιν ἢ ὑπερβάλλουσι...ἔδει οὖν τὸν κόσμον τ. ὄντα ἐν τῷ πρώτῳ τ. γενέσθαι τῶν ἀριθμῶν Proc.G.*Gen.*2:2(M.87.140B,C).

H. of evil things: ἁμαρτία, *Barn.*8.1; Herm.*vis.*1.2.1; Olymp.*fr. Lam.*2:22(M.93.741D); ὁ τ. κακοποιός, Mac.Aeg.*hom.*43.3(M.34.773C).

I. *full* stop στίξας τ. στιγμήν Anast.S.*hex.*9 int. opp. Clem. (*GCS* 3 p.224.32; cf.M.89.1004D).

II. neut. as subst.;

A. *perfection*, def. τὸ τ. εὑρίσκω πολλαχῶς ἐκλαμβανόμενον κατὰ τὸν ἐν ἑκάστῃ κατορθοῦντα ἀρετῇ Clem.*str.*4.21(p.305.18; M.8.1340B); of God ἀναγεννηθέντες γοῦν εὐθέως τὸ τ. ἀπειλήφαμεν, οὗ ἕνεκεν ἐσπεύδομεν. ἐφωτίσθημεν γάρ· τὸ δὲ ἔστιν ἐπιγνῶναι τὸν θεόν. οὔκουν ἀτελὴς ὁ ἐγνωκὼς τὸ τ. id.*paed.*1.6(p.105.1f.; M.8.280B); τὸ τ. ... τῆς τοῦ πατρὸς οὐσίας Ath.*Ar.*1.20(M.26.53B); of Christ ἐπὶ δὲ τῆς θείας σαρκώσεως οὐχ ἅμα, ἀλλὰ κατ' αὔξησιν τὸ τ. δογματίζεται ‡Ath. *annunt.*6(M.28.925A); τοῦ ἀναληφθέντος ἀνθρώπου τὸ τ. Thdt.ap. *cat.Heb.*2:9 suppl.(p.395.34); of angels, Clem.*exc.Thdot.*10(p.109.30; M.9.661A); v. ἄγγελος; eschatol. τὸ τ. μετὰ τὸν βίον ἐστίν Or. *engast.*9(p.292.25; M.12.1025C); of Christian perfection; consisting in true wisdom, Clem.*str.*1.28(p.109.21; M.8.924C); the same for men and women, *ib.*4.20(p.305.9; 1340A); in Christ, Chrys.*hom.*5.2 *in Col.*(11.360A); of prayer, Diad.*perf.*61(p.70.13); of charity, *ib.*90 (p.128.15ff.); of wisdom, Gr.Nyss.*Apoll.*28(M.45.1185B).

B. *completion, consummation* τὸ τ. τῶν ἁμαρτιῶν *Barn.*5.11; τῆς γνώσεως *ib.*13.7; τῆς πίστεως Or.*Jo.*10.43(27; p.222.15; M.14.393B); τὸ δὲ τ. τῆς ἀναστάσεως ἦν, ὅτε γίνεται πρὸς τὸν πατέρα *ib.*10.37(21; p.212.7; 376A); μεμαρτύρηται...ὁ Δαβὶδ ἐπὶ τὸ τ. τῆς προφητείας id. *engast.*9(p.292.27; M.12.1025C); πάντα τὰ διὰ γενέσεως ἐν χρόνῳ ἔχει τὸ τ. Dion.Ar.*d.n.*4.25(M.3.728B).

C. liturg. and sacramental; of baptism καλεῖται...τὸ ἔργον τοῦτο ...φώτισμα καὶ τ. Clem.*paed.*1.6(p.105.23; M.8.281A); of Communion εὐχῆς δὲ μόνης κοινωνῆσαι ἔτη δύο, καὶ τότε ἐλθεῖν ἐπὶ τὸ τ. CAnc.(314) *can.*4; ἵνα τὸ τ. τῇ τετραετίᾳ λάβωσι *ib.*5; *ib.*6; *ib.*9; plur., liturgy of the faithful ὡς ἀτελέστων ἀποδιαστέλλει τὰ τ. Dion.Ar.*e.h.*3.3.6(M.3.433B).

D. plur., *sublime things* ἡ δὲ [sc. ψυχή]...διὰ τὸν χωρισμὸν τὰ τ. καθορᾶν μὴ δυναμένη Tat.*orat.*13(p.14.29; M.6.836A); τὰ τελειώτερα opp. στοιχεῖα, Clem.*str.*5.8(p.360.5; M.9.80A); ὥσπερ τοῖς μηδέπω χωρεῖν δυναμένοις τὰ τ. διαλέγεται ὁ σωτὴρ Ath.*ep.Serap.*4.11(M.26.652B).

τελειότης, ἡ, *perfection*;

A. def. and characteristics ὅταν γὰρ ἡ ψυχὴ πρὸς τὴν τ. τοῦ πνεύματος καταντήσῃ, τελείως πάντων τῶν παθῶν ἀποκαθαρισθεῖσα, καὶ τῷ παρακλήτῳ πνεύματι διὰ τῆς ἀρρήτου κοινωνίας ἑνωθεῖσα...καὶ καταξιωθῇ πνεῦμα γενέσθαι συγκεκραμένη τῷ πνεύματι Mac.Aeg.*hom.* 18.10(M.34.641A); id.*perf.*7(M.34.848A); Gr.Nyss.*Eun.*4(2 p.76.27; M.45.649C); its marks enumerated, Thdt.*1Cor.*6:7(3.196); τὴν τ. μὲν ὁ δεσπότης ὁρίζεται τῇ παντελεῖ τῶν χρημάτων ὑπεροψίᾳ, καὶ τῇ αὐθαιρέτῳ πενίᾳ id.*2Cor.*8:13ff.(3.330); αὕτη οὖν ἡ τελεία τῶν τελείων ἀτέλεστος τ. καθὰ μοί τις αὐτῆς γευσάμενος ὑφηγήσατο, οὕτω λοιπὸν τὸν νοῦν ἁγιάζει, καὶ τῶν ὑλῶν ἀφαρπάζει, ὡς τὸ πολὺ τῆς ἐν σαρκὶ ζωῆς, μετὰ τὴν κατάληψιν μέντοι τοῦ οὐρανίου λιμένος, ἐν οὐρανῷ ἐξεστηκότα αὐτὸν πρὸς θεωρίαν ἀνυψοῖ Jo.Clim.*scal.*29(M.88.1148C); τί ἐστιν ἡ τ.; μισθὸς ταπεινώσεως· ὅπερ ἐστὶν ἡ κατάληψις [perh. l. κατάλειψις] πάντων τῶν ὁρατῶν τε καὶ ἀοράτων Isaac *schol.*1 in Jo. Clim.*scal.*26(M.88.1036D).

B. of divine perfection; **1.** in gen. ἡ θεία μακαριότης...ἀνενδεὴς ἁπάσης τ. Dion.Ar.*c.h.*3.2(M.3.165C); ἔστι γὰρ οὐδὲν...ἀπροσδεὲς καθόλου τ., εἰ μὴ τὸ ὄντως αὐτοτελὲς καὶ προτέλειον *ib.*10.3(273C); τέλειον δ' αὖ λέγεται...ὡς...ὑπερβλύζον κατὰ μίαν...χορηγίαν, καθ' ἣν τὰ τέλεια πάντα τελεσιουργεῖ καὶ τῆς οἰκείας ἀποπληροῖ τ. id.*d.n.*13.1 (M.3.977C); ref. Heb.5:14 τὴν...στερεὰν τροφήν, σύνθημα φέρειν οἶμαι τῆς νοερᾶς καὶ μονίμου τ. καὶ ταυτότητος id.*ep.*9.4(M.3.1112A); **2.** ref. Father and Son τὸ δὲ ἑνὶ κεχρῆσθαι λόγῳ τὸν θεόν,...δείκνυσι καὶ τοῦ ἐξ αὐτοῦ λόγου τὴν τ. Ath.*decr.*16(p.14.1; M.25.'452'(444)A); τὸ δὲ γέννημα, ἐὰν μὴ ἀεὶ συνῇ τῷ πατρί, ἐλάττωμα τῆς τ. τῆς οὐσίας αὐτοῦ ἐστιν id.*Ar.*1.29(M.26.73A); ὁ δὲ τὴν ἐν τῷ οἰκείῳ γεννήτορι τ. πληρῶν, πῶς ἂν ἐλάττων νοοῖτο; Cyr.*Jo.*1.3(4.21B); ὁ μονογενὴς υἱὸς σύνδρομον ἔχει τῇ γεννήσει τὴν τ. Thdt.*Heb.*7:28(3.593).

C. in man; **1.** God as man's guide to perfection τῆς προνοίας τῆς ἐπὶ τ. ἡμᾶς ἑλκούσης Or.*hom.*6.2 *in Jer.*(p.50.9; M.13.328A); εἰς δὲ τὰ περὶ τῶν ψυχῶν, οὐκ ἄλλως δυναμένων τῆς τ. τυχεῖν χωρὶς τῆς πλουσίας καὶ σοφῆς περὶ θεοῦ ἀληθείας id.*princ.*4.2.7(p.319.4; M.11.372B); διὰ ποίας δεῖ γνώσεως εἰς τὴν προδεδηλωμένην τοῦ κυρίου ἡμᾶς ὁδηγοῦντος καταφθάσαι τ. Diad.*perf.*proem.(p.5.16); ἀγαπῶ [sc. Christ] γάρ σου τὴν...ἐν ἀρετῇ τ. ... ὡς τὴν ὑπ' ἐμοῦ νομοθετηθεῖσαν τ. τελοῦσαν Thdt.*Cant.*5:2(2.109); **2.** Christ its pattern ἀκολουθεῖν... τῷ σωτῆρι, ἀναμαρτησίαν καὶ τ. τὴν ἐκείνου μετερχόμενον καὶ πρὸς ἐκεῖνον ὥσπερ κάτοπτρον κοσμοῦντα...τὴν ψυχήν Clem.*q.d.s.*21(p.174.8; M.9.625D); τῆς λογικῆς φύσεώς φαμεν ὅλης κρατῆσαί ποτε τὸν λόγον καὶ μεταποιῆσαι πᾶσαν ψυχὴν εἰς τὴν ἑαυτοῦ τ. Or.*Cels.*8.72 (p.288.25; M.11.1624D); ref. Christ's pre-existing human soul τάχα γὰρ ἡ μὲν τοῦ 'Ιησοῦ ψυχὴ ἐν τῇ ἑαυτῆς τυγχάνουσα τ. ἐν θεῷ καὶ τῷ πληρώματι ἦν, καὶ ἐκεῖθεν ἐξεληλυθυῖα...ἀνέλαβεν τὸ ἐκ τῆς Μαρίας σῶμα id.*Jo.*20.19(17; p.351.26; M.14.616A); **3.** growth in perfection χρὴ δώδεκα βαθμοὺς παρελθεῖν τινα, καὶ φθάσαι εἰς τὴν τ., ἐν καιρῷ τις ἔφθασε καταλαβεῖν ἐκεῖνο τὸ μέτρον, καὶ εἰσῆλθεν εἰς τὴν τ. Mac. Aeg.*hom.*8.4(M.34.529C); through education τ. δὲ κατ' ἀρετὴν οὐδ' ἡντινοῦν τῶν ἄμεινον φύντων κατηγορεῖ, ὁπότε καὶ οἱ κακῶς πεφυκότες

πρὸς ἀρετὴν τῆς προσηκούσης παιδείας τυχόντες ὡς ἐπίπαν καλοκαγαθίας ἤνυσαν Clem.*str.*1.6(p.22.26; M.8.729A); through various virtues πᾶς ὁ περικαλλὴς τῶν ἀρετῶν στέφανος, διὰ τῆς πρὸς θεὸν ἀγάπης τὴν τ. δέχεται Mac.Aeg.*perf.*13(M.34.849D); πρὸς τὴν τ. ἀφορῶντας συμβαίνει δύο τὰ κάλλιστα γίνεσθαι, σύντονόν τε καὶ ἀδιάπαυστον τὸν ἀγῶνα ἔχοντας εἰς τὸ πέρας διώκειν...τύφῳ τε μὴ ἁλίσκεσθαι, ἀλλὰ μετριοφρονεῖν, καὶ μικροὺς ἑαυτοὺς ἡγεῖσθαι διὰ τὴν μήπω τοῦ τελείου κατάληψιν id.*or.*11(M.34.861B); ἵνα ἡ τ. τῇ καθαρότητι πιστευθῇ Gr. Naz.*or.*18.13(M.35.1001A); ἡ ἀγάπη τὸ πλήρωμα τοῦ νόμου τῆς ἐν Χριστῷ τ. Diad.*perf.*17(p.22.11); ἐν ἐγκρατείᾳ καὶ τὴν τ. ὑπέδειξε Thdt. *1Cor.*7:6f.(3.202); ref. temptations ἡ κακία ἔνδον ὑποκαθημένη...τὸν ἄνθρωπον...ἐξάγει πρὸς οἴησιν τελειότητος...ἡ κακία τοσαύτας χιλιάδας ἐτῶν γεγενημένη...ἐνέδρας οἵδε τοιαύτας ἐν ἀποκρύφῳ τῆς καρδίας ἐπινοεῖν...ὥστε τὴν ψυχὴν ἑλκύσαι πρὸς οἴησιν τελειότητος; ὁ μέντοι θεμέλιος τοῦ Χριστιανισμοῦ, κἂν πάσας τις μετέλθῃ δικαιοσύνας, μὴ ἐπαναπαύεσθαι τούτων Mac.Aeg.*carit.*30(M.34.933A); ref. Cross οἱ τέλειοι Χριστιανοὶ οἱ καταξιωθέντες ἐλθεῖν εἰς μέτρα τελειότητος...τῷ σταυρῷ τοῦ Χριστοῦ πάντοτε ἀφιερωμένοι εἰσίν id.*hom.*17.1(M.34.624B); *ib.*17.2(624D); descriptions of process of growth ἐὰν οὖν ἀρξώμεθα θερμῷ ζήλῳ τὰς ἐντολὰς τοῦ θεοῦ διαπράττεσθαι, ἅπαντα ἡμῶν λοιπὸν τὰ αἰσθητήρια ἐν βαθείᾳ τινὶ αἰσθήσει φωτίζουσα ἡ χάρις τὰ μὲν ἡμέτερα ὥσπερ καταφλέγει ἐνθυμήματα, ἡδύνουσα δὲ ἡμῶν τὴν καρδίαν ἐν εἰρήνῃ τινὶ φιλίας ἀνενδότου πνευματικά τινα καὶ οὐκέτι σαρκικὰ λογίζεσθαι ἡμᾶς παρασκευάζει. τοῦτο δὲ τοῖς ἐγγίζουσι τῇ τ. συνεχῶς ἄγαν συμβαίνει, οἵτινες ἄπαυστον ἔχουσιν ἐν τῇ καρδίᾳ τὴν μνήμην τοῦ κυρίου Ἰησοῦ Diad.*perf.*88(p.124.1); ref. Rom.14:17 ἄτινά ἐστιν ὁ καρπὸς τῆς τελείας ἀγάπης. ὥστε οὖν γεύεσθαι μὲν αὐτῆς ἐντεῦθεν συνεχῶς οἱ εἰς τ. προκόπτοντες δύνανται, τελείως δὲ αὐτὴν οὐδεὶς δύναται κτήσασθαι, εἰ μὴ [ἂν] ὅταν τελείως καταποθῇ τὸ θνητὸν ὑπὸ τῆς ζωῆς *ib.*90(p.128.27); **4.** perfection dist. from ordinary Christian life; **a.** ref. faith τ. πρὸς τὴν κοινὴν διαστέλλεται πίστιν Clem.*str.*4.16(p.293.2; M.8.1308B); ref. 1Cor.3:2,10 ὁ ἀπόστολος πρὸς ἀντιδιαστολὴν γνωστικῆς τ. τὴν κοινὴν πίστιν πῇ μὲν θεμέλιον λέγει, πῇ δὲ γάλα *ib.*5.4(p.342.2; M.9.45A); **b.** ref. morals μακάριοί γε ὅσοι δεόμενοι τοῦ υἱοῦ τοῦ θεοῦ τοιοῦτοι γεγόνασιν, ὡς μηκέτι αὐτοῦ χρῄζειν ἰατροῦ τοὺς κακῶς ἔχοντας θεραπεύοντος μηδὲ ποιμένος μηδὲ ἀπολυτρώσεως, ἀλλὰ σοφίας καὶ λόγου καὶ δικαιοσύνης, ἢ εἴ τι ἄλλο τοῖς διὰ τελειότητα χωρεῖν αὐτοῦ τὰ κάλλιστα δυναμένοις Or.*Jo.*1.20(22; p.25.19; M.14.60A); ὁ δεσπότης...ἐδίδαξε...ὡς καὶ δίχα τῆς τ. δυνατὸν τυχεῖν τῆς αἰωνίου ζωῆς. ἐρωτηθεὶς γὰρ ὑπὸ τοῦ νεανίσκου, 'τί ποιήσας ζωὴν αἰώνιον κληρονομήσω;' οὐκ εὐθὺς αὐτῷ τὴν περὶ τελειότητος διδασκαλίαν προσήνεγκεν, ἀλλὰ τῶν ἄλλων ἀνέμνησεν ἐντολῶν Thdt. *2Cor.*8:13ff.(3.330); δόγματα δέ, τὴν εὐαγγελικὴν διδασκαλίαν ἐκάλεσεν· ἐπειδὴ ἐν τῇ αἱρέσει τῆς γνώμης κεῖται τῆς τ. ἡ κατόρθωσις...ταῦτα γὰρ οὐ νομοθεσία, ἀλλ' αὐθαιρέτου γνώμης id.*Eph.*2:14f.(3.414); **5.** ref. perfection of gospel opp. Law νηστεύει...καὶ κατὰ τὸν νόμον ἀπὸ τῶν πράξεων τῶν φαύλων καὶ κατὰ τὴν τοῦ εὐαγγελίου τ. ἀπὸ τῶν ἐννοιῶν τῶν πονηρῶν Clem.*str.*7.12(p.54.12; M.9.504B); Χριστοῦ...τοῦ τελειοῦντος ἡμᾶς...ἀπὸ τῶν νομικῶν στοιχείων ἐπὶ τὴν εὐαγγελικὴν τ. Or.*hom.* *12.13 in Jer.*(p.100.11; M.13.396D); οἶνος μὲν οὖν εὐφραίνων νεανίδας, τὰ νομικά. ἡ δὲ τ., τοῦ νυμφίου μαστοί id.*Cant.*1(p.111.30; M.13.99D); ἄρτος ἦν ἐκείνου ζωτικώτερος, τοῖς τὴν πατρῴαν κληρονομίαν διὰ τὴν τ. [δεῖ] ἀπολαβεῖν δυναμένοις ἀποδιδόμενος id.*Jo.*6.45(26; p.155.2; M. 14.280B); cf.*ib.*10.15(12; p.185.27; 332C); καὶ τῇ τῶν Ἰουδαίων ἀσθενείᾳ τὸν...νόμον ἁρμόδιον· καὶ τῇ εὐαγγελικῇ τ. τὴν τοιαύτην νομοθεσίαν οὐ περιττήν Thdt.*qu.1 in Lev.*(1.179); Δαβὶδ...τὴν εὐαγγελικὴν πόρρωθεν ὁρῶν τ. id.*Ps.*54:5f.(1.960); **6.** perfection and baptism πῶς δὲ οὐ θέλεις προσκυνεῖσθαι τὸ πνεῦμα τὸ ἅγιον, εἰς ὃ ἐβαπτίσθης;...πῶς δὲ οὐχ ὁμολογούμενόν ἐστιν, ὅτι τῆς προσκυνήσεως τὸ βάπτισμα μεῖζον, ὅπου γε καὶ κατηχούμενοι προσκυνοῦσι πατέρα καὶ υἱόν, οὐκ ἔχουσι δὲ τ., ἐὰν μὴ βαπτισθῶσιν εἰς τὸ ὄνομα τοῦ πατρός, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος; εἰ δὲ μή εἰσι τέλειοι Χριστιανοὶ οἱ κατηχούμενοι πρὶν ἢ βαπτισθῶσι, βαπτισθέντες δὲ τελειοῦνται· τὸ βάπτισμα ἄρα μεῖζόν ἐστι τῆς προσκυνήσεως, ὃ τὴν τ. παρέχει ‡Ath.*Maced.dial.*1.6(M.28. 1297B); ἐν τῇ σφραγῖδι τῆς μυστικῆς τ. ‡Caes.Naz.*dial.*12(M.38.869); **7.** as state of future life, ref. Mt.18:10 τῶν ἐσομένων ἐν τῇ αὐτῇ κληρονομίᾳ καὶ τ. Clem.*exc.Thdot.*23(p.114.29; M.9.672A); ref. Jo. 4:21,23 οἶμαί γε τὸ μὲν πρότερον δηλοῦν τὴν ἔξω σωμάτων προσκύνησιν ἐνστησομένην καὶ τὴν τ.· τὸ δὲ δεύτερον τὴν τῶν ἐν βίῳ τούτῳ Or.*Jo.*13. 14(p.238.21; M.14.420C); τοῖς ἐπὶ τελειότητα φθάσασιν ἐν τῷ μέλλοντι αἰῶνι id.*fr.38 in Jo.*(p.514.22); **8.** possibility of reaching perfection τῆς τ. ἔξεστιν ἐπ' ἴσης μὲν ἀνδρί, ἐπ' ἴσης δὲ καὶ γυναικὶ μεταλαβεῖν Clem.*str.*4.19(p.300.5; M.8.1328A); proved from Mt.5:48, Col.1:28, etc. πρὸς τοὺς λέγοντας ἀδύνατον εἶναι τῆς τ. ἐφικέσθαι, καὶ τῆς εἰσάπαξ ἀπαλλαγῆς τῶν παθῶν...ἀναγκαῖον τὴν ἀπὸ τῶν θείων γραφῶν μαρτυρίαν ἐπενεγκεῖν, καὶ δεῖξαι κακῶς εἰδότας αὐτούς Mac.Aeg.*or.*11(M.34. 861A); **9.** evil as lack of perfection κακὸν...ἐρημία τῆς τῶν οἰκείων ἀγαθῶν τ. Dion.Ar.*d.n.*4.24(M.3.728A); κακὸν αὐτοῖς [sc. δαίμοσιν] ἐκ τῆς τῶν οἰκείων ἀγαθῶν ἀποπτώσεως, καὶ ἀλλοίωσις ἡ...ἀσθένεια τῆς προσηκούσης αὐτοῖς ἀγγελοπρεποῦς τ. *ib.*4.34(733C); **10.** ref. counsels and precepts εἴ τινι ὁ ἀπόστολος δι' ἀκρασίαν...δευτέρου μεταδίδωσι γάμου...οὐχ ἁμαρτάνει...οὐ πληροῖ δὲ τῆς κατὰ τὸ εὐαγγέλιον πολιτείας τὴν...τ. Clem.*str.*3.12(p.233.29; M.8.1184A); **11.** exeg. Ps.118:66 τὸ ἔξοχον τῆς γνώσεως ὁ προφήτης ὧδε παραστάς· χρηστότητα καὶ παιδείαν καὶ γνῶσιν δίδαξόν με· κατ' ἐπανάβασιν αὐξήσας τὸ ἡγεμονικὸν τῆς τ. Clem.*str.*7.7(p.28.7; M.9.452B); 1Cor.6:7 τοῦ γνωστικοῦ τὴν τ. ὑπογράφει. οὐ γὰρ ἐπὶ τοῦ ἀδικεῖσθαι μᾶλλον ἢ ἀδικεῖν ἵστησι τὸν γνωστικὸν μόνον, ἀλλὰ καὶ ἀμνησίκακον εἶναι διδάσκει, μηδὲ εὔχεσθαι κατὰ τοῦ ἀδικήσαντος ἐπιτρέπων *ib.*7.14(p.60.20; 517B); Col. 3:14 οὐκ εἶπεν, ὅτι κορυφή ἐστιν, ἀλλ' ὃ μεῖζόν ἐστι, σύνδεσμος·... κορυφὴ μὲν γὰρ ἐπίτασις τελειότητος, σύνδεσμος δὲ συγκράτησις τῶν τὴν τ. ποιούντων, ὡσανεὶ ἡ ῥίζα Chrys.*hom.8.2 in Col.*(11.383A); **12.** Gnost. τὰς φωνὰς...τῶν μὴ βιούντων ὀρθῶς Βασιλειδιανῶν, ὡς ἤτοι ἐχόντων ἐξουσίαν καὶ τοῦ ἁμαρτεῖν διὰ τὴν τ. Clem.*str.*3.1 (p.196.19; M.8.1104A); **13.** Pythagorean Πυθαγόραν...'Ηρακλείδης ἱστορεῖ τὴν ἐπιστήμην τῆς τ. τῶν ἀριθμῶν τῆς ψυχῆς εὐδαιμονίαν εἶναι παραδεδωκέναι Clem.*str.*2.21(p.184.9; M.8.1077A ἀρετῶν for ἀριθμῶν); **14.** polite style of address, esp. for bishops and monks παρακαλῶ τὴν ἀσύγκριτον ὑμῶν ἐν Χριστῷ τ. Bas.*ep.*23(3.102A; M. 32.296A); Gr.Naz.*ep.*64(M.37.125C); Gr.Nyss.*ep.*25(M.46.1093C); ἡ κατὰ θεὸν σοῦ τ. Thdt.*ep.*83(p.49.8; 4.1146).

***τελειοῦμνητος,** *perfectly hymned,* ‡Chrys.*ador.*(11.824B).

τελει-όω, 1. *fulfil, perform* ἐὰν...ἀγνῶς τελειώσωσι τὴν διακονίαν αὐτῶν, δυνήσονται ζῆσαι Herm.*sim.*9.26.2; ἐπέμφθη ὁ σωτὴρ...ἵνα τελειώσῃ τὸ ἔργον τοῦ θεοῦ καὶ ἕκαστος τετελειωμένος οἰκειωθῇ τῇ... στερεᾷ τροφῇ καὶ τῇ σοφίᾳ συνῇ Or.*Jo.*13.37(p.262.24; M.14.464B); ὡς δὲ ὀφείλοντος γενέσθαι τοῦ θανάτου, οὐχ ἑαυτῷ, ἀλλὰ παρ' ἑτέρων ἐλάμβανε [sc. Christ] τὴν πρόφασιν τοῦ τελειῶσαι τὴν θυσίαν Ath.*inc.* 21.6(M.25.133B); σοῦ γάρ εἰμι λόγος...καὶ διὰ σὲ τετελείωται ἐν ἐμοὶ τῶν ἀνθρώπων ἡ σωτηρία id.*Ar.*3.22(M.26.369A); οὐ βασιλικῷ προστάγματι τὰ τῆς συνόδου ~οῦται id.*h.Ar.*11(p.188.35; M.25.705C); ὁ...ἱεράρχης...ὑμνεῖ τὰς θεουργίας Ἰησοῦ...ἃς ἐπὶ σωτηρίᾳ τοῦ γένους ἡμῶν...ἐτελείωσεν Dion.Ar.*e.h.*3.3.12(M.3.441D); esp. of performing God's will ταχὺ καὶ ἐξαίφνης τελειωθήσεται τὸ βούλημα αὐτοῦ *1Clem.* 23.5; οὐδὲν ἐν τῷ πατρὶ πρὸ τοῦ λόγου, ἀλλ' ἐν τῷ λόγῳ καὶ ἡ βούλησις καὶ δι' αὐτοῦ τὰ τοῦ βουλήματος εἰς ἔργον ~οῦται Ath.*Ar.*3.67(M.26. 465A); **2.** *fulfil* prophecies or visions, Herm.*vis.*4.1.3; πᾶν...ῥῆμα, ὃ ἀφῆκεν ἐκ τοῦ στόματος αὐτοῦ [sc. Polycarp] καὶ ἐτελειώθη καὶ τελειωθήσεται *M.Polyc.*16.2; τὴν μίαν τὴν ἐκ προφητείας εἰς εὐαγγέλιον τετελειωμένην δι' ἑνὸς καὶ τοῦ αὐτοῦ κυρίου διδάσκων σωτηρίαν Clem.*str.*2.6(p.128.28; M.8.964D); τὸν ἐγχειρήσαντα εὐλαβούμενος τετελείωκε τὴν προφητείαν Ath.*ep.Drac.*5(M.25.529B); **3.** *finish, accomplish* ταῦτα...πάντα τελειώσας, ἐπῆνεσεν αὐτὰ καὶ ηὐλόγησεν *1Clem.*33.6; προσέχειν...τῷ εὐαγγελίῳ, ἐν ᾧ τὸ πάθος ἡμῖν δεδήλωται καὶ ἡ ἀνάστασις τετελείωται Ign.*Smyrn.*7.2; ἡ ἕκτη ὥρα τῆς...οἰκονομίας..., καθ' ἣν ἐτελειώθη ὁ ἄνθρωπος Clem.*str.*6.16(p.503.27; M.9. 369A); ἡ μὲν...τοῦ κυρίου...διδασκαλία ἀπὸ Αὐγούστου καὶ Τιβερίου Καίσαρος ἀρξαμένη μεσούντων τῶν Αὐγούστου χρόνων ~οῦται, ἡ δὲ τῶν ἀποστόλων αὐτοῦ μέχρι γε τῆς Παύλου λειτουργίας ἐπὶ Νέρωνος ~οῦται *ib.*7.17(p.75.11; 548B); ἡ τοῦ λόγου ἐπιδημία τετελείωκε τὸ ἔργον τοῦ πατρός Ath.*Ar.*1.59(M.26.136C); ἔπρεπε...αὐτὸν...ἐλθόντα τελειῶσαι τὸ ἔργον καὶ δούλου λαβόντα μορφήν, κύριον ὀνομάζειν τὸν πατέρα *ib.*2.50(233A); ταύτην...τὴν πρόθεσιν...ὁ θεὸς τελειώσειεν id.*v. Anton.*proem.(M.26.837A); of end of life ἐτελειώθη...ὁ δρόμος τῶν ἁγίων ἀποστόλων...μηνὶ Ἰουνίῳ κθ' *A.Petr.et Paul.*88(p.221.11); **4.** *complete, perfect,* in gen. μνήσθητι, κύριε, τῆς ἐκκλησίας σου, τοῦ ῥύσασθαι αὐτὴν ἀπὸ παντὸς πονηροῦ καὶ τελειῶσαι αὐτὴν ἐν τῇ ἀγάπῃ σου *Did.*10.5; οὐ γὰρ ὠφελήσει ὑμᾶς ὁ πᾶς χρόνος τῆς πίστεως ὑμῶν, ἐὰν μὴ ἐν τῷ ἐσχάτῳ καιρῷ τελειωθῆτε *ib.*16.2; ἐν τῇ ἀγάπῃ ἐτελειώθησαν πάντες οἱ ἐκλεκτοὶ τοῦ θεοῦ *1Clem.*49.5; οἱ ἐν ἀγάπῃ τελειωθέντες ...ἔχουσι χῶρον εὐσεβῶν *ib.*50.3; cf. ὁ μὲν...πρῶτος βαθμὸς τῆς σωτηρίας ἡ μετὰ φόβου διδασκαλία..., δεύτερος δὲ ἡ ἐλπίς,...~οῖ δὲ ἡ ἀγάπη...γνωστικῶς ἤδη παιδεύουσα Clem.*str.*4.7(p.272.22; M.8. 1265A); πίστις πάντα...~οῖ Herm.*mand.*9.10; cf. οὗτοι δ' ἂν εἶεν οἱ ἑλόμενοι οἰκεῖοι εἶναι αὐτῷ, οἱ διὰ πίστεως ~ούμενοι Clem.*str.*7.2(p.8. 3; M.9.412C); ref. γνῶσις: διὰ ταύτης ~οῦται ἡ πίστις, ὡς τελείου τοῦ πιστοῦ ταύτῃ μόνως γιγνομένου *ib.*7.10(p.40.24; 477C); ~οῦται γοῦν τις καὶ ὡς εὐλαβής, καὶ ὡς ὑπομενητικὸς...καὶ ὡς μάρτυς καὶ ὡς γνωστικός *ib.*4.21(p.305.19; M.8.1340B); ἡ...σωφροσύνη, κατὰ τὴν γνῶσιν ~ουμένη..., κύριον καὶ αὐτοκράτορα τὸν ἄνδρα παρασκευάζει *ib.* 7.11(p.49.2; M.9.493C); αὕτη...ἡ ἐνέργεια τοῦ τελειωθέντος γνωστικοῦ, προσομιλεῖν τῷ θεῷ διὰ τοῦ μεγάλου ἀρχιερέως *ib.*7.3(p.10.17; 417A);

B. moral; of rational beings, *mutable,* i.e. *liable to moral lapse*; **1.** of angels ὅταν οἱ ἄγγελοι μὴ ὦσιν ἄμεμπτοι, τρεπτῆς γὰρ φύσεως καὶ αὐτοί Olymp.*Job* 4:17f.(M.93.77B); τ. ... ὄντες καὶ αὐτοί, κάμνουσιν ἀεὶ τῇ τροπῇ, ἀναλογιζόμενοι καὶ ἐλπίζοντες τὴν ἐλευθερίαν Cosm.Ind.*top.*2(M.88.125C); τίς οὖν οὐ συνθήσεται, πάντα τὰ ὄντα τ., ὅσα ὑπὸ τὴν ἡμετέραν αἴσθησιν· ἀλλὰ μὴν καὶ ἀγγέλους τρέπεσθαι, καὶ ἀλλοιοῦσθαι...; τὰ μὲν νοητά, ἀγγέλους φημὶ καὶ δαίμονας, καὶ ψυχάς, κατὰ προαίρεσιν τήν τε ἐν τῷ καλῷ προκοπήν, καὶ τὴν ἐκ τοῦ καλοῦ ἀποφοίτησιν ἐπιτεινομένην τε καὶ ὑφιεμένην...τ. τοίνυν ὄντα, πάντως καὶ κτιστά ‡Cyr.*Trin.*2(6³.2E–3A; M.77.1121C–D); κτιστοὶ...οἱ ἄγγελοι καὶ τ. ‡Caes.Naz.*dial.*44(M.38.912); **2.** of man εἰ...καὶ ἠκολούθουν [sc. οἱ μαθηταί] ἐκ προαιρέσεως, ἀλλ' εἶχον τὸ τ. τοῦ ἀνθρώπου Or.*fr.141 in Mt.*(p.72; M.17.292C); cf. *renatus alter factus es pro altero, non jam pars Adam mutabilis et peccatis circumfusi, sed Christi,* Thdr.Mops.*fr.catech.*(Swete 2,p.325.10; M.66.1013C); his nature τ. ἐστιν ἡ ἀνθρωπίνη φύσις Or. *fr.77 in Jo.*11:1(p.544.23); Gr. Naz.*ep.*32(M.37.69D); τὴν ἡμετέραν...σάρκα τὴν διὰ τὸ τ. τῆς φύσεως εἰς ἁμαρτίαν πεσοῦσαν Gr.Nyss.*Apoll.*40(M.45.1216B); id.*v.Mos.*(M. 44.325C); id.*hom.8 in Cant.*(M.44.945C); id.*or.catech.*21(p.81.7; M. 45.57D); Cyr.*inc.unigen.*(5¹.683E); Cosm.Ind.*top.*5(M.88.221C); his will τ. ἐστιν ἡ προαίρεσις τῶν ἔτι προσκοπτόντων καὶ ἐπιδεχομένη τὸ ἐναντία θέλειν οἷς πρότερον προέθετο Or.*Jo.*32.19(12; p.459.27; M.14. 796C); **3.** whence the need for redemption ἐπειδὴ...τῶν γενητῶν ἡ φύσις ἐστὶ τ. ... διὰ τοῦτο πάλιν ἀτρέπτου χρεία ἦν Ath.*Ar.*1.51(M.26. 117B); βούλεται ἡμᾶς ὁ λόγος τρεπτοὺς ὄντας κατὰ τὴν φύσιν, μὴ πρὸς τὸ κακὸν διὰ τῆς τροπῆς ἀπορρέειν· ἀλλὰ...συνεργὸν τὴν τροπὴν πρὸς τὴν ὑψηλοτέρων ἄνοδον ἔχειν, ὥστε κατορθωθῆναι διὰ τοῦ τ. τῆς φύσεως ἡμῶν τὸ πρὸς τὸ κακὸν ἀναλλοίωτον Gr.Nyss.*hom.8 in Cant.* (M.44.945C); ὁ ἄτρεπτος ἐν τῷ τ. γίνεται, ἵνα...μεταβαλὼν ἐκ τοῦ χείρονος τὴν ἐμμιχθεῖσαν τῇ τ. διαθέσει κακίαν ἐξαφανίσῃ ἀπὸ τῆς φύσεως id.*Eun.*5(2 p.119.25; M.45.700D); id.*Apoll.*2(M.45.1128A).

C. theol. (cf. A.2); **1.** no more applicable to Logos than to Father πῶς δὲ τ. καὶ ἀλλοιωτὸς ὁ λέγων [Jo.14:10 al.] Alex.Al.*ep.encycl.*14 (p.9.7; M.18.576B); τοὺς δὲ λέγοντας 'ἦν ποτε ὅτε οὐκ ἦν'...ἡ κτιστὸν ἢ τ. ἢ ἀλλοιωτὸν τὸν υἱὸν τοῦ θεοῦ...ἀναθεματίζει ἡ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία *Symb.Nic.*(325)(p.52.4; M.20.1540C); cf. εἶναί ποτε ὅτε οὐκ ἦν, καὶ αὐτεξουσιότητι κακίας καὶ ἀρετῆς δεκτικὸν τὸν υἱὸν

τοῦ θεοῦ λέγοντος CNic.(325)*ep.*(p.48.3)ap.Socr.*h.e.*1.9.3(M.67.77C)'; ἀναθεματίζουσι καὶ τοὺς λέγοντας, ἢ τ. ἢ ἀλλοιωτὸν τὸν υἱὸν τοῦ θεοῦ Thdot.Anc.*exp.symb.*23(M.77.1345C); οὐ...θέμις εἰπεῖν ἐκ τῆς οὐσίας τοῦ ἀτρέπτου τ. γεννᾶσθαι λόγον, καὶ ἀλλοιουμένην σοφίαν Thdt. ap.*cat.Heb.*1:12 suppl.(p.373.9); **2.** heret.; **a.** Bardesanes denied Inc. as implying change τ. εὑρεθήσεται ὁ λόγος εἰ κατὰ σὲ γέγονε σάρξ Adam.*dial.*4.16(p.174.16; M.11.1832B); **b.** asserted of Son by Arians οὐκ ἔστιν ἄτρεπτος, ὡς ὁ πατήρ, ἀλλὰ τ. ἐστι φύσει, ὡς τὰ κτίσματα Ar.ap.Ath.*Ar.*1.9(M.26.29B); τὰς μὲν παρὰ τῶν Ἀρειανῶν ἐφευρεθείσας...λέξεις...τὸ λέγειν...ὅτι τ. ἐστι φύσεως Ath.*ep.Afr.*5 (M.26.1037B); τ. ὧν φύσεως ἢ ὡς λίθος καὶ ξύλον οὐκ ἔχει τὴν προαίρεσιν ἐλευθέραν id.*Ar.*1.35(M.26.84B); εἰ οὖν τὸ θέλημα [sc. τοῦ υἱοῦ] παραιτητέον, τ. ... ἡ φύσις Aëtius ap.Anast.S.*monoph.*(M.89.1181B); as being a creature συναναλαμβάνοντες τῇ...κτίσει καὶ τὸν υἱὸν τοῦ θεοῦ. οἷς ἀκολούθως καί φασιν αὐτὸν τρεπτῆς εἶναι φύσεως, ἀρετῆς τε καὶ κακίας ἐπιδεκτικόν Alex.Al.*ep.Alex.*11(p.21.12; M.18.552B); εἰς...τῶν ποιημάτων...ἐστι...διὸ καὶ τ. ἐστι καὶ ἀλλοιωτὸς τὴν φύσιν ὡς τὰ πάντα τὰ λογικά...εἰ δύναται ὁ τοῦ θεοῦ λόγος τραπῆναι ὡς ὁ διάβολος ἐτράπη id.*ep.encycl.*7ff.(p.8.2; M.18.573B); idea includes moral progress as well as moral decline, id.*ep.Alex.*11(p.21.12; 552B) cit. supra; ὡς ὁ Χριστὸς τ. μὲν τῇ γε φύσει τῇ οἰκείᾳ, ἐπιμελείᾳ δὲ τῶν ἀρετῶν ἀνυπερβλήτῳ εἰς τὸ ἄτρεπτον ἀνυψωθῆναι Philost.*h.e.*8.3(M.65. 557B); εἰ τ. ὧν φύσεως ὁ υἱὸς...ἐφέσει τῇ περὶ τὸ ἀγαθὸν εἰς τοῦτο γέγονε καταστάσεως, ὡς μηδεμίαν ἔχειν πρὸς τὸν πατέρα διαφοράν Cyr. *thes.*13(5[1].126A); Christ, in fact, avoiding moral lapse through exercise of will αὐτὸν τ. τυγχάνοντα φύσεως διὰ τρόπων ἐπιμέλειαν καὶ ἄσκησιν μὴ τρεπόμενον ἐπὶ τὸ χεῖρον, ἐξελέξατο Alex.Al.*ep.Alex.*13 (p.21.21; 552C); καὶ αὐτεξούσιός ἐστι καὶ ἰδίᾳ προαιρέσει οὐ τρέπεται, τ. ὧν φύσεως; Ath.*Ar.*1.22(57C); *ib.*1.35(84B); αὐτὸς ὁ λόγος ἐστὶ τ. ... ὅτε...θέλει δύναται τρέπεσθαι καὶ αὐτὸς ὥσπερ καὶ ἡμεῖς *ib.*1.5 (21C); τῇ μὲν φύσει τ. ἐστι, τῷ δὲ ἰδίῳ αὐτεξουσίῳ, ὡς βούλεται, μένει καλός· ὅτε μέντοι θέλει, δύναται τρέπεσθαι καὶ αὐτὸς ὥσπερ καὶ τὰ πάντα id.*ep.Aeg.Lib.*12(M.25.564C); Ἄρειος καὶ οἱ σὺν αὐτῷ...λέγοντες '...τ. ...ἐστι, δυνάμενος, ὅτε βούλεται, τραπῆναι' ἐξεβλήθησαν τῆς ἐκκλησίας id.*syn.*14(M.26.705C); **c.** ref. Apollinarian Christology οὐδὲ τοῦτο συνιδεῖν ἠδυνήθησαν...ὅτι ὁ μὲν θεῖος νοῦς αὐτοκίνητός ἐστι καὶ ταυτοκίνητος, ἄτρεπτος γάρ, ὁ δὲ ἀνθρώπινος αὐτοκίνητος μέν, οὐ ταυτοκίνητος δέ, τ. γάρ, καὶ ὅτιπερ ἀτρέπτῳ νῷ τ. οὐ μίγνυται νοῦς εἰς ἑνὸς ὑποκειμένου σύστασιν Apoll. *fr.*151(p.248.2)ap.*Doct.Patr.*41.18(p.307.14); οὐχ ἡγεῖται [sc. Apoll.] πρέπειν ἀνθρώπινον νοῦν περὶ τὸν μονογενῆ θεὸν ἐννοεῖν, καὶ τὴν αἰτίαν λέγει, ὅτι τ. ὁ νοῦς ὁ ἀνθρώπινος Gr.Nyss.*Apoll.* 40(M.45.1213B); reply of Gr. Nyss. εἰ οὖν ὁ νοῦς διὰ τὸ τ. ἀναβάλλεται, διὰ τὴν αὐτὴν αἰτίαν, μηδὲ ἡ σὰρξ ὑπ' αὐτοῦ συγχωρείσθω *ib.*

τρεπτότης, ἡ, 1. *liability to change* τὸν ἐν τ. ὄντα καὶ μετατεθῆναι δυνάμενον ἐκ τοῦ κακοῦ εἰς ἀγαθόν Flav.Ant.*anath.*4(M.48.950); **2.** *changeableness* of this life, ‡Nil.*tract.*2(M.79.1284A).

τρέπ-ω, *turn*;

I. in gen.; **A.** *divert* the attention, Gr.Nyss.*or.catech.*26(p.97.5; M.45.68B).

B. moral; pass. intrans., *turn, turn aside* τραπομένου πρὸς ἀπόστασιν τοῦ Ἰσραήλ, καὶ εἰδώλοις λελατρευκότος Cyr.*Nah.*31(3.508D); CCP(543)*anath.*2 cit. s. ἑνάς.

II. theol.; **A.** act. trans., *move, cause to turn* against μή πως ἀναξίως τῶν δώρων ἀψάμενοι τρέψωμεν καθ' ἑαυτῶν τὸ θεῖον εἰς ἐκδίκησιν *Lit.Jac.*(p.178.11).

B. med. and pass. intrans., *change, undergo change*; **1.** universally acknowledged as alien to God οὐδὲ...ὡς ἐν θυμῷ τραπήσεται θεός, μένοντος αὐτοῦ ἀτρέπτου φύσει τε καὶ γνώμῃ Thdr.Heracl. *ls.*28:21(M.18.1320A); ὅτι...ἄτρεπτος [sc. ὁ θεός]...οὔτε πρὸς τὸ χεῖρον, οὔτε πρὸς τὸ βέλτιον τραπῆναι δυνάμενος Gr.Nyss.*ep.*3(M.46. 1020B); εἰ μετὰ ταῦτα ἔσχεν υἱόν...ἐτράπη ἐκ τοῦ μὴ εἶναι πατὴρ εἰς τὸ γενέσθαι πατήρ ‡Cyr.*Trin.*7(6[3].9C; M.77.1133A); not involved in act of Creation οὐ τραπεὶς ἀπὸ ἕξεως εἰς ἕξιν θεὸς καὶ τῇ φύσει καὶ τῇ οὐσίᾳ ἀλλοιωθείς...εἶχε γὰρ ἐν ἑαυτῷ τὸ ἀεὶ δημιουργικόν Epiph.*haer.*76.38(p.391.20; M.42.597D); accusation made against pagan notions of deity εἰ μὲν ἀήρ [sc. Ζεύς]...ἀλλοιοῦται, εἰ δὲ καιρός, ~εται Athenag.*leg.*22.5(M.6.940); **2.** rejected as equally inapplicable to Son ἐχάρη μὴ τραπεὶς διὰ τὸ ἐν χαρᾷ γεγονέναι τὸν μετανενοηκότα Clem.*str.*2.16(p.151.26; M.8.1012B); cf. *unigenitus filius ejus, quoniam in omnibus inconvertibilis est et incommutabilis, et substantiale in eo omne bonum est, quod utique mutari aut converti nunquam potest, idcirco pura ejus ac sincera gloria praedicatur,* Or. *princ.*1.2.10(p.44.20; M.11.142B); οὐκ ἐπειδὴ γέγονεν ἄνθρωπος... ἐτράπη Ath.*Ar.*1.48(M.26.112C); πῶς...ἡ ἀπερίληπτος θεότης εἰς μικροῦ σώματος ὄγκον περιεγράφη, εἴπερ ἐτράπη πᾶσα ἡ τοῦ μονογενοῦς φύσις; Bas.*ep.*261.2(3.404C; M.32.973C); τοὺς δὲ λέγοντας ψιλὸν ἄνθρωπον τὸν Χριστὸν...ἢ εἰς σάρκα τραπέντα...τούτους ἀναθεματίζει ἡ καθολικὴ...ἐκκλησία Ambr.*fr.*ap.Jo.D.*Jacob.*(M.94. 1496A); τέλειος θεὸς ὤν, γέγονε τέλειος ἄνθρωπος, μὴ τραπείς, μὴ ἀλλοιωθεὶς τὴν...οὐσίαν τῆς αὐτοῦ θεότητος ‡Ath.*symb.*4(M.28.1589D); εἷς ἐστιν ὁ Χριστός· εἷς δὲ οὐ τραπεῖσα ἡ σάρξ, ἀλλὰ ἀναληφθεῖσα εἰς τὸν θεόν *ib.*(1592A); οὔτε τὴν σάρκα φαμὲν εἰς θεότητος τραπῆναι φύσιν Cyr.*ep.*17(p.35.21; 5[2].70A); id.*Chr.un.*(5[1].735E); διὰ μὲν γὰρ τοῦ 'ἐγένετο' [Jo.1:14] τὸ ἀδιαίρετον τῆς ἄκρας ἑνώσεως ὁ εὐαγγελιστὴς ὑπαινίττεται...τὸ δὲ 'ἔλαβε' [Phil.2:7] βοᾷ τὸ ἄτρεπτον τῆς φύσεως... οὔτε γὰρ ἐξ οὐκ ὄντων παρήχθη ὁ ἀεὶ ἄναρχος, οὔτε ἐξ οὐκ ὄντων ἐτράπη ὁ ἀναλλοίωτος λόγος Procl.CP *Arm.*6(p.190.12; M.65.861B); εἰ ...ἀδύνατον τραπῆναι τὸ ἄτρεπτον οὐκ ἐγένετο σὰρξ ὁ θεὸς λόγος τραπείς, ἀλλὰ ἀνέλαβε σάρκα καὶ ἐσκήνωσεν ἐν ἡμῖν Thdt.ap.Cyr.*apol. Thdt.*1(p.109.5f.; 5[1].204B); τοῦτο τὸ 'γέγονεν' εἰ μὴ σαφὲς γένοιτο, τροπὴν αἰνίττεται καὶ ἀλλοίωσιν. εἰ μὴ γὰρ σάρκα λαβὼν ἐγένετο σάρξ, τραπεὶς ἐγένετο σάρξ...ὁ δὲ τὸν θεὸν λόγον εἰς σάρκα τετράφθαι λέγων, οὐδὲ ἕνα λέγει υἱόν. σὰρξ γὰρ αὐτὴ καθ' αὑτὴν οὐχ υἱός Thdt.*eran.*1(4. 12,14); οὔτε...ὁ λόγος ἢ εἰς σῶμα ἢ εἰς ψυχὴν κατά τι μέρος οἰκεῖον ἐτράπη Leo Mag.*ep.*35.2(p.41.22; M.*PL.*54.808A); οὐ γὰρ ἐτράπη τὴν θείαν φύσιν Max.*schol.c.h.*4.4(M.4.57D); most heretics concurred, at least verbally (Apoll.) ἄτρεπτον ὁμολογεῖ τὸν θεὸν λόγον, καὶ οὐκ εἰς σάρκα τετράφθαι φησίν Thdt.*eran.*1(4.71); fear of suggesting contact of deity with mutability being ground of his heresy αὐτὸν τὸν λόγον σάρκα γεγενῆσθαι μὴ ἀνειληφότα νοῦν ἀνθρώπινον, νοῦν ~όμενον καὶ αἰχμαλωτιζόμενον λογισμοῖς ῥυπαροῖς Apoll.*ep.Diocaes.*2(p.256.6) ap.Leont.B.*Apoll.*(M.86.1969D); yet flesh of Christ was changed acc. Apollinarian theory τετράφθαι φασὶν οὐκ οἶδ' ὅπως εἰς ὁμοουσιότητα τὴν πρὸς θεὸν λόγον σάρκα αὐτοῦ Cyr.*synous.*3(p.480.15; cf.M.76. 1429D); Cyr. himself accused by Easterns of same heresy πάντες οἱ ἐκ τῆς Ἀνατολῆς νομίζουσιν ἡμᾶς τοὺς ὀρθοδόξους ταῖς Ἀπολιναρίου δόξαις ἀκολουθεῖν...(τοιαύτας γὰρ καὶ αὐτοὶ κέχρηνται φωναῖς, ὡς τοῦ θεοῦ λόγου μεταβεβληκότος εἰς φύσιν σαρκὸς καὶ τῆς σαρκὸς τραπείσης εἰς φύσιν θεότητος) id.*ep.*44(p.35.21; 5[2].133C); (Nest.) αὐτόν τε τὸν θεὸν λόγον εἰς σάρκα ἐάν τις εἴποι τετράφθαι ἢν ἔλαβεν... ἃ. ἔ. Nest.*fr.*B 4(p.212.12); τί ἐστι 'σαρκωθέντα'; οὐ τραπέντα ἀπὸ θεότητος εἰς σάρκα id.*fr.*C 14(p.287.4); (Eutyches) ἔφη [sc. Eutyches] τὸν θεὸν λόγον ἀνθρώπειον ἐκ τῆς παρθένου λαβεῖν, ἀλλ' αὐτὸν ἀτρέπτως τραπέντα καὶ σάρκα γενόμενον· τοῖς γὰρ καταγελάστοις αὐτοῦ κέχρημαι λόγοις Thdt.*haer.*4.13(4.373); (Sev. Ant.) τὰ ἐξ ὧν ὁ Ἐμμανουὴλ ὑφεστήκει, καὶ μετὰ τὴν ἕνωσιν οὐ τέτραπται Sev.Ant.ap.Leont.H. *monoph.*(M.86.1845D); (Arian) Son naturally liable to change, but by an act of will avoided change (i.e. in moral sense) εἰ δύναται ὁ τοῦ θεοῦ λόγος τραπῆναι ὡς ὁ διάβολος ἐτράπη Alex.Al.*ep.encycl.*10 (p.8.8; M.18.573B); id.*ep.Alex.*13(p.21.21; M.18.552C); Ath.*Ar.*1.5 (M.26.21C), *ib.*1.22(57C) citt. s. τρεπτός.

τριαγμοί, οἱ, *of the triads*; title of work by Ion of Chios, Clem. *str.*1.21(p.81.10; τριγράμμοις M.8.864A).

τριάδελφοι, αἱ, *The Three Sisters* [i.e. Fates], *Orac.Sib.*5.215.

τριαδικός, 1. *threefold*; **a.** of Trin. ἕνα θεὸν τὸ τ. ὁμολογοῦντες κράτος †Gregent.*disp.*(M.86.628C); παράγοντος Σαβελλίου τὸ 'ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν' καὶ ἀναιροῦντος τὴν τ. ὑπόστασιν Leont.H. *monoph.*(M.86.1812B); ἔλεγε...ἐν πνεύματι θεοῦ ἐκβάλλειν τὰ δαιμόνια, ἵνα δείξῃ πρόσωπον τοῦ...συμπληροῦντος τὴν τ. ... καθέδραν αὐτῷ καὶ τῷ πατρί *cat.Ac.*2:22(p.42.15); τῆς ἁπλῆς καὶ μοναδικῆς αὐτοαληθείας καὶ κυριότητος καὶ θεότητος τῷ λόγῳ τῆς φύσεως καὶ τριαδικῆς καθ' ὑπόστασιν ‡Gr.Nyss.*hom.5.60 in Jo.*(p.193.4); τὴν τ. ἑνάδα...τὴν ὁμόθεον καὶ ὁμοάγαθον Dion.Ar.*d.n.*1.5(M.3.593B); ὑμνήσαμεν πῶς ἡ θεία καὶ ἀγαθὴ φύσις ἑνικὴ λέγεται, πῶς τριαδική id.*myst.*3(M.3. 1033A); id.*d.n.*13.3(981A) cit. s. ὑπερώνυμος; τῷ τ. καὶ ἑνιαίῳ φωτὶ τῆς μιᾶς θεότητος *Lit.Jac.*(p.46.28); θεολογῶ σε τὴν τ. μίαν θεότητα Andr.Cr.*can.mag.*143(p.151; M.97.1353A); **b.** of angelic orders ἡ θεολογία τὰς οὐρανίους οὐσίας ἐννέα κέκληκεν...ταύτας ὁ θεῖος ἡμῶν ἱεροτελεστὴς εἰς τρεῖς ἀφορίζει τ. διακοσμήσεις Dion.Ar.*c.h.* 6.2(M.3.200D); *ib.*(201A); **c.** ref. 3Reg.18:34 ἐκκαίων ὕδατι τ. τὰ διχοτομήματα Sophr.H.*v.Anast.*(M.92.1688A); **2.** *consisting of three, ternary* ἡ τοῦ Ἀβραὰμ ἀντωνομασία κατείληπται σημαίνουσα τὸν τ. ἀριθμὸν τῶν θεαρχικῶν ὑποστάσεων Cyr.*syn.def.*(M.76.1421A); **3.** *pertaining to the Trinity, Trinitarian* ἐξ εἰδωλολατρείας εἰς τ. θεογνωσίαν μετάστασιν Amph.*fr.*(M.39.105A); ἐν τῷ τ. μυστηρίῳ ‡Gr.Nyss. *imag.*(M.44.1340D); τ. ... ἡ μυστικὴ θεολογία διὰ τὰς ὁμοουσίους ἁγίας τρεῖς ὑποστάσεις τῆς παναγίου μονάδος Max.*ambig.*(M.91.1397C); ἡ παράδοσις τῆς καθολικῆς ἐκκλησίας οὐ συστοιχεῖ...τοῖς Ἑλλήνων φιλοσοφικοῖς εἰς ἅπαν ὅρους· καὶ μάλιστα ἐν τῷ κατὰ Χριστὸν μυστηρίῳ καὶ τῷ τ. λόγῳ Anast.S.*hod.*1(M.89.49B); ὁ ἱερεὺς τὸν λαὸν διδάσκει τὴν...τ. θεογνωσίαν ‡Bas.*h.myst.*58(p.393.2); ταῦτα τῆς Ἰουδαϊκῆς ἀπειθείας πρὸς τὴν τ. δοξολογίαν ἐναντιώτατα τὰ ἔπαθλα ‡Meth.*Sym.*

*et Ann.*12(M.18.377B); **4.** neut. as subst., *threefold character ὁ λόγος ἐν πρόσωπον ὅλον ὑπάρχων, μία τε ὑπόστασις τῆς ἁγίας τριάδος· ἐξ ὑποστάσεων γάρ, οὐ φύσεων τὸ τ. συνείλεκται* Leont.H.*Nest.*7.4(M.86.1768ᵃA); *ἀσεβὲς...παρ' ὀρθοδόξοις ἑκάτερον...τό τε μοναδικὸν καθ' ὑπόστασιν, τό τε τ. ἐν ταῖς φύσεσι* Sophr.H.*ep.syn.*(M.87.3153C); *εἰ ὑπόστασιν τὸ τῆς θεότητος καὶ τὸ τῆς ἀνθρωπότητος σημαίνουσιν ὀνόματα, ὥρα σοι λέγειν καὶ τρεῖς θεότητας διὰ τὸ τ. τῶν ὑποστάσεων καὶ ἀπείρους τὰς ἀνθρωπότητας διὰ τὸ τῶν ὑποστάσεων ἄπειρον* Jo.D. *Jacob.*14(M.94.1444C); id.*trisag.*3(M.95.29B).

***τριαδικῶς, 1.** *in a triad,* Areth.*Apoc.*4:4(M.106.569B); **2.** *by the Trinity* (i.e. not by one Person alone) *τὸ τ. διακεκοσμῆσθαι τὴν κτίσιν* Didym.*Trin.*2.1(M.39.452A); **3.** *in a threefold manner, as three τριάδα...ὁμολογοῦμεν...μοναδικῶς μὲν ἐν μιᾷ οὐσίᾳ καὶ θεότητι, τ. δὲ ἐν τρισὶν ὑποστάσεσιν* Nil.*epp.*1.255(M.79.177A); *μία θεότης οὖσά τε μοναδικῶς καὶ ὑφεσταμένη τ.* Max.*ambig.*(M.91.1036C); *τὴν ...θείαν...οὐσίαν...τ. ὑμνουμένην διὰ τὴν τρισυπόστατον ὕπαρξιν ib.* (1400D); *ἡ...θεότης, ἤτοι οὐσία, τ. ἐξαπλοῦται, ἀδιαιρέτως ἐν τρισὶ γνωριζομένη ὑποστάσεσι* Jo.D.*trisag.*2(M.95.25C).

***τριάδιν, τό,** *merel, nine men's morris,* a game probably identical with the modern Greek *τὸ τριάδι,* †Gregent.*leg.Hom.*37(M.86.601B).

***τριαδόμαχος,** *warring against* or *hostile to the Trinity τοὺς τ. ἐχθροὺς τοῦ θεοῦ, Ἄρειον καὶ Σαβέλλιον καὶ Εὐνόμιον* Dam.*troph.*suppl. (p.283.2).

***τριάδοξος,** *holding the doctrine of the Trinity,* opp. monophysites who by adding 'crucified for us' to Trisagion, were substituting quaternity in place of Trinity, ‡Faust.*ep.*(p.8.18; H.2. 848D).

τριάζ-ω, *make into a trinity,* Gr.Naz.*carm.*2.1.11.658(M.37.1074A); †Gregent.*disp.*1(M.86.628B); *Χριστιανοὶ∼οντες τὴν θεότητα ib.*(628C).

τριακάς, ἡ, *group of thirty*; of Valent. aeons, Epiph.*haer.*31.6 (p.392.19; M.41.484B); *ib.*(p.393.4; 484C); *ib.*(p.393.12; 484D).

***τριακονταγράμματος,** *of thirty letters,* ref. Marcosian pleroma of thirty aeons *ὁ γὰρ ἐπίσημος ἀριθμὸς συγκραθεὶς τοῖς κδ' στοιχείοις, τὸ τ. ὄνομα ἀπετέλεσε* Iren.*haer.*1.14.6(M.7.608B); cf.Hipp.*haer.* 6.47(p.179.17; M.16.3274A).

***τριακονταετηρικός,** *of thirty years,* (sc. *in honour of*) *thirty years of rule,* Eus.*v.C.*1.1(p.7.5; M.20.912A); *τ. ἑορτάς* id.*l.C.*6(p.211.11; M.20.1349A); as title of a speech *εἰς Κωνσταντῖνον τὸν βασιλέα τ. ib.*(p.193; 1316B).

τριακονταετηρίς, ἡ, the *thirtieth year,* Eus.*v.C.*4.47 tit.(p.116.21; M.20.1197B); *ἡ τῆς ἀφιερώσεως ἑορτὴ ἐν αὐτῇ τῇ βασιλέως τ. ... ἐπετελεῖτο ib.*4.45(p.136.27; 1196C); *Chron.Pasch.*p.286(M.92.713A).

τριακοντάς, ἡ, 1. the *number thirty*; of the thirty disciples of Jo. Bapt., *Hom.Clem.*2.23; in gen., Eus.*l.C.*6(p.211.3; M.20.1349A); **2.** *group of thirty,* of Valent. aeons *γίνονται τριάκοντα αἰῶνες μετὰ τοῦ Χριστοῦ καὶ τοῦ ἁγίου πνεύματος· τινὲς μὲν οὖν αὐτῶν ταύτην εἶναι θέλουσιν τὴν τ. τῶν αἰώνων, τινὲς δὲ συνυπάρχειν τῷ πατρὶ Σιγὴν καὶ σὺν αὐτοῖς καταριθμεῖσθαι τοὺς αἰῶνας θέλουσιν* Hipp.*haer.*6.31 (p.158.28; M.16.3239D); *ὁ μονογενὴς...γενόμενος ἐν τ. αἰώνων, εἰσῆλθεν εἰς τόνδε τὸν κόσμον ib.*8.10(p.230.10; 3355A); depicted in man *τὸν ἄνθρωπον...τὴν εἰκόνα τῆς τ. οὕτως ἔχειν...· ἐν μὲν ταῖς χερσὶ διὰ τῶν δακτύλων τὴν δεκάδα βαστάζειν· ἐν ὅλῳ δὲ τῷ σώματι... τὴν δωδεκάδα...τήν τε οὖν ὀγδοάδα...ἀόρατον οὖσαν, ἐν τοῖς σπλάγχνοις κρυβομένην νοεῖσθαι* Iren.*haer.*1.18.1(M.7.644B); in division of time *τὴν ὥραν..., τὸ δωδέκατον τῆς ἡμέρας, ἐκ τριάκοντα μοιρῶν κεκοσμῆσθαι διὰ τὴν εἰκόνα τῆς τ. ib.*1.17.1(640A); ref. comparison of Valent. cosmogony with Hesiod's *καὶ οὗτος μὲν ὁ ἀριθμὸς κατὰ ἀκολουθίαν ἀρρενοθηλείας οὕτως ἔχει τὴν τ.* Epiph.*haer.*31.3(p.387.8; M.41.477C); *ib.*31.4(p.389.8; 480C); **3.** *thirtieth part,* Epiph.*haer.*15.1(p.211.3; M. 41.249A).

***τριακοντώνυμος,** *named from thirty* (*aeons*), of Sophia *τὴν τριακοντώνυμον μητέρα* Iren.*haer.*1.17.1(M.7.640A) but cf. Lat. ad loc.: *trigesimam nominis...matrem*; cf.Hipp.*haer.*6.53(p.188.2; M. 16.3290A).

***τριακοσιομέδιμνος, ὁ,** *one possessing land producing 300 medimni yearly,* Synes.*insomn.*12(p.168.9; M.66.1301D).

***τριακοστοετής,** *of thirty years,* of Christ *καὶ ἕως τριακοστοετοῦς χρόνου διανύσας* [sc. Christ], *ἵνα πᾶσαν ἡλικίαν εὐλογήσῃ, τότε ἐπὶ τὸ βάπτισμα ἔρχεται* Gel.Cyz.*h.e.*2.24.23(M.85.1304B).

***τριακοστοτέταρτος,** *thirty-fourth, Chron.Pasch.*p.209(M.92.512D).

***τρίαρχος, A.** as subst. *ruler of a third part* (cf. *τετράρχης*), Thphl. Ant.*Autol.*2.31(M.6.1104C).

B. as adj.; **1.** *of triple origin,* ref. Trin. *ὥσπερ...ἐκ πηγῆς ἀεννάου τρίαρχος θάλασσα* Dam.*troph.*suppl.(p.281.16); **2.** *with three points*; of antlers, *Phys.Gr.*B 4(p.170.3; M.43.521C).

τριάς, ἡ, I. the *number three*; as masculine (uneven) number (Gnost.), Hipp.*haer.*4.51(p.75.11; M.16.3119B); Eus.*l.C.*6(p.209.27; M.20.1348A).

II. *group of three, triad*;

A. in gen., ref. Mt.18:20 *αἰνίσσεται ἡ...τ. ... ἀνήρ, γυνή, τέκνον... θυμός, ἐπιθυμία, λογισμός...σάρξ, ψυχή, πνεῦμα* Clem.*str.*3.10(p.227. 12; M.8.1169C); *ἡ ἁγία τ., πίστις, ἐλπίς, ἀγάπη ib.*4.7(p.273.6; 1265B); of stages of spiritual progress *τὴν μακαρίαν τῶν ἁγίων τ. μονῶν ib.*7.7 (p.31.2; M.9.457A); (Valent.) of 'triad of corruption' (prob. *κόσμος, θάνατος, φθορά*) from which believer is delivered through baptism *διὰ γὰρ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος σφραγισθεὶς ἀνεπίληπτός ἐστι πάσῃ τῇ ἄλλῃ δυνάμει, καὶ διὰ τριῶν ὀνομάτων πάσης τῆς ἐν φθορᾷ τ. ἀπηλλάγη* id.*exc.Thdot.*80(p.131.29; M.9.696B); (Peratic) *λέγουσιν ἕνα εἶναι κόσμον τινά...τριχῇ διηρημένον...ἡ δὲ πρώτη τομὴ καὶ προσεχεστέρα...ἐστιν ἡ τ. καὶ καλεῖται ἀγαθὸν τέλειον, μέγεθος πατρικόν· τὸ δὲ δεύτερον μέρος τῆς τ. οἱονεὶ δυνάμεων...πλῆθος· τρίτον ἰδικόν* Hipp.*haer.*10.10(p.269.4; 3419C); cf.*ib.*5.12(p.104.19; 3162A); ref. bodily triad of *ἐπιθυμία, ὀργή, λύπη* and spiritual triad of *λογισμός, γνῶσις, φόβος, Hom.Clem.*20.2; ref. sons of Const. *τριάδος λόγῳ τριττὴν γονὴν παίδων θεοφιλῆ* Eus.*v.C.*4.40(p.133.9; M.20.1188D); ref. days of Creation *τὸ φῶς, ὅπερ...ἔφη Μωσῆς...ὁρίσαι τὴν πρώτην τῶν ...ἡμερῶν τ.* Dion.Ar.*d.n.*4.5(M.3.700A); of a triad of angelic orders, id.*e.h.*5.1.1(M.3.500D); *ib.*6.1.1(529D).

B. Trin.; **1.** in gen., *triad* of the divine Persons *αἱ τρεῖς ἡμέραι... τύποι εἰσὶν τῆς τ. τοῦ θεοῦ καὶ τοῦ λόγου αὐτοῦ καὶ τῆς σοφίας αὐτοῦ* Thphl.Ant.*Autol.*2.15(M.6.1077B); cf. implied use of term in Valent. baptismal invocation, Clem.*exc.Thdot.*80(p.131.29; M.9.696B) cit. s. A supra; *διὰ γὰρ τῆς τ. ταύτης* [ref. baptismal formula] *πατὴρ δοξάζεται. πατὴρ γὰρ ἠθέλησεν, υἱὸς ἐποίησεν, πνεῦμα ἐφανέρωσεν* Hipp. *Noët.*14(p.257.17; M.10.821B); *τ. ἐστι δόξαις οὐχ ὁμοίαις· ἀνεπίμικτοι ἑαυταῖς εἰσιν αἱ ὑποστάσεις αὐτῶν* Ar.*Thal.fr.*2 ap.Ath.*syn.*15(p.242. 25; M.26.708A); *θεότης δὲ μία ἐν Μωϋσῇ...καταγγέλλεται, δυὰς δὲ ἐν προφήταις σφόδρα κηρύττεται, τ. δὲ ἐν εὐαγγελίοις φανεροῦται* Epiph.*anc.*73(p.92.7; M.43.153B); **2.** theol.; *trinity* or '*triunity*'; **a.** in gen., Hipp.*Noët.*14(p.257.17; M.10.821B) cit. s. B.1; cf. *illa vero substantia trinitatis quae principium est et causa omnium,* Or.*princ.* 4.3.15(p.347.19; M.11.404A); cf. *una et incorporea natura...trinitatis, ib.*4.4.5(p.356.10; 407A); cf. *idem namque ipse qui ibi trinitas propter distinctionem personarum, hic unus deus intelligitur pro unitate substantiae,* id.*Cant.*3(M.13.177C); *ἡνῶσθαι γὰρ ἀνάγκη τῷ θεῷ τῶν ὅλων τὸν θεῖον λόγον, ἐμφιλοχωρεῖν δὲ τῷ θεῷ καὶ ἐνδιαιτᾶσθαι δεῖ τὸ ἅγιον πνεῦμα· ἤδη καὶ τὴν θείαν τ. εἰς ἕνα, ὥσπερ εἰς κορυφήν τινα, τὸν θεὸν τῶν ὅλων τὸν παντοκράτορα λέγω, συγκεφαλαιοῦσθαί τε καὶ συνάγεσθαι πᾶσα ἀνάγκη* Dion.R.ap.Ath.*decr.*26(p.22.10; M.25.464A); *εἰς...τὴν τ. τὴν μονάδα πλατύνομεν ἀδιαίρετον καὶ τὴν τ. πάλιν ἀμείωτον εἰς τὴν μονάδα συγκεφαλαιούμεθα* Dion.Al.ap.eund.*Dion.*17(p.58. 24; M.25.505A); *τ. τελεία, δόξῃ καὶ ἀιδιότητι καὶ βασιλείᾳ μὴ μεριζομένη μηδὲ ἀπαλλοτριούμενη* Gr.Thaum.*symb.*(p.3.10; M.10.985A); *ὁ πατὴρ διὰ τοῦ λόγου τὰ πάντα ποιεῖ καὶ οὕτως ἡ ἑνότης τῆς ἁγίας τ. σώζεται· καὶ οὕτως εἰς θεὸς ἐν τῇ ἐκκλησίᾳ κηρύττεται* Ath. *ep.Serap.*1.28(M.26.596A); *μία τῆς τ. ἡ θεότης ἐξ ἑνὸς τοῦ πατρὸς γινωσκομένη ib.*3.6(636B); *μία θεότης ἐστὶν ἐν τ.* id.*Ar.*1.18(M.26. 48C); *ἕνα διὰ τῆς τ. ὁμολογοῦμεν εἶναι τὸν θεὸν...μίαν ἐν τ. θεότητα φρονοῦμεν ib.*3.15(353B); *ὁ υἱὸς τοῦ πατρὸς υἱὸς καὶ πνεῦμα τοῦ πατρὸς πνεῦμα εἴρηται· καὶ οὕτως τῆς ἁγίας τ. μία ἡ θεότης καὶ πίστις ἐστίν* id.*ep.Serap.*1.16(569B); *τ. ... ἐστιν οὐχ ἕως ὀνόματος μόνον καὶ φαντασίας λέξεως, ἀλλὰ ἀληθείᾳ καὶ ὑπάρξει τ. ib.*1.28(596A,B); *εἰς ἁγίαν τ. πιστεύειν, οὐκ ὀνόματι τ. μόνον, ἀλλ' ἀληθῶς οὖσαν καὶ ὑφεστῶσαν* id.*tom.*5(M.26.801B); *εὐσεβὲς...ἐστι φρονεῖν καὶ ὁμολογεῖν τὴν τ. ἐν μιᾷ θεότητι* Paulin.T.*symb.*(p.435.3; M.42.672C); *τ., ὡς ἀληθῶς ἡ τ. ... τ. δὲ οὐ πραγμάτων ἀνίσων ἀπαρίθμησις ἢ τί κωλύει καὶ δεκάδα...ὀνομάζειν...; ἀλλ' ἴσων καὶ ὁμοτίμων σύλληψις, ἑνούσης τῆς προσηγορίας τὰ ἡνωμένα ἐκ φύσεως* Gr.Naz.*or.*23.10(M.35.1161B); *μονάδα ἐν τ. καὶ τ. ἐν μονάδι προσκυνουμένην, παράδοξον ἔχουσαν καὶ τὴν διαίρεσιν καὶ τὴν ἕνωσιν ib.*25.17(1221C); *πῶς ἡ αὐτὴ καὶ μονὰς νοῇ καὶ τ. εὑρίσκη...μία φύσις, τρεῖς ἰδιότητες ib.*26.19(1252C); *μονὰς ἐν τ. προσκυνουμένη καὶ τ. ἐν μονάδι ἀνακεφαλαιουμένη ib.*6.22(749C); *μονὰς ἐξ ἀρχῆς εἰς δυάδα κινηθεῖσα, μέχρι τ. ἔστη· καὶ τοῦτό ἐστιν ἡμῖν ὁ πατὴρ καὶ ὁ υἱὸς καὶ τὸ ἅγιον πνεῦμα ib.*29.2(p.75.8; M.36. 76B); *ἐκ φωτὸς τοῦ πατρὸς φῶς καταλαμβάνοντες τὸν υἱὸν ἐν φωτὶ τῷ πνεύματι, σύντομον καὶ ἀπέριττον τῆς τ. θεολογίαν ib.*31.3(p.148. 11; 136C); *λόγισαι...τὰς μὲν ὑποστατικὰς ἰδιότητας...ἐπαστράπτειν ἑκάστῳ τῶν ἐν τῇ ἁγίᾳ τ. πιστευομένων· τῆς δὲ κατὰ τὴν φύσιν ἰδιότητος μηδεμίαν ἑτέρου πρὸς τὸ ἕτερον ἐπινοεῖσθαι διαφοράν* Gr.Nyss.*diff.ess.* 5(M.32.336A); *ἐπεὶ οὖν τὸ μέν τι κοινὸν ἐν τῇ ἁγίᾳ τ., τὸ δὲ ἰδιάζον ὁ λόγος ἐνεθεώρησεν, ὁ μὲν τῆς κοινότητος λόγος εἰς τὴν οὐσίαν ἀνάγεται, ἡ δὲ ὑπόστασις τὸ ἰδιάζον ἑκάστου σημαίνει ib.*(336C); *χρὴ διὰ τῶν*

ἰδιαζόντων σημείων ἀσύγχυτον ἐπὶ τῆς τ. τὴν διάκρισιν ἔχειν *ib.*(329A); εἰς ἡμῖν ὁμολογητέος θεὸς...κἂν ἡ φωνὴ τῆς θεότητος δηλῆκει διὰ τῆς ἁγίας τ. id.*tres dii*(M.45.120D); εἰ...τὸ θεώμενον θεὸς λέγεται, οὐκέτι ἂν εὐλόγως ἀποκριθείη τι τῶν ἐν τῇ τ. προσώπων τῆς τοιαύτης προσηγορίας *ib.*(124A); οὐδὲν μᾶλλον...τρεῖς σωτῆρες...ὀνομάζονται, εἰ καὶ ὁμολογεῖται παρὰ τῆς ἁγίας τ. ἡ σωτηρία· οὕτως οὐδὲ τρεῖς θεοὶ κατὰ τὴν...τῆς θεότητος σημασίαν, κἂν ἐφαρμόζει ἡ τοιαύτη κλῆσις τῇ ἁγίᾳ τ. *ib.*(129C); εἰ...θεὸς ὄνομα οὐσίας σημαντικόν ἐστι, μίαν οὐσίαν ὁμολογοῦντες τῆς ἁγίας τ., ἕνα θεὸν εἰκότως δοξάζομεν id.*comm.not.*(M.45.176A); δυναμένης μὲν ἑκάστης θείας ὑποστάσεως ἀπροσδεῶς πάντα ποιῆσαι τελείως, ἵνα δὲ δειχθῇ τὸ συμπρακτικὸν καὶ ἀπαράλλακτον τῆς τε οὐσίας αὐτῶν...καὶ δόξης..., διὰ τοῦτο κοινῇ παρὰ τῆς ἁγίας τ. τῆς κτίσεως πληρωθείσης Didym.*Trin.*2.1(M.39.452A); ὠνόμασας υἱόν, συμπεριειλήφας τῇ διανοίᾳ τὴν τ.· ἔσχες πνεῦμα ἅγιον, κατηξίωσαι τῆς δυνάμεως τῆς πατρῴας καὶ τοῦ υἱοῦ τοῦ θεοῦ· ἐδόξασας τὸν πατέρα, ἐσήμανας τὸν υἱὸν καὶ τὸ ἅγιον πνεῦμα Epiph.*anc.*10(p.18.13; M.43.36A); ὦ τ. ἁγία ἀριθμουμένη, τ. ἐν ἑνὶ ὀνόματι ἀριθμουμένη· οὐ γὰρ λέγεται ἑνὰς καὶ δυάς, οὐδὲ μονὰς καὶ μονάς, ἀλλὰ μονὰς ἐν τ. καὶ τ. ἐν μονάδι, μονοειδῶς μονωνύμως εἷς θεός, πατὴρ ἐν υἱῷ, υἱὸς ἐν πατρὶ σὺν ἁγίῳ πνεύματι *ib.*22(p.31.20; 57D); πατέρα...καὶ υἱὸν καὶ πνεῦμα ἅγιον λέγων, οὐκ ἀφ' ὧν ἐστιν ἀδιακρίτως ἡ πᾶσα τῆς θεότητος φύσις ποιεῖται τὴν δήλωσιν, ἀλλ' ἐξ ὧν τὸ τῆς ἁγίας τ. διαγινώσκεται ταυτὸν εἰς οὐσίαν ἐν ὑποστάσεσιν ἰδικαῖς Cyr.*dial.Trin.*2(5[1].422D); μίαν τὴν τῆς τ. οὐσίαν ὁμολογῶν καὶ τρεῖς ὑποστάσεις διαρρήδην κηρύσσει Thdt.*h.e.*5.3.10(3.1018); πατὴρ καὶ υἱὸς καὶ ἅγιον πνεῦμα... τ. ἐν μονάδι γινωσκομένη, καὶ μονὰς ἐν τ. προσκυνουμένη Procl.CP *annunt.*2(M.85.432A); τὴν θεαρχίαν ὁρῶμεν ἱερῶς ὑμνουμένην, ὡς μονάδα μὲν...διὰ τὴν ἁπλότητα...ὡς τ. δέ, διὰ τὴν τρισυπόστατον τῆς ὑπερουσίου γονιμότητος ἔκφανσιν, ἐξ ἧς πᾶσα πατριὰ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ἐστι καὶ ὀνομάζεται Dion.Ar.*d.n.*1.4(M.3.592A); εἷς θεὸς ὅτι μία θεότης· μονὰς ἄναρχος καὶ ἁπλῆ...ἡ αὐτὴ μονὰς καὶ τ.· ὅλη μονὰς ἡ αὐτὴ καὶ ὅλη τ. ἡ αὐτή· μονὰς ὅλη κατὰ τὴν οὐσίαν ἡ αὐτὴ καὶ τ. ὅλη κατὰ τὰς ὑποστάσεις ἡ αὐτή Max.*cap.theol.*2.1(M.90.1125A); μονὰς ἀσύγχυτος καὶ τ. ἀδιαίρετος id.*cap.*1.4(M.90.1180A); ταὐτὸν...ἐστιν ὑπερβαθῆναι δυάδα καὶ μὴ στῆναι μέχρι δυάδος καὶ πάλιν ὁρισθῆναι τ. καὶ μέχρι τριάδος στῆναι τῆς μονάδος τὴν κίνησιν id.*ambig.*(M.91.1036A); μονὰς...ἀληθῶς ἡ μονάς· οὐ γάρ ἐστιν ἀρχὴ τῶν μετ' αὐτὴν κατὰ διαστολῆς συστολήν...ἀλλ' ἐνυπόστατος ὀντότης ὁμοουσίου τ. καὶ τ. ἀληθῶς ἡ τ., οὐκ ἀριθμῷ λυομένῳ...ἀλλ' ἐνούσιος ὕπαρξις τρισυποστάτου μονάδος· μονὰς γὰρ ἀληθῶς ἡ τ. ὅτι οὕτως ἐστί. καὶ τ. ἀληθῶς ἡ μονὰς ὅτι οὕτως ὑφέστηκεν· ἐπειδὴ καὶ μία θεότης, οὐσά τε μοναδικῶς καὶ ὑφεσταμένη τριαδικῶς *ib.*(1036B,C); τ. ἐστιν ἡ μονὰς ὡς ἐν τελείοις οὖσα τελεία ταῖς ὑποστάσεσιν ἦγουν τῷ τῆς ὑπάρξεως τρόπῳ· καὶ μονάς ἐστιν ἡ τ. ἀληθῶς τῷ τῆς οὐσίας...λόγῳ *ib.*(1403D); μονὰς κατ' οὐσίαν ἐστὶν ἡ πάνσεπτος καὶ προσκυνητὴ καὶ πανεύφημος τ. τῶν ὑποστάσεων. μονὰς γὰρ ἐν τ. καὶ ἐν μονάδι τ. ἐστιν ὁ θεὸς ἡμῶν id.*qu.Thal.*28(M.90.361D); ἡ μονὰς μέχρι τ. ... κινουμένη μένει μονὰς καὶ ἡ τ. μέχρι μονάδος συναγομένη μένει τ.· ὃ καὶ παράδοξον Thal.*cent.*4.93(M.91.1468D); ὥσπερ δὲ μίαν θεότητα τῆς ἁγίας τ. λέγουσιν, οὕτως καὶ τρεῖς τὰς ὑποστάσεις τῆς μιᾶς θεότητος δοξάζουσιν *ib.*4.85 (1468A); τρισυπόστατον τὴν μίαν τῆς θεότητος οὐσίαν προσκυνοῦμεν καὶ ὁμοούσιον τὴν ἁγίαν τ. θεολογοῦμεν *ib.*2.98(1448A); τ. ἀχώριστον ἐν μονάδι φύσεως Andr.Cr.*can.Laz.*1(M.97.1388B); ὦ μονὰς ἁγία τ., ἡ μία θεότης· καὶ τ. μονάς, ὁ θεός, τρισυπόστατε φύσις, ἡ ὁμότιμος καὶ ἀμέριστος δόξα id.*triod.*2.9(M.97.1409A); ὡρισμένον...ἀριθμὸν οὐκ ἔστιν εἰπεῖν ἐπὶ τῆς ἀορίστου θεότητος, εἰ μὴ μονάδα μὲν οὐσίας, τ. δὲ ὑποστάσεων Jo.D.*trisag.*5(M.95.32C); ὥσπερ...τὴν τ. ἀδύνατον λέγειν μίαν ὑπόστασιν, οὕτως οὐδεμίαν τῶν ὑποστάσεων τ. λέγειν ὅσιον *ib.*6 (37A); λέγεται...ὁ θεὸς νοῦς καὶ λόγος καὶ πνεῦμα...καὶ ταῦτα κοινῶς ἐπὶ πάσης λέγεται τῆς θεότητος...καὶ ἐφ' ἑκάστης τῶν τῆς ἁγίας τ. ὑποστάσεων ὁμοίως καὶ ὡσαύτως καὶ ἀπαραλείπτως id.*f.o.*1.12(M.94.848C); ἑνὶ θεῷ προσκυνῶ...ἀλλὰ καὶ τριάδι λατρεύω ὑποστάσεων, θεῷ πατρὶ καὶ θεῷ υἱῷ σεσαρκωμένῳ καὶ θεῷ ἁγίῳ πνεύματι, ἑνὶ θεῷ id.*imag.*1.4(M.94.1236B); ἐπὶ...τῆς ἁγίας καὶ ὑπερυμνήτου τ. μίαν οὐσίαν καὶ φύσιν θεότητος, τρεῖς δὲ τελείας τὰς ὑποστάσεις σέβομεν id.*Jacob.* 78(M.94.1473D); ἐπὶ...τῆς ἁγίας καὶ ὑπερουσίου θεότητος ἤτοι τῆς μοναρχικῆς καὶ ὁμοουσίου τ. *ib.*2(1437A); **b.** partic. ref. essential unity τίς οὕτω τολμηρὸς ὡς εἰπεῖν ἀνόμοιον καὶ ἑτεροφυῆ τὴν τ. πρὸς ἑαυτήν; Ath.*ep.Serap.*1.20(M.26.577A); τὸ ἀδιαίρετον καὶ ὁμοφυὲς...τῆς ἁγίας τ. *ib.*1.17(572B); id.*hom.in Mt.*11:27(M.25.220A); id.*ep. Serap.*4.12(652C), v. ἀδιαίρετος; τοιαύτης...συστοιχίας καὶ ἑνότητος τῆς ἐν τῇ ἁγίᾳ τ. οὔσης, τίς ἂν διέλοι ἢ τὸν υἱὸν ἀπὸ τοῦ πατρὸς ἢ τὸ πνεῦμα ἀπὸ τοῦ υἱοῦ; *ib.*1.20(576D); ἡ...τ. ἡνωμένη πρὸς ἑαυτήν ἐστι *ib.*1.14(565A); ἐπὶ τῆς τ. ... ἄλλος καὶ ἄλλος, ἵνα μὴ τὰς ὑποστάσεις συγχέωμεν· οὐκ ἄλλο δὲ καὶ ἄλλο· ἓν γὰρ τὰ τρία καὶ ταυτὸν τῇ θεότητι Gr.Naz.*ep.*101(M.37.180B); οὔτε τὰς ὑποστάσεις συγχέουσιν, οὔτε ἐξ ἑτερογενῶν καὶ ἀνομοίων τὴν ἁγίαν τ. συντίθενται Gr.Nyss.*ep.*5(M.46. 1032D); εἰ...παρήλλακτο...ἐπὶ τῆς ἁγίας τ. ἡ φύσις, ἀκολούθως εἰς πλῆθος θεῶν ὁ ἀριθμὸς ἐπλατύνετο id.*tres dii*(M.45.133A); οὐκ ἠλλοτριωμένη ἡ τ. τῆς ἑνότητος καὶ τῆς ταυτότητος· τιμᾶται δὲ ὁ πατὴρ καθὸ πατήρ ἐστι, τιμᾶται ὁ υἱὸς καθὸ υἱός ἐστι· τιμᾶται τὸ πνεῦμα τὸ ἅγιον καθὸ πνεῦμα...θεοῦ Epiph.*anc.*10(p.18.17; M.43.36B); οὐδεμία στάσις ἢ διχονοία χωρήσει ποτὲ ἐν τῇ μιᾷ καὶ ἀχράντῳ τ. Cyr.*thes.*8(5[1].63E); τὴν...τῆς ἁγίας τ. ἑνότητα καὶ συνήθη στάσιν ἀπαράλλακτον *ib.*29 (255C); ἐπὶ τῆς ἑνώσεως τῆς θείας, ἤτοι τῆς ὑπερουσιότητος, ἡνωμένον μὲν ἔστι τῇ ἐναρχικῇ τ. καὶ κοινὸν ἡ ὑπερούσιος ὕπαρξις, ἡ ὑπέρθεος θεότης, ἡ ὑπεράγαθος ἀγαθότης, ἀπάντων ἐπέκεινα τῆς ἐπέκεινα πάντων ὅλης ἰδιότητος ταυτότης Dion.Ar.*d.n.*2.4(M.3.641A); μοναρχίαν πρεσβεύομεν...ἣν ὁμότιμος φύσει τ., πατὴρ καὶ υἱὸς καὶ πνεῦμα συνίστησιν ἅγιον, ὧν πλοῦτος ἡ συμφυΐα καὶ τὸ ἐν ἕξαλμα τῆς λαμπρότητος Max.*ambig.*(M.91.1036A); ἀδιαίρετον...τὴν μίαν θεότητα τῆς τ. φυλάττουσι καὶ ἀσυγχύτους τὰς τρεῖς ὑποστάσεις τῆς μιᾶς θεότητος διατηροῦσι Thal.*cent.*4.95(M.91.1469A); μονάδα ἐν τ. καὶ τ. ἐν μονάδι ὁμολογοῦμεν, ὡς διαιρουμένην ἀδιαιρέτως καὶ συναπτομένην διῃρημένως *ib.*4.98(1469B); against materialistic and other false conceptions ὅταν...συνάψωμεν τὴν τ., μὴ ὡς ἑνός πράγματος ἀδιαιρέτου μέρη φαντάζου τὰ τρία...ἀλλὰ τριῶν ἀσωμάτων τελείων ἀχώριστον δέχου τὴν συνουσίαν Bas.*hom.*24.5(2.193E; M.31.609C); εἰ μερικὰς φύσεις ἐπὶ τῆς ἁγίας τ. ὁμολογεῖτε, ἑτερούσιον ταύτην δοξάζετε...εἰ δὲ ἑκάστῃ τῶν τῆς ἁγίας τ. θεαρχικῶν ὑποστάσεων ἰδιάζουσαν δῶτε οὐσίαν, ὁμοουσίους δὲ ταύτας κατὰ τὴν κοινὴν οὐσίαν ὁμολογήσετε· ταὐτὸν δὲ οὐσία καὶ ὑπόστασις, ἔσται...τετρὰς ὑποστάσεων Jo.D.*Jacob.* 10(M.94.1440A); **c.** as simple, Max.*cap.theol.*2.1(M.90.1125A) cit. s. 2.a supra; id.*ambig.*(M.91.1196B); Andr.Cr.*can.mag.*(M.97.1345A); *ib.*195(p.153; 1361A); σέ, τ., δοξάζομεν...ἁπλῆ οὐσία *ib.*174(p.152; 1357B); τ. ἁπλῆ, ἀδιαίρετε *ib.*236(p.154; 1373A); **d.** ref. Godhead as transcending unity and trinity μονὰς ὑμνουμένη καὶ τ., ἡ...θεότης, οὐκ ἔστιν οὐδὲ μονάς, οὐδὲ τ., ἡ πρὸς ἡμῶν ἢ ἄλλου τινὸς τῶν ὄντων διεγνωσμένη, ἀλλ' ἵνα καὶ τὸ ὑπερηνωμένον αὐτῆς καὶ τὸ θεογόνον ἀληθῶς ὑμνήσωμεν, τῇ τριαδικῇ καὶ ἑνιαίᾳ θεωνυμίᾳ τὴν ὑπερώνυμον [sc. θεαρχίαν] ὀνομάζομεν...οὐδεμία δὲ μονὰς ἢ τ., οὐδὲ ἀριθμὸς...ἐξάγει τὴν ὑπὲρ πάντα νοῦν...κρυφιότητα τῆς...ὑπερθεότητος Dion.Ar.*d.n.*13. 3(980D); **e.** as super-essential, *ib.*5.8(821C); id.*myst.*1.1(M.3.997A); beyond beginning, Andr.Cr.*can.mag.*(M.97.1345D); **f.** uncreated ἡ ἁγία τ. ... οὐδὲν ἔχει ἐν ἑαυτῇ τῶν γενητῶν Ath.*ep.Serap.*1.30(M.26. 600A); οὐκ ἔστι γενητὴ ἡ τ. id.*Ar.*1.18(M.26.48C); *ib.*1.58(133B); ἄκτιστος...πέφηνε μόνη ἡ ἁγία τ. τῆς θεότητος ‡Ath.*Apoll.*1.3(M.26.1097A); οὐδὲν...ὅλως τῆς θείας...τ. κτιστόν Bas.*ep.*140.2(3.233E; M.32.589A); Gr.Naz.*or.*40.42(M.36.420A); τῆς μὲν ἀκτίστου φύσεως τὴν ἁγίαν τ. εἶναι διωρισάμεθα, τῆς δὲ κτιστῆς πάντα, ὅσα μετ' ἐκείνην λέγεταί τε καὶ ἔστι Gr.Nyss.*Eun.*1(1 p.108.4; M.45.341C); id.*ep.*5(M.46.1032C); οὐδὲν ἐν τῇ τ. κτιστόν καὶ ὑπό αἰτίαν ἐμπίπτον ἐστίν· οὐ γὰρ ἐξ οὐκ ὄντων τί ἐστιν ἐν τῇ τ. ... διὸ ἀναιτία οὖσα τῆς τοιαύτης αἰτίας ἡ τ., μόνην ἑαυτὴν...ἐδίδαξε προσκυνεῖσθαι Epiph.*haer.*76.44(p.398.14; M. 42.609D); αἰτία...ἐστιν ἡ τ. τῶν ἁπάντων,...μηδὲν ἐν αὐτῇ κτιστὸν ...γινώσκουσα *ib.*(p.398.32; 612B); Evagr.Pont.*sent.mon.*134(p.164); οὐδὲν ἐν τῇ τ. κτιστὸν καὶ πρότερον οὐχ ὑπάρχον,...ἀλλ' ἅμα καὶ συνάμα μονὰς καὶ τ. καὶ ἦν καὶ ἔσται εἰς τοὺς αἰῶνας Eulog.*fr.Trin.*2.1 (p.364); Andr.Cr.*can.BMV* 7(M.97.1325D); **g.** as perfect, Ath.*Ar.* 1.18(M.26.49B); id.*ep.Serap.*1.28(M.26.596A); Gr.Naz.*or.*23.8(M.35. 1160C) cit. s. δυάς; *ib.*26.19(1252C); Max.*ambig.*(M.91.1261A); **h.** as unchangeable, Ath.*Ar.*1.18(M.26.49B); ἡ ἁγία τ. ἀναλλοίωτος διαμένει ἐν μιᾷ θεότητι γινωσκομένη id.*ep.Serap.*4.6(M.26.648A); Gr. Nyss.*comm.not.*(M.45.180A); cf.Oecum.*Apoc.*11:17(p.133); **i.** ref. principle of causation in Godhead τὴν τοιαύτην διαφορὰν ἐπὶ τῆς ἁγίας τ. λέγοντες, ὡς τὸ μὲν αἴτιον, τὸ δὲ ἐξ αἰτίου εἶναι πιστεύειν, οὐκέτ' ἂν ἐν τῷ κοινῷ τῆς φύσεως τὸν τῶν ὑποστάσεων λόγον συντίκτειν αἰτιαθείημεν Gr.Nyss.*tres dii*(M.45.133D); τὰς ὑποστάσεις τῆς ἁγίας τ. ὁ τοῦ αἰτίου διακρίνει λόγος, τὸ μὲν ἀναιτίως εἶναι, τὸ δὲ ἐκ τοῦ αἰτίου πρεσβεύων *ib.*(136A); τὰ τοῦ ἀνθρώπου πρόσωπα πάντα οὐκ ἀπὸ τοῦ αὐτοῦ προσώπου κατὰ τὸ προσεχὲς ἔχει τὸ εἶναι...ἐπὶ δὲ τῆς ἁγίας τ. οὐχ οὕτως. ἓν γὰρ καὶ τὸ αὐτὸ πρόσωπον τοῦ πατρός, ἐξ οὗ ὁ υἱὸς γεννᾶται καὶ τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεται. διὸ καὶ κυρίως τὸν ἕνα αἴτιον ὄντα τῶν αὐτοῦ αἰτιατῶν, ἕνα θεόν φαμεν id.*comm.not.*(M.45. 180C); ἕνα...θεόν, τὴν ἁγίαν τ., εἰς ἓν αἴτιον υἱοῦ καὶ πνεύματος ἀναφερομένων Jo.D.*f.o.*1.8(M.94.829A); **j.** ref. attributes and external operation, in gen. μιᾶς οὔσης τῆς ὑπὲρ νοῦν καὶ λόγον... θεότητος τῆς ἁγίας τ., τὰ περὶ αὐτὴν θεωρούμενα τὰ προειρημένα εἶναι [sc. ἀγαθότητα, τὸ ἄναρχον, κτλ.] Thal.*cent.*4.84(M.91.1468A); ref. single glory of Trin., Ath.*Ar.*1.18(M.26.48C); Gr.Nyss.*diff.ess.*4(M. 32.332B); operation μία...ἡ τῆς τ. ἐνέργεια Ath.*ep.Serap.*1.31(M. 26.600C); Gr.Nyss.*tres dii*(M.45.124A); Max.*ambig.*(M.91.1396A);

Euchol.(p.368); grace *ὡς μία τῆς τ. ἡ χάρις, οὕτως ἀδιαίρετος ἡ τ.* Ath.*ep.Serap.*3.6(633B); *ib.*1.30(600C); Gr.Naz.*or.*28.31(p.71.17; M. 36.72C); life, Gr.Nyss.*ep.*5(M.46.1032C); providence, id.*tres dii*(M. 45.128D); ‡Gr.Nyss.*imag.*(M.44.1336C); Dion.Ar.*d.n.*3.1(M.3.689B); Max.*qu.Thal.*28(M.90.364B); of Trin. as *θεὸς παντοκράτωρ Lit.Jac.* (p.162.1); **k.** ref. Son's generation *πρώτη παρθένος ἐστὶν ἀγνὴ τ.* Gr. Naz.*carm.*1.2.1.20(M.37.523A); **l.** summary of theol. epithets of Trin., Eulog.*fr.Trin.*2.1(p.364); **3.** ref. heret. teaching; **a.** Sabellian *πταίσαντες...περὶ τὴν ὀρθόδοξον θρησκείαν...περὶ ἕνα τῶν ἀριθμῶν τῆς τ. διεσφαλμένοι, ὅτε μὲν τὸν τοῦ πατρὸς...ὅτε δὲ τὸν τοῦ υἱοῦ...ὅτε δὲ περὶ τὸν τοῦ πνεύματος* Meth.*symp.*8.10(p.93.2; M.18.153B); *εἰ...ἡ μονὰς πλατυνθεῖσα γέγονε τ., ἡ δὲ μονὰς ἐστιν ὁ πατήρ, τ. δὲ πατήρ, υἱὸς καὶ ἅγιον πνεῦμα, πρῶτον μὲν...πάθος ὑπέμεινε,...ἔπειτα εἰ...ἡ μονὰς ἐπλατύνθη εἰς τ., τ. δέ ἐστι πατὴρ καὶ υἱὸς καὶ ἅγιον πνεῦμα, ὁ αὐτὸς ἄρα πατὴρ γέγονε καὶ υἱὸς καὶ πνεῦμα κατὰ Σαβέλλιον* ‡Ath. *Ar.*4.13(p.57.8; M.26.485A); *τ. μὲν πλατυνθεῖσα οὐκ ἔτι μονάς. ἐστι· μονὰς δὲ οὖσα οὔπω ἦν τ. ib.*(p.57.18; M.l.c.); *εἰ ὁ πατὴρ ἐπλατύνθη εἰς τ., ἡ τ. πάλιν ἐστὶν ὁ πατὴρ μόνος ib.*4.14(p.58.6; 485B); *ἀλλότριοι ...οἱ τὴν τ. μὴ κατὰ ἀλήθειαν ὁμολογοῦντες, ἀλλ' ἐν μονάδι τὸ τριπλοῦν...κατὰ σύνθεσιν φανταζόμενοι* Apoll.*fid.sec.pt.*1(p.167.18; M.10.1105B); *ib.*13(p.171.21; 1109C); *θεὸν ἕνα φαμὲν τὴν τ., ἀλλ' οὐχ ὡς ἐκ συνθέσεως τριῶν ἕνα εἰδότες...ἀλλ' ὡς ὅπερ ἐστὶν ὁ πατὴρ ἀρχικῶς...τοῦτο ὄντα τὸν υἱόν ib.*18(p.173.13; 1112B); *οὗτος* [sc. Sabellius]...*πρόσωπον ἐν τῇ τ. φησὶ τριώνυμον Hymn.*(*KlT* 52/53 p.27); Marcellan *εἰ...διὰ τὴν ἐνανθρώπησιν ἐπλατύνθη καὶ γέγονε τότε τ., ἄρα πρὸ τῆς ἐνανθρωπήσεως οὔπω ἦν τ.* ‡Ath.*Ar.*4.14(p.59.1; M. 26.488A); **b.** Arian, cf.Ar.*Thal.fr.*2 ap.Ath.*syn.*15(p.242.25; M.26. 708A) cit. s. B.1 supra; *οἱ τὰ Ἀρείου φρονοῦντες...οὐ δύνανται νοεῖν, οὐδὲ πιστεύειν περὶ τῆς ἀδιαιρέτου καὶ ἁγίας τ.* Ath.*ep.Serap.*1.17(M. 26.572A); *μὴ δυνάμενοι νοεῖν, πῶς ἀδιαίρετός ἐστιν ἡ ἁγία τ., ποιοῦσι ...ἓν τὸν υἱὸν μετὰ τῆς κτίσεως ib.*(572B); *εἰ...οὐκ ἀιδίως σύνεστιν ὁ λόγος τῷ πατρί, οὐκ ἔστιν ἡ τ. ἀίδιος· ἀλλὰ μονὰς μὲν ἦν πρότερον, ἐκ προσθήκης δὲ γέγονεν ὕστερον τ.* id.*Ar.*1.17(M.26.48A); *εἰ...ὁ υἱὸς... ἐξ οὐκ ὄντων γέγονεν, ἐξ οὐκ ὄντων συνίσταται τ. καὶ ἦν ποτε ὅτε οὐκ ἦν τ., ἀλλὰ μονάς· καὶ ποτὲ μὲν ἐλλειπὴς τ., ποτὲ δὲ πλήρης...ἀνόμοιος ἑαυτῆς ἡ τ. εὑρίσκεται...τοῦτο δὲ οὐδὲν ἕτερόν ἐστιν εἰπεῖν ἢ γενητὴν τὴν τῆς τ. σύστασιν ib.*(48B); *οὐκ αἰδεῖσθαι τὰ δοῦλα συνεξισάζοντες τῇ εὐγενείᾳ τῆς τ. ib.*1.18(49A); *Ἑλλήνων...ἴδια ταῦτα, ὥστε γενητὴν εἰσάγειν τ. ib.*(49B); *ἢ...ἐν φυσικῇ δοξῇ...τὴν ὅλην τ. νοητέον ἢ μονάδα καὶ οὐκέτι τ. λέγειν ἀναγκασθησόμεθα* Apoll. *fid.sec.pt.*9(p.170.11; M. 10.1108C); *δεῖ...ὥσπερ μίαν τὴν δόξαν ὁμολογοῦμεν, οὕτως καὶ μίαν τὴν οὐσίαν ἤτοι θεότητα καὶ μίαν τὴν ἀιδιότητα τῆς τ. ὁμολογεῖν ib.*10 (p.170.28; 1109A); *τοὺς κοινωνοῦντας τοῖς ἐκβάλλουσι τὸ ὁμοούσιον... καί τι ἐκ τῆς τ. κτιστὸν λέγουσι...ἀλλοτρίους ἡγούμεθα ib.*34(p.180. 22; 1117C); Gr.Naz.*or.*31.10(p.157.3; M.36.144B); Gr.Nyss.*Eun.*10(2 p.234.29; M.45.835D); Cyr.*dial.Trin.*(5[1].422C); Justn.*conf.anath.*1; **c.** denial by Tropici and Pneumatomachoi of divinity of H. Ghost *τὸ πνεῦμα κατάγοντες εἰς τοὺς ἀγγέλους, εἰς τὴν τ. συντάσσοντες. εἰ γὰρ μετὰ πατέρα καὶ υἱὸν...οἱ ἄγγελοι, δηλονότι τῆς τ. εἰσὶν οἱ ἄγγελοι* Ath.*ep.Serap.*1.10(M.26.557A); *διαιροῦντες ἀπὸ τοῦ λόγου τὸ πνεῦμα οὐκέτι μίαν ἐν τ. θεότητα σώζουσι, σχίζοντες αὐτήν ib.*1.2(533A); *οὐκέτι ἓν δείκνυσι τὴν τ., ἀλλὰ ἐκ δύο καὶ διαφόρων φύσεων συγκειμένην αὐτήν, διὰ τὸ ἑτεροούσιον τοῦ πνεύματος ib.*; *εἰ τ. ἐστιν...πῶς τοῖς μετὰ τὴν τ. κτίσμασι συντάττουσι τὸ τῆς τ. πνεῦμα; τοῦτο γάρ ἐστι... διαιρεῖν καὶ διαλύειν τὴν τ. ib.*(533B); *ib.*1.21(580C); *κτίσμα...εἰ ἦν τὸ πνεῦμα, οὐκ ἂν συνέταξεν αὐτὸ τῷ πατρί, ἵνα μὴ ᾖ ἀνόμοιος ἑαυτῇ ἡ τ. ib.*3.6(636A); *ib.*1.29(596C) cit. s. *δυάς*; *ἔδει...καθ' ὑμᾶς ἅπαξ ἀγγέλου καὶ κτίσματος ὄντος τοῦ πνεύματος καὶ συντασσομένου εἰς τ., μὴ ἕνα, ἀλλὰ πάντας τοὺς κτισθέντας ἀγγέλους συντάσσεσθαι ταύτῃ· καὶ μηκέτι τ., ἀλλὰ πληθύν τινα θεότητος ἀναρίθμητον εἶναι ib.*(597B); *μὴ διαιρείτωσαν τὴν τ., ἵνα μὴ διαιρεθῶσιν ἀπὸ τῆς ζωῆς, μηδὲ τοῖς κτίσμασι συναριθμείτωσαν τὸ πνεῦμα τὸ ἅγιον ib.*1.33(608B); *ἐκ μεταβολῆς καὶ προκοπῆς λέγουσι συνίστασθαι τὴν τ. καὶ δυάδα μὲν εἶναι, ἐκδέχεσθαι δὲ κτίσματος γένεσιν ἵνα μετὰ πατρὸς καὶ υἱοῦ συνταχθῇ καὶ γένηται ἡ τ. ib.*3.7(636B); *ἀρνεῖται...τὴν τῆς ἁγιωσύνης πηγήν, τὸ πνεῦμα τὸ ἅγιον, ὁ ἀφαιρῶν αὐτοῦ τὸ ἁγιάζειν...καὶ τὸ ἅγιον βάπτισμα ἀθετεῖ καὶ οὐκέτι τ. ὁμολογήσει τὴν ἁγίαν καὶ σεβάσμιον* Apoll.*fid.sec. pt.*8(p.170.10; M.10.1108C); *τὸ ἅγιον πνεῦμα...δι' ἑνὸς υἱοῦ τῷ ἑνὶ πατρὶ συναπτόμενον καὶ δι' ἑαυτοῦ συμπληροῦν τὴν πολυύμνητον καὶ μακαρίαν τ.* Bas.*Spir.*45(3.38C; M.32.152A); *οὔτε...ἡ τ. μένει τ. ἀφαιρουμένου τοῦ πνεύματος* id.*hom.*24.5(2.194B; M.31.612A); Gr.Naz. *or.*31.3(p.147.14; M.36.136B); Cyr.*thes.*34(5[1].358B); id.*dial.Trin.*3(5[1]. 465D); **d.** ref. Christol. heresies *Οὐαλεντῖνος...κοινὸν τῆς τ. τὸ πάθος λέγει, τῆς θεότητος μέρος τὴν σάρκα φανταζόμενος* ‡Ath.*Apoll.*2.3(M. 26.1136C); *ἐρυθριάσουσι δὲ μεγάλως οἱ ὅλως ἐνθυμηθέντες δύνασθαι ἀντὶ τῆς τ. γενέσθαι τετράδα, εἰ λέγοιτο ἐκ Μαρίας εἶναι τὸ σῶμα. ὁμοούσιον γὰρ ἐὰν εἴπωμεν, φασί, τὸ σῶμα τῷ λόγῳ, μένει ἡ τ. τ., οὐδὲν ξένον εἰς αὐτὴν ἐπιφερομένου τοῦ λόγου· ἐὰν δὲ ἀνθρώπινον εἴπωμεν τὸ ἐκ Μαρίας σῶμα, ἀνάγκη, ξένου ὄντος κατ' οὐσίαν τοῦ σώματος, καὶ ὄντος ἐν αὐτῷ τοῦ λόγου, τετρὰς ἀντὶ τ. γίνεται διὰ τὴν τοῦ σώματος προσθήκην* Ath.*ep.Epict.*8(p.13.15; M.26.1064B); cf.*ib.*2(p.5.5; 1053A,B); Inc. involves no addition to Trin., v. *προσθήκη*; *τί ἔτι ἡμᾶς μέμφεσθε, ὡς τετράδα ἀντὶ τ. λέγοντας, αὐτοὶ τετράδα ἀντὶ τ. ... ὁμολογοῦντες, λέγοντες ὁμοούσιον εἶναι τῇ τ. τὴν σάρκα*; ‡Ath.*Apoll.* 1.12(1113C); three natures not introduced by Inc. (against monophysites) *δείξατε ἡμῖν τινα τῶν ἁγίων πατέρων τρεῖς φύσεις ἢ οὐσίας ἐπὶ τῆς ἁγίας τ. εἰπόντα καὶ ἡμεῖς σιγήσομεν* Jo.D.*Jacob.*76(M.94. 1472D); *κηρύττομεν...θεὸν...σαρκωθέντα...ἕνα Χριστόν, ἕνα υἱόν...μίαν ὑπόστασιν, τὸν αὐτὸν θεὸν καὶ ἄνθρωπον, οὐχ ἕτερον ἐν τῇ τ. παρεισάγοντα πρόσωπον ib.*84(1484B); ref. monophysite addition to Trisagion *ἢ...τῇ τ. τὸ τῆς σταυρώσεως προσάγει πάθος ἢ τέταρτον τῇ τ. παρεισάγει πρόσωπον* id.*rect.sent.*5(M.94.1429D); v. *τρισάγιος*; **4.** ref. Inc. *εἴτε οὖν Χριστὸν εἴποι τις, εἴτε μυστήριον τοῦ Χριστοῦ, τούτου τὴν πρόγνωσιν μόνη κατ' οὐσίαν ἔχει ἡ ἁγία τ., πατὴρ καὶ υἱὸς καὶ ἅγιον πνεῦμα* Max.*qu.Thal.*60(M.90.624C); Christ as one of Trin. *εἴ τις... οὐχ ὁμολογεῖ τὴν ἕνωσιν τοῦ...λόγου πρὸς σάρκα...γεγενῆσθαι...καὶ διὰ τοῦτο μίαν αὐτοῦ τὴν ὑπόστασιν, ὅ ἐστιν ὁ κύριος Ἰησοῦς Χριστός, εἷς τῆς ἁγίας τ. ... ἁ. ἔ.* CCP(553)*anath.*4; *εἴ τις οὐχ ὁμολογεῖ τὸν ἐσταυρωμένον σαρκὶ κύριον ἡμῶν...εἶναι...ἕνα τῆς ἁγίας τ. ... ἁ. ἔ. ib.* 10; Max.*ambig.*(M.91.1268C); id.*qu.Thal.*60(M.90.624C); Thal.*cent.* 4.73(M.91.1465B); *ὡς τριάδος ἓν σέ, Χριστέ, δοξάζομεν* Andr.Cr.*can. Ann.*7(M.97.1313D); id.*can.Laz.*3(M.97.1389C); *Lit.Marc.*(Brightman p.117.1); *τὸν ἕνα τῆς ἁγίας τ., τὸν μονογενῆ υἱὸν τοῦ θεοῦ καὶ μετὰ σάρκωσιν ἕνα Χριστὸν...ὀρθοδόξως κηρύξατε* Jo.D.*Jacob.*88(M.94. 1485C); id.*trisag.*17(M.95.49B); **5.** ref. BMV *ἐν σοὶ τὸ τῆς τ. μυστήριον ὑμνεῖται...πατὴρ γὰρ ηὐδόκησε καὶ ὁ λόγος ἐσκήνωσεν ἐν ἡμῖν καὶ θεῖον πνεῦμα ἐπεσκίασεν* Andr.Cr.*can.BMV* 6(M.97.1324C); *ib.*9 (1329A); id.*can.mag.*237(p.154; M.97.1373A); **6.** ref. angels *ἄγγελοι καὶ πᾶσα φύσις, ἡ ἄνω μετὰ τὴν τ. ... πρὸς τὸ καλὸν παγιώτεροι τῇ πρὸς τὸ ἄκρον καλὸν ἐγγύτητι* Gr.Naz.*or.*31.15(p.164.7; M.36.149B); *τὸ εἰρηναῖον καὶ ἀστασίαστον, τὸ ἓν εἶναι λαβόντες παρὰ τῆς ἐπαινετῆς καὶ ἁγίας τ., παρ' ἧς καὶ τὴν ἔλλαμψιν ib.*6.13(M.35.740A); *αἱ πανάγιαι καὶ πρεσβύταται δυνάμεις ὄντως οὖσαι καὶ οἷον ἐν προθύροις τῆς ὑπερουσίου τ. ἱδρυμέναι, πρὸς αὐτῆς καὶ ἐν αὐτῇ καὶ τὸ εἶναι καὶ τὸ θεοειδῶς εἶναι ἔχουσι* Dion.Ar.*d.n.*5.8(M.3.821C); *ὦ τ. ὑπερούσιε...σε ὑμνεῖ...πληθὺς ἀγγέλων* Andr.Cr.*can.BMV* 8(M.97.1328B); **7.** ref. spiritual life of Christians; **a.** knowledge of Trin.; as object of hope, Or.*Ps.*70:14 (p.91); *κρείσσων γνῶσις τ. ὑπὲρ γνῶσιν ἀσωμάτων καὶ θεωρία αὐτῆς ὑπὲρ λόγους πάντων τῶν αἰώνων* Evagr.Pont.*sent.mon.*110(p.162); *γνῶσις ἀσωμάτων ἐπαίρει τὸν νοῦν καὶ τῇ ἁγίᾳ τ. παρίστησιν αὐτόν ib.* 136(p.165); *φυσικὴν θεωρίαν αἰνίττεται, ἐν ᾗ καὶ ὁ περὶ τῆς ἁγίας τ. ἐγκέκραται λόγος, εἴπερ ἐκ καλλονῆς κτισμάτων ἀναλόγως ὁ γενεσιουργὸς θεωρεῖται* id.*ep.*12(M.32.265B); *λόγον ἐπέχει...ἐπισκόπου...ὁ τῷ ἁγίῳ μύρῳ τελειῶν τῆς γνώσεως τῆς...ἁγίας τ.* Max.*carit.*2.21(M.90. 992A); *μετὰ τοῦ θεοῦ ἐστιν ὁ τὴν ἁγίαν γινώσκων τ. ib.*2.98(1016D); *τῆς μὲν τῶν σωμάτων καὶ ἀσωμάτων γνώσεως δεκτικὴ κατὰ φύσιν ἐστὶν ἡ τοῦ νοῦ δύναμις· τῆς δὲ τῆς ἁγίας τ. κατὰ μόνην τὴν χάριν δέχεται τὰς ἐμφάσεις* id.*cap.*2.42(M.90.1236B); *ἁγιασμὸς καὶ θέωσις ἀγγέλων καὶ ἀνθρώπων ἡ γνῶσις τῆς ἁγίας καὶ ὁμοουσίου τ.* Thal.*cent.*1.100(M.91. 1437A); **b.** faith in Trin. *ἐν τοῖς τρισὶ τούτοις ὁ προκόπτων φιλοσοφεῖ, ἐν ταῖς ἐντολαῖς, ἐν τοῖς δόγμασι καὶ ἐν τῇ πίστει τῆς τ. ib.*3.28(1449D); as gift of grace indwelling soul, Max.*carit.*4.77(M.90.1068A); credal; v. 9 infra; **c.** indwelling of Trin. *κατοικητήριον* [sc. the soul] *τῆς ὁμοουσίου τ.* Alex.Sal.*Barn.*proem.7(438E); *ὁ...τοῦ...πατρὸς...λόγος ἑκάστῃ μυστικῶς ἐνυπάρχει τῶν οἰκείων ἐντολῶν· ὁ δὲ πατὴρ ὅλος ἐστὶν ἀχώριστος ἐν...τῷ...λόγῳ· ὁ τοίνυν δεχόμενος ἐντολὴν...τὸν ἐν αὐτῇ δέχεται λόγον. ὁ δὲ τὸν λόγον...δεξάμενος δι' αὐτοῦ τὸν ἐν αὐτῷ...ὄντα συνεδέξατο πατέρα καὶ τὸ ἐν αὐτῷ...πνεῦμα ἅγιον...ὁ γοῦν ἐντολὴν δεξάμενος καὶ ποιήσας αὐτὴν λαβὼν ἔχει μυστικῶς τὴν ἁγίαν τ.* Max. *cap.theol.*2.71(M.90.1157A); *μακάριος ὄντως ἐστὶ τῆς ἀληθοῦς...τυχὼν οὐ μόνον ἑνώσεως τῆς πρὸς τὴν ἁγίαν τ., ἀλλὰ καὶ ἑνότητος τῆς ἐν τῇ ἁγίᾳ τ. νοουμένης, ὡς ἁπλοῦς καὶ...μονοειδὴς κατὰ τὴν δύναμιν πρὸς τὴν ἁπλὴν...κατὰ τὴν οὐσίαν γεγενημένος* id.*ambig.*(M.91.1196B); cf. *ὑπὲρ τὴν ὑλικὴν δυάδα γενέσθαι διὰ τὴν ἐν τῇ τ. νοουμένην ἑνότητα* Gr.Naz.*or.*21.2(M.35.1084B); *πάσης τῆς αἰσθητικῆς οὐσίας πρὸς τὴν αἰσθητὴν ἀποθεμένους φυσικὴν οἰκειότητα, τῆς δὲ θείας μόνης γνησίως ἐπιλαβομένους ἐφέσεως διὰ τὴν...νοουμένην ἐν τῇ τ. ἑνότητα* Max. *ambig.*(1193D); *ib.*(1196A); **d.** vision of Trin.; equated with kingdom of heaven, Gr.Naz.*or.*16.9(M.35.945C); as blessing of future life, *ib.*43.82(M.36.605A); **8.** ref. baptism *τὸ διὰ τοῦ ὕδατος λουτρὸν... τῷ ἐμπαρέχοντι ἑαυτὸν τῇ θειότητι τῆς δυνάμεως τῶν τῆς προσκυνητῆς τ. ἐπικλήσεών ἐστιν ἡ χαρισμάτων θείων ἀρχὴ καὶ πηγή* Or.*Jo.*6.33(17;

p.142.30; M.14.257A); *βαπτίζοντα πολλοὺς εἰς τὸ τῆς ζωαρχικῆς τ. ὄνομα A.Xanthipp.*21(p.73.6); *ἐν αὐτῇ τῇ τ. ἔν ἐστι τὸ βάπτισμα καὶ μία ἡ πίστις* Ath.*ep.Serap.*4.3(M.26.641B); *ὁ ὑπεξαιρούμενός τι τῆς τ. καὶ ἐν μόνῳ τῷ τοῦ πατρὸς ὀνόματι βαπτιζόμενος...ἡ χωρίς γε πνεύματος ἐν πατρὶ καὶ υἱῷ, οὐδὲν λαμβάνει ib.*1.30(597C); *οὐδὲ τῇ τ. συναριθμεῖταί τι τῶν ποιημάτων, ἀλλ' ἐπ' ὀνόματι τῆς ἁγίας τ. τὸ βάπτισμα καὶ ἡ ἐπίκλησις καὶ ἡ λατρεία* Apoll.*fid.sec.pt.*9(p.170.15; M.10.1108D); *σύμφωνον τῷ σωτηρίῳ βαπτίσματι τὴν δοξολογίαν ἀποπληροῦσθαι τῇ μακαρίᾳ τ.* Bas.*ep.*91(3.183C; M.32.476D); *ἡ ζωοποιὸς δύναμις ἐπὶ τῶν...ἀναγεννωμένων διὰ τῆς ἁγίας τ. παραγίνεται...καὶ ὁμοίως ἀτελὴς ἡ χάρις ἑνός τινος οἵου δήποτε τῶν ἐκ τῆς ἁγίας τ. ὀνομάτων παραλειφθέντος ἐν τῷ...βαπτίσματι* Gr.Nyss.*ep.*5(M.46.1032A); *ἡμῖν ἐξόδιον τὸ θεῖον...τῆς παλιγγενεσίας λουτήριον ἔσται, ἔνθεν καὶ τῆς τ. ὀψόμεθα φῶς τὸ ἄδυτον* Cosm.Mel.*hymn.*2(M.98.472A); v. *βάπτισμα*; ref. pre-baptismal profession of faith *εἰ μὴ πρῶτον ὁμολογήσειέν τις τὴν τῆς ἁγίας τ. ὁμολογίαν...οὐ βαπτίζεται* Cosm.Ind.*top.*5(M.88.221B); **9.** ref. credal profession *οἶκον θεοῦ τὴν ἐκκλησίαν καλεῖ...τούτου τοῦ οἴκου ἀγαθὰ τὰ τοῦ πνεύματος χαρίσματα, τά τε περὶ τῆς τ. καὶ τὰ λοιπὰ δόγματα* Or.*Ps.*64:5(p.74); cf. *funis enim triplex non rumpitur, quae est trinitatis fides, ex qua dependet et per quam sustinetur omnis ecclesia,* id.*hom.9.3 in Ex.* (p.239.23; M.12.365B); *αὕτη τῆς καθολικῆς ἐκκλησίας ἡ πίστις· ἐν τ. γὰρ αὐτὴν ἐθεμελίωσε...ὁ κύριος* Ath.*ep.Serap.*3.6(M.26.633C); *ib.*1.32 (605A); id.*Ar.*1.18(M.26.49A) cit. s. *ἀεί*; *ἔστιν ἡμῶν ἡ πίστις...εἰς... ἕνα θεόν, τὸν ἐν τῇ ἁγίᾳ καὶ τελείᾳ τ. γινωσκόμενον* id.*ep.Afr.*11(M.26.1048B); *Symb.Ant.*(345)9 ap.Ath.*syn.*26(p.253.40; M.26.733B); *Symb. Sirm.*2 *ib.*28(p.257.23; 744A); Gr.Naz.*or.*21.31(M.35.1120A); Cyr.*dial. Trin.*3(5^1.465E); **10.** Trin. as object of adoration, Evagr.Pont.*ep.* 12(M.32.265B); Apoll.*fid.sec.pt.*37(p.181.22; M.10.1120B); *ib.*38(p.181. 26; M.l.c.); Gr.Naz.*or.*42.15(M.36.476A); Cyr.*dial.Trin.*3(5^1.466A); *Lit.Jac.*(p.226.16); *Lit.Chrys.*(p.384.21); Andr.Cr.*can.mag.*29(p.148; M.97.1336B); of glorification, Gr.Naz.*or.*23.15(M.35.1165A); Marc. Diac.*v.Porph.*89; *Lit.Jac.*(p.160.7); *ib.*(p.240.2); Andr.Cr.*can.mag.* (1385C); id.*can.BMV* 4(M.97.1321C); of invocation and supplication, Ath.*ep.Serap.*3.6(M.26.633B); Gr.Naz.*or.*29.21(p.107.13; M.36.104B); *ib.*42.27(492C); †Sophr.H.*orat.*(M.87.4001C); Andr.Cr.*can.mag.*29 (p.148; M.97.1336B); *ib.*(1341B); *ib.*277(p.155; 1377D); of thanksgiving, Oecum.*Apoc.*11:17(p.134); **11.** doctrine of Trin. and scripture *τ. μὲν κηρυττομένην ὑπὸ τῆς θείας γραφῆς σαφῶς ἐπίστανται, τρεῖς δὲ θεοὺς οὔτε παλαιάν, οὔτε καινὴν διαθήκην κηρύττουσαν* Dion.R. ap.Ath.*decr.*26(p.22.15; M.25.464A); *περὶ...τριάδος...ἡμεῖς...μηδὲν σοφιζόμενοι...ἐκ θείων γραφῶν...μαρτυρίας...συνηγάγομεν* Epiph.*anc.* 74(p.93.8; M.43.156A); *ψαλμὸς...νομοθετεῖ τὴν τ.* Procl.CP *or.*2.1(M. 65.693A); *ὁπόταν...ἡ ἁγία γραφὴ τῷ πληθυντικῷ περὶ θεοῦ κέχρηται λόγῳ, τὴν δήλωσιν ποιεῖται τῶν...τριῶν ὑποστάσεων, μυστικῶς τὸν τῆς ὑπάρξεως σημαίνουσα τρόπον τῆς...τ.* Max.*qu.Thal.*28(M.90.361D); *ποῦ ε͂ ες ἐν τῇ παλαιᾷ ἢ ἐν τῷ εὐαγγελίῳ ὄνομα τ. ... αὐτολεξεί*; Jo.D. *imag.*3.11(M.94.1333B); progressively revealed *θεότης...μία ἐν Μωϋσῇ ...καταγγέλλεται, δυὰς δὲ ἐν προφήταις...κηρύττεται, τ. δὲ ἐν εὐαγγελίοις φανεροῦται* Epiph.*anc.*73(p.92.7; M.43.153B); cf.Gr.Naz.*or.*31.26 (p.179.1; M.36.161D); *κατὰ πρόβασιν ἡ ἡμετέρα φύσις τὸ τῆς τ. ἐπέγνω μυστήριον* ‡Gr.Nyss.*imag.*(M.44.1337C); manifested at Christ's baptism, Cosm.Mel.*hymn.*2(3.186,p.172; M.98.469C); at Pentecost, *ib.*9(14.20,p.202; 489B); *ib.*(14.65,p.203; 492A); Jo.D.*carm.pent.*84 (p.216; M.96.837A); **12.** doctrine of Trin. a greater mystery than redemption, Ath.*ep.Serap.*1.20(M.26.577B); its difficulty, Cyr.*thes.* proem.(5^1.1B); essence of Trin. being unknown, Thal.*cent.*4.90(M. 91.1468C); known only to Trin. itself, Gr.Naz.*or.*28.3(p.25.3; M.36. 29A); Max.*ambig.*(M.91.1168B); and nature of Trin. therefore not investigated without impiety, Cyr.*dial.Trin.*3(5^1.466A); **13.** types and images of Trin., ref. 318 servants of Abraham *ὁ τριακόσιοι ἀριθμὸς τ. ἐστιν ἐν ἑκατοντάδι* Clem.*str.*6.11(p.473.30; M.9.305A); typified by first three days of Creation, Thphl.Ant.*Autol.*2.15(M. 6.1077B); prefigured by threefold *sanctus* of seraphic hymn, cf.Or. *hom.4.1 in Is.*(p.259.1; M.13.231D); by appearance of three men to Abraham, Max.*qu.Thal.*28(M.90.360D); by the Three Children, Cosm.Mel.*hymn.*12(1.137,p.164; M.98.508A); by Adam, Eve, and Seth, ‡Gr.Nyss.*imag.*(M.44.1329C); symbolized by the numbers one and three, Eus.*l.C.*6(p.210.9; M.20.1348B); by numbers three and seven, Max.*ambig.*(M.91.1393C); by man as image of God, ‡Gr. Nyss.*imag.*(M.44.1340C); *ib.*(1329B); Eulog.*fr.Trin.*2.5(p.365); with *ψυχή, λόγος,* and *νοῦς,* ‡Gr.Nyss.*imag.*(1333B); *ib.*(1336B); cf.*ib.* (1340C); *ib.*(1341A); *ib.*(1344C); Eulog.*fr.Trin.*2.6(p.365); *ib.*2.8 (p.365); other images of Trin. in Nature, Jo.D.*imag.*3.21(M.94. 1341B); prefigured by Plato in *Timaeus,* Clem.*str.*5.14(p.395.15; M. 9.156B).

***τριαυγής,** triply-bright οἱ τρεῖς ἓν ὑπάρχουσιν φῶς...τριλαμπές, τ., ἰσολαμπές* ‡Caes.Naz.*dial.*3(M.38.860).

τριβακός, *habitual ὦ ἀπὸ τῆς ἁμαρτίας τῆς τ., ὅτι πρὸς τὴν ψυχὴν καὶ τὰς συνωνὰς πεποίηκεν* Ephr.3.446A; *τῇ πλατείᾳ...ὁδῷ τῆς τ. κακίας* †Cyr.*hom.div.*14(5^2.412C); Jo.Carp.*cap.*5(M.85.1839).

***τριβακόω,** wear away,* Didym.*Ps.*17:46(M.39.1265A).

***τριβοβατέω,** tread a path*; hence *be versed in,* ‡Ath.*qu.script.*86 (M.28.749A).

***τριβόλαιος,** striking in three ways πνεῦμα τ. εἰμὶ ἐν τρισὶ πράξεσι κατεργαζόμενον T.Sal.*12.2(p.41* n.10; M.122.1333B).

***τριβόλιν, τό,** game involving three throws of the dice,* †Gregent. *leg.Hom.*37(M.86.601B).

***τριβολώδης,** full of briers,* Herm.*sim.*6.2.6; cf.‡Ath.*doct.Ant.*19 (M.28.584A).

*incomprehens.*5.2(1.482Bff.); *ἐν τῷ πνεύματι ὁ πατὴρ καὶ υἱός ἐστιν, οὐ συγχύσει τριῶν ὑ., ἀλλὰ τῇ ἑνώσει τῆς...θεότητος* Marc.Er.*opusc.* 4(M.65.1009A); *τρεῖς ἀρχικὰς ὑ. ὑποτιθέμενοι...καὶ μεχρὶ τριῶν ὑ. τὴν οὐσίαν τοῦ θεοῦ προσήκειν ἰσχυρισάμενοι...ταῖς Χριστιανῶν συμφέρονται δόξαις* Cyr.*Juln.*8(6².270Bf.); *δέδωκεν ἑαυτὸν τῷ υἱῷ· οὐχ ὡς σῶμα χωρήσας ἐν σώματι, οὐδ' ὡς τῷ υἱῷ παραχωρήσας τὴν ἰδίαν ὑ. καὶ ἐν αὐτῷ λοιπὸν τὸ εἶναι ἔχων* id.*thes.*14(5¹.145C); *πῶς οὖν ἄρα δέδωκεν* [sc. *ὁ θεὸς τῷ υἱῷ*] *ὡς οὐκ ὄντι ἑτέρῳ κατά γε τὸν τῆς ὁμοουσιότητος λόγον, κἂν εἰς ὑ. ἰδικὴν ἑκάτερος ἀπετέμνετο; μία γὰρ ἡ τῆς ἀνωτάτω θεότητος φύσις ἐν τρισὶν ὑ. ἰδικαῖς νοουμένη* id.*Is.*3.5(2. 540A); *γεγεννῆσθαι φαμὲν ἀληθῶς ἐκ τῆς τοῦ πατρὸς οὐσίας τὸν υἱόν...καὶ ἐν ἰδίᾳ μὲν ὑ. νοεῖσθαι, τῇ δὲ ταυτότητι τῆς οὐσίας ἑνοῦσθαι τῷ γεγεννηκότι* id.*ep.*1(p.13.26; 5².6B); cf. *ἀνύπαρκτόν τε καὶ ἰδικῶς οὐχ ὑφεστηκότα φαντάζονται τὸν μονογενῆ, καὶ οὐκ εἶναι μὲν ἐν ὑ. τῇ καθ' ἑαυτόν, ῥῆμα δὲ ἁπλῶς* id.*Thds.*(p.50.27; 5².12B) = *inc.unigen.*(5¹. 686A); *ἐν τῇ φυσικῇ ταυτότητι ἕν ἐστιν ὁ ἐκ θεοῦ λόγος πρὸς τὸν...πατέρα, εἰ καὶ νοεῖται καθ' ὑπόστασιν ἑκάτερος ἰδικήν* id.*Arcad.*(p.91. 15; 5².86A); *οὐκ ἐν οὐσίᾳ μᾶλλον ἑτέρᾳ παρὰ τὴν ὡς θεοῦ, ἀλλ' ἐν ὑ. τῇ ὡς υἱοῦ* id.*dial.Trin.*1(5¹.408D); cf. *Κύριλλος, ὅτε τὸ ὄντως σημαινόμενον τῆς οὐσίας καὶ τῆς ὑ. δηλῶσαι ἠβουλήθη, διαρρήδην τὸ πρὸς ἄλληλα διάφορον αὐτῶν ἐκήρυξεν* Eub.*fr.*ap.*Doct.Patr.*22(p.148.8); *'ἡμέτεραν' εἰρηκώς, τὸν τῶν ὑ. δεδήλωκεν ἀριθμόν* Thdt.*qu.19 in Gen.*(1.23); *τριάδα ὁμοούσιον, μίαν θεότητα ἐν τρισὶν ὑ., ἥγουν προσώποις* CCP(553)*can.*1; in this sense also rendered by *substantia* in the West: cf. *dictum est a nostris Graecis una essentia, tres substantiae: a Latinis autem, una essentia vel substantia, tres personae; quia...non aliter in sermone nostro...essentia quam substantia solet intelligi,* Aug.*Trin.*7.4.7(M.*PL.*42.939); *ib.*7.4.9(M.942); *ib.*7.5.10(M.942); *est igitur et hominis quidem essentia, i.e. οὐσία, et subsistentia, i.e. οὐσίωσις, et ὑπόστασις, i.e. substantia, et πρόσωπον i.e. persona: οὐσία quidem atque essentia, quoniam est;...ὑ. vero atque substantia, quoniam subest ceteris, quae subsistentiae non sunt, i.e. οὐσιώσεις...dicimus unam esse οὐσίαν vel οὐσίωσιν, i.e. essentiam vel subsistentiam deitatis; sed tres ὑ., i.e. tres substantias,* Boethius *Eut.et Nest.*(M.*PL.*64.1345Af.); *fides apud Graecos de trinitate hoc modo est: una οὐσία, ac si dicat una natura aut una essentia: tres ὑποστάσεις, quod resonat in Latinum vel tres personas vel tres substantias. nam Latinitas proprie non dicit de deo nisi essentiam; substantiam vero non proprie dicit, sed abusive; quoniam vere substantia apud Graecos persona intelligitur, non natura,* Isid.H.*etym.* 7.4.11f.; other writers rendered by *subsistentia,* opp. substantia as equivalent of *οὐσία*: cf. (ref. CAlex.(362)*ep.*) *de differentia substantiarum et subsistentiarum sermo ejus per scripturam motus est. Graeci οὐσίας et ὑ. vocant. quidam etenim dicebant substantiam et subsistentiam unum videri; et quia tres subsistentias non dicimus in deo. alii vero...dicebant quia substantia ipsam rei alicujus naturam rationemque, qua constat, designat: subsistentia autem uniusquisque personae, hoc ipsum quod exstat et subsistit, ostendat,* Rufin.*h.e.*1.29 (M.*PL.*21.499Cf.); *deus...in subsistentia triplex est, quia sibi quisque subsistit, ita in substantia simplex,* Faustus *ep.*7(M.*PL.*58.858A); *tria nunc in una deitate doceamus, tria nomina non tria regna...tres hypostases vel subsistentias, sed non tres substantias,* Paschasius Diac.*de Spiritu sancto* 1.4(M.*PL.*62.13A); ‡Ambr.*symb.*2(M.*PL.*17. 511B); **2.** in various Trin. controversies; **a.** ref. Montanists (acc. Didym.) *Μοντανιστῶν ἡ πλάνη...ὅτι ἀπομαντεύονται ἓν πρόσωπον εἶναι τῶν τριῶν θείων ὑ.* Didym.*Trin.*3.41(M.39.984B); **b.** ref. Monarchians *οἱ συγχέοντες πατρὸς καὶ υἱοῦ ἔννοιαν καὶ τῇ ὑ. ἕνα διδόντες εἶναι τὸν πατέρα καὶ τὸν υἱόν* Or.*comm.in Mt.*17.14(p.624.13; M.13.1520B); *οἰόμενοι προφορὰν πατρικὴν...εἶναι τὸν υἱὸν τοῦ θεοῦ, καὶ κατὰ τοῦτο ὑπόστασιν αὐτῷ...οὐ διδόασιν* id.*Jo.*1.24(23; p.29.24; M. 14.65B); *δογματίζων μηδὲ οὐσίαν τινὰ ἰδίαν ὑφεστάναι τοῦ ἁγίου πνεύματος ἑτέραν παρὰ τὸν πατέρα καὶ τὸν υἱόν...ἡμεῖς μέντοι γε τρεῖς ὑ. πειθόμενοι τυγχάνειν ib.*2.10(6; p.65.16; 128A); *ib.*10.37(21; p.212.16; 376B) cit. s. *διαφέρω*; *οὐ γὰρ ἐν ψιλαῖς φαντασίαις τοῦ θεοῦ...τὴν ὑ. ἔχει ἡ σοφία αὐτοῦ κατὰ τὰ ἀνὰ λόγον τοῖς ἀνθρωπίνοις ἐννοήμασι, φαντάσματα. εἰ δέ τις οἷός τέ ἐστιν ἀσώματον ὑ. ... ζῶσαν καὶ οἱονεὶ ἔμψυχον ἐπινοεῖν, εἴσεται τὴν ...σοφίαν τοῦ θεοῦ ib.*1.34(39; p.43.18; 89B); esp. Sabellius *εἰ τῷ τρεῖς εἶναι τὰς ὑ. μεμερισμένας εἶναι λέγουσι, τρεῖς εἶσι, κἂν μὴ θέλωσιν, ἢ τὴν θείαν τριάδα παντελῶς ἀνελέτωσαν* Dion.Al.*fr.* ap.Bas.*Spir.*72(3.61A; M.32.201C); *ὀνόμασιν μὲν διαφόροις πατρὸς καὶ υἱοῦ χρηματίζοντα οὐσίᾳ δὲ καὶ ὑ. ἓν ὄντα...τὸν Σαβέλλιον ὑποδυόμενος* Eus.*Marcell.*1.1(p.4.26; M.24.720A); *μαίνεται...Σαβέλλιος λέγων...τὸν υἱὸν εἶναι πατέρα, ὑ. μὲν ἕν, ὀνόματι δὲ δύο* ‡Ath.*Ar.*4.25(p.72.22; M. 26.505C); *ὁ...ἐν πρᾶγμα πολυπρόσωπον λέγων* [sc. *ὁ Σαβελλισμός*] *πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, καὶ μίαν τῶν τριῶν τὴν ὑ. ἐκτεθέμενος* Bas.*ep.*210.3(3.315A; M.32.772B); *πατέρα καὶ υἱὸν ἐπινοίᾳ μὲν εἶναι δύο, ὑ. δὲ ἕν ib.*210.5(316D; M.776A) reported as words of Gr. Thaum. but v. not. ad loc.; *ὥσπερ ὁ τὸ κοινὸν τῆς οὐσίας μὴ ὁμολογῶν, εἰς πολυθεΐαν ἐκπίπτει· οὕτως ὁ τὸ ἰδιάζον τῶν ὑ. μὴ διδούς, εἰς τὸν Ἰουδαϊσμὸν ὑποφέρεται...οὐ γὰρ ἐξαρκεῖ διαφορὰς προσώπων ἀπαριθμήσασθαι, ἀλλὰ χρὴ ἕκαστον πρόσωπον ἐν ὑ. ἀληθινῇ ὑπάρχον ὁμολογεῖν ib.*(316Ef.; M.776Bf.); *Σαβελλίου...λέγοντος· ἕνα μὲν εἶναι τῇ ὑ. τὸν θεόν, προσωποποιεῖσθαι δὲ ὑπὸ τῆς γραφῆς διαφόρως, κατὰ τὸ ἰδίωμα τῆς ὑποκειμένης ἑκάστοτε χρείας ib.*214.3(322C; M.788C); *ὃν Σαβέλλιος λέγει 'τριώνυμον', τοῦτον Εὐνόμιος ὀνομάζει 'ἀγέννητον'· οὐδέτερος δὲ τούτων ἐν τῇ τριάδι τῶν ὑ. θεωρεῖ τὴν θεότητα* Gr.Nyss. *Eun.*10(2 p.234.29; M.45.836D); *τὴν Σαβελλίου πλάνην φαντάζεται, ὡς οὐκ ὄντος τοῦ υἱοῦ καθ' ἑαυτόν, τῇ δὲ τοῦ πατρὸς ὑ. προσαλιφέντος ib.*(2 p.249.19; 853B); *δογματίζει...τὸν αὐτὸν εἶναι πατέρα...υἱόν... ἅγιον πνεῦμα· ὡς εἶναι ἐν μιᾷ ὑ. τρεῖς ὀνομασίας...ὡς ἐὰν ᾖ ἐν ἡλίῳ ὄντι μὲν ἐν μιᾷ ὑ., τρεῖς δὲ ἔχοντι τὰς ἐνεργείας* Epiph.*haer.*62.1(p.689. 13ff.; M.41.1052B); **c.** ref. Paul. Sam. *ἠναγκάσθησαν οἱ πατέρες, οἱ κρίναντες Παῦλον τὸν Σαμοσατέα...ἵνα δείξωσιν ὅτι ὁ υἱὸς ὑ. ἔχει* Geo. Laod.*ep.dogm.*ap.Epiph.*haer.*73.12(p.285.5; M.42.428B); *οὗτος* [sc. Paul. Sam.]*...ἀναιρεῖ...τὴν τοῦ υἱοῦ θεότητα καὶ ὑ. καὶ τοῦ ἁγίου πνεύματος* Epiph.*haer.*65.3(p.5.12; 16A); *ἔστι γὰρ ταὐτὸν τῇ θεότητι καὶ τῇ οὐσίᾳ ὁ υἱὸς πρὸς τὸν πατέρα...οὐδὲ ἀπὸ ἄλλης ὑ. ἀλλὰ ὡς ἀληθῶς υἱὸς πατρὸς τῇ τε οὐσίᾳ καὶ τῇ ὑ. καὶ τῇ ἀληθείᾳ ib.*65.8(p.11.13; 25B); **d.** ref. Marcellus, Eus.*Marcell.*2.4(p.57.12; M.24.821A) cit. s. *ἐνέργεια*; id.*e.th.*1.1(p.63.5; M.24.829C) cit. s. *υἱός*; *ἀχώριστον αὐτὸν τῇ ὑ. ἐν καὶ ταὐτὸν εἶναι τῷ πατρὶ παρίστησιν ib.*1.17(p.77.23; 860A); *Μάρκελλος...πάντα φύρας, ποτὲ μὲν εἰς αὐτὸν ὅλον τὸν Σαβελλίου βυθὸν χωρεῖ, ποτὲ δὲ Παύλου τοῦ Σαμοσατέως ἀνανεοῦσθαι πειρᾶται τὴν αἵρεσιν, ποτὲ δὲ Ἰουδαίοις ὢν ἄντικρυς ἀπελέγχεται· μίαν γὰρ ὑ. τριπρόσωπον ὥσπερ καὶ τριώνυμον εἰσάγει ib.*3.6(p.164.26; 1016A); *Μάρκελλος ἐτόλμησεν ἀσεβῶν εἰς τὴν ὑ. τοῦ...Χριστοῦ, καὶ ψιλὸν αὐτὸν ἐξηγούμενος λόγον* Bas.*ep.*125.1(3.215B; M.32.545C); *οὔτε τὰς τρεῖς ὑ. ὁμολογεῖν ἤθελον* Epiph.*haer.*72.1(p.255.20; M.42.384A); *Μάρκελλος ...ἠρνήθη τῶν ὑ. τὴν τριάδα* Thdt.*haer.*2.10(4.336); **e.** ref. Arians *ὁ κύριος...οὐ πατέρα ἑαυτὸν ἀναγορεύων οὐδὲ τὰς τῇ ὑ. δύο φύσεις μίαν εἶναι σαφηνίζων* Alex.Al.*ep.Alex.*9(p.25.23; M.18.561B); *ib.*4(p.22.10; 553A) cit. s. *ἰδιότροπος*; *ἡ θεότης οὐχ ἓν πρόσωπόν ἐστι κατὰ τὴν Ἰουδαίων ὑπόληψιν, ἀλλὰ τρία πρόσωπα καθ' ὑ. ἀληθωτήν, οὐκ ὀνόματι ψιλῷ* Hosius ap.Gel.Cyz.*h.e.*2.12.2(M.85.1249B); *εἰ...ἦν ὅτε οὐκ ἦν' τὸ ἀπαύγασμα· ποῦ ἡ ἀπαυγάζουσα αὐτὸ ὑ. τοῦ φωτός;* Didym. *Trin.*1.15(M.39.308B); accusation by Arians *λέγοντες, τὸν υἱὸν κατὰ τὴν ὑ. ὁμοούσιον λέγεσθαι παρ' ἡμῶν* Bas.*ep.*214.3(3.322A; M.32. 788B); ref. Sabellius and Arius *ἐκεῖνοι...διὰ τῶν ἐναντίων, εἰς τὸ ἴσον κακὸν ἐμπεπτώκασιν· ὁ μὲν διὰ τὴν οὐσίαν εἰς μίαν ὑ. συγχέων τὰς ὑ., ὁ δὲ διὰ τὰς ὑ. συνδιαιρῶν ταύταις καὶ τὴν οὐσίαν* Leont.B.*Nest.et Eut.*1 (M.86.1276C); its use as equivalent to *οὐσία* (v. infra II.D.4) forbidden by Arianizing councils *τὸ...ὄνομα τῆς οὐσίας...περιαιρεθῆναι ...μήτε μὴν δεῖν ἐπὶ προσώπου πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος μίαν ὑ. ὀνομάζεσθαι Symb.Nic.*(359)ap.Thdt.*h.e.*2.21.7(3.881); cf. *οὐδὲ ὀφείλει ὑ. περὶ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος ὀνομάζεσθαι ib.* ap.Ath.*syn.*30(p.259.16; M.26.748C); *Ἄρειον...μήτε...οὐσίαν αὐτὸν* [sc. *θεόν*] *εἶναι δογματίζειν μήτε ὑ. μήτε ἄλλο μηδὲν ὧν ὀνομάζεται* Philost.*h.e.*10.2(M.65.584C); Socr.*h.e.*3.7.13f.(M.67.393A).

C. exeg. Heb.1:3 variously interpreted: cf. *figura expressa substantiae vel subsistentiae ejus,* Or.*princ.*1.2.8(p.38.2ff.; M.11.136B); early writers gen. treat as *substance, reality πότε δὲ ἡ τῆς...ὑ. τοῦ πατρὸς εἰκών, ὁ χαρακτήρ,...οὐκ ἦν; ib.*4.4.1(p.349.21); *τὸν υἱὸν...τὸν ...χαρακτῆρα τῆς ὑ. ἀεὶ ὄντα...ὡς τὸν ἰδόντα τοῦτον, ὁρᾶν ἐν αὐτῷ καὶ τὴν ὑ., ἧς καὶ χαρακτήρ ἐστιν* Ath.*Ar.*2.33(M.26.217B); *τίς τολμᾷ λέγειν ἀλλότριον εἶναι τὸν χαρακτῆρα τῆς ὑ. ib.*2.32(216B); *εἰ... ὑπάρχοντος φωτός, ἔστιν εἰκὼν αὐτοῦ τὸ ἀπαύγασμα· καὶ οὕσης ὑ. ἔστι ταύτης ὁ χαρακτὴρ ὁλόκληρος ib.*1.20(53B); *ὅταν...ὁ...χαρακτὴρ πάσῃ τῇ ὑ. τοῦ πατρὸς ἐπιθεωρούμενος τὸ ἀνελλιπὲς τοῦ ἰδίου μεγέθους διασημαίνῃ, καὶ ἡ μορφὴ τοῦ θεοῦ τὴν διὰ πάντων καταμηνύῃ ταὐτότητα* Gr. Nyss.*Eun.*8(2 p.192.3; M.45.788A); *τὸν ἄνθρωπον εἶναι τῆς τοῦ θεοῦ δόξης ἀπαύγασμα, καὶ ἐν τῷ σαρκίνῳ θεῷ...τὴν τοῦ θεοῦ ὑ. χαρακτηρίζεσθαι* id.*Apoll.*19(M.45.1160C); *ἄλλο δέ ἐστιν ἄνθρωπον εἰκόνα εἶναι θεοῦ...καὶ ἄλλο ἐστίν, κατὰ τὸ σύμμορφον...ἀπαύγασμα εἶναι δόξης, καὶ χαρακτῆρα ὑποστάσεως ἐνυπόστατον* Didym.*Trin.*1.16(M.39.337B); but clarification of terminology which associated *ὑ.* with Person in Trin. set a problem in exegesis, Gr.Nyss.*diff.ess.*6(M.32.336Cf.); *οὕτως οἴεται δεῖν ὁ ἀπόστολος...τὸ προσεχὲς...τοῦ μονογενοῦς πρὸς τὸν πατέρα...παρίστησιν, οὐχ ὡς οὐκ ὄντος ἐν ὑ. καὶ τοῦ μονογενοῦς· ἀλλ' ὡς οὐ παραδεχομένου μεσότητά τινα τῆς ἑαυτοῦ πρὸς τὸν πατέρα ἑνώσεως· ὥστε τὸν τῷ χαρακτῆρι τοῦ μονογενοῦς...ἐνατενίσαντα καὶ τῆς τοῦ πατρὸς ὑ. ἐν περινοίᾳ γενέσθαι ib.*7(337Df.); *ὁ τοῦ υἱοῦ τὴν οἱονεὶ μορφὴν τῇ διανοίᾳ λαβών, τῆς πατρικῆς ὑ. τὸν χαρακτῆρα*

*ἀνετυπώσατο, βλέπων διὰ τούτου ἐκεῖνον, οὐ τὴν ἀγεννησίαν τοῦ πατρὸς ...ἀλλὰ τὸ ἀγέννητον κάλλος ἐν τῷ γεννητῷ κατοπτεύσας...ὥστε ἡ τοῦ υἱοῦ ὑ. οἱονεὶ μορφὴ καὶ πρόσωπον γίνεται τοῦ πατρὸς ἐπιγνώσεως· καὶ ἡ τοῦ πατρὸς ὑ. ἐν τῇ τοῦ υἱοῦ μορφῇ ἐπιγινώσκεται, μενούσης αὐτοῖς τῆς ἐπιθεωρουμένης ἰδιότητος εἰς διάκρισιν ἐναργῆ τῶν ὑ. ib.*8(340Bf.); other interpretations in terms of subsistence *δηλῶν...ὅτι ὥσπερ ἐστὶν ὁ πατὴρ ἐνυπόστατος, καὶ πρὸς ὑπόστασιν οὐδενὸς δεόμενος· οὕτω καὶ ὁ υἱός* Chrys.*hom.2.1 in Heb.*(12.14B); *οὐσίαν μίαν ἔλαβε καὶ ὑ. εἰς δύο ὑποστάσεων παράστασιν...ἑνός τινος ἐπελάβετο εἰς τὴν τῶν δύο ὑ. ib.2.2*(12.16Cf.); *τὸ μὲν πρῶτον* [sc. *ἀπαύγασμα τῆς δόξης*]*...εἰς ἀπόδειξιν τοῦ ἐκ τῆς οὐσίας ἀμερῶς εἶναι, τὸ δὲ δεύτερον, ὅτι οὐκ ἀνυπόστατον* Sever.*Heb.*1:3(p.346.26); Isid.Pel.*epp.*3.18(M.78.744D); original line of exegesis persisted *ἀκριβῆ...φησί, σώζει τὸν χαρακτῆρα τῆς φύσεως ὥστε ὅπερ ἂν ἐκείνην νοήσῃς τὴν ὑ., τοῦτο νόει καὶ ταύτην εἶναι* Thdr.Mops.*Heb.*1:2f.(p.201.34); *ταῖς ἡμετέραις ἐμπρέπει ψυχαῖς ὁ χαρακτὴρ τῆς ὑ. τοῦ θεοῦ καὶ πατρός, ἀναμορφοῦντος ἡμᾶς τοῦ ἁγίου πνεύματος, δι' ἁγιασμοῦ, πρὸς αὐτόν* Cyr.*Is.*4.2(2.59B); *χαρακτὴρ τῆς ὑ. τῆς τοῦ πατρὸς οὐσίας ὁ υἱός* id.*thes.*12(5[1].110B); id.*dial.Trin.*5(5[1].558B); Leont.H.*Nest.*2.1(M.86.1525C,1532A).

D. as equivalent of *οὐσία, substance*; influence of Heb.1:3 together with use of *substantia* as its Latin counterpart account for many, though not all, of instances where *ὑ.* denotes divine essence; where it parallels *οὐσία* the emphasis lies on the *actual existence*, the *reality* of substance; cf. *ne forte ipsa ὑ. (id est substantia) ejus corporeum aliquid habeat...quis unquam...magnitudinem in sapientia requisivit?* Or.*princ.*1.2.2(p.28.20; M.11.130C); ‡Ath.*dial.Trin.*1.19(M.28.1148A) cit. s. *στόμα*; *ib.*1.4(1121C) cit. s. *ἐντολή*; ref. Son *οὗ χρῄζειν ἔοικε τὸ ἅγιον πνεῦμα διακονοῦντος αὐτοῦ τῇ ὑ., οὐ μόνον εἰς τὸ εἶναι, ἀλλὰ καὶ σοφὸν εἶναι* Or.*Jo.*2.10(6; p.65.24; M.14.129A); **1.** in Monarchian controversy, Dion.R.ap.Ath.*decr.*26 (p.22.3; M.25.461D) cit. s. *δύναμις*; **2.** agst. Paul. Sam. *τὸν υἱὸν... σοφίαν καὶ λόγον καὶ δύναμιν θεοῦ, πρὸ αἰώνων ὄντα οὐ προγνώσει ἀλλ' οὐσίᾳ καὶ ὑποστάσει, θεὸν...ὁμολογοῦμεν* Hymen.*ep.*(p.324.24); *ταύτην...τὴν ὑ. οὐσίαν ἐκάλεσαν οἱ πατέρες* [i.e. CAnt.(269)] Geo.Laod. *ep.dogm.*ap.Epiph.*haer.*73.12(p.285.28; M.42.428D); **3.** Marcellus *εἰς τὴν ἀνθρωπίνην ἣν ὁ τοῦ θεοῦ λόγος ἀνείληφεν σάρκα ἀφορῶν* [sc. *Ἀστέριος*] *καὶ δι' αὐτὴν οὕτω* [sc. *'δύο ὑποστάσεις'*] *φανταζόμενος* Marcell.*fr.*57 ap.Eus.*e.th.*2.19(p.123.8; M.24.944A); *τὸν υἱὸν ὑποστάσει διῃρημένον...φάσκοι* Marcell.*fr.*58 *ib.*(p.123.18; 944B); Marcell. *fr.*60 *ib.*3.4(p.158.33; 1005A); *ὁμολογοῦμεν πατέρα ἀΐδιον, υἱοῦ ἀϊδίου ὄντος καὶ ὑφεστῶτος· καὶ πνεῦμα ἅγιον ἀϊδίως ὂν καὶ ὑφεστός. οὐ γὰρ ἀνυπόστατον τὴν τριάδα λέγομεν· ἀλλ' ἐν ὑ. αὐτὴν γινώσκομεν* Eugen.*exp.fid.*2(M.18.1304B); **4.** in Arian controversy *ἴδιον οὐδὲν ἔχει τοῦ θεοῦ καθ' ὑπόστασιν ἰδιότητος* Ar.*Thal.fr.*2.8 ap.Ath.*syn.*15 (p.242.16; M.26.705D); *τρεῖς εἰσιν ὑ. καὶ ὁ μὲν θεὸς...ἔστιν ἄναρχος ...ὁ δὲ υἱὸς...πρὸ αἰώνων κτισθείς* id.*ep.Alex.ib.*16(p.244.8; 709B); *τοὺς δὲ λέγοντας...ἐξ ἑτέρας ὑ. ἢ οὐσίας...ἀναθεματίζει ἡ...ἐκκλησία Symb.Nic.*(325)(p.52)ap.Eus.*ep.Caes.*4(M.20.1540C); repeated in *Symb.Ant.*(341)4 ap.Ath.*syn.*25(p.251.15; M.26.728A); *Symb.Ant.* (345)*ib.*26(p.252.4; 728C); *οὔτε μὴν ἐξ ἑτέρας τινὸς ὑ. παρὰ τὸν πατέρα προϋποκειμένης ἀλλ' ἐκ μόνου τοῦ θεοῦ Symb.Ant.*(345) 3 *ib.*(p.252.11; 727A) and *Symb.Sirm.*1 *anath.*1; ‡Ath.*interpr.*(p.66. 30; M.26.1232C); *τῶν ὀνομάτων,...σημαινόντων...τὴν οἰκείαν ἑκάστου τῶν ὀνομαζομένων ὑ. καὶ τάξιν καὶ δόξαν· ὡς εἶναι τῇ μὲν ὑ. τρία, τῇ δὲ συμφωνίᾳ ἕν Symb.Ant.*(341)2 ap.Ath.*syn.*23(p.249.32; 724B); *πιστεύω...εἰς τὸν υἱὸν...ὄντα πρὸς τὸν θεὸν ἐν ὑ. Symb.Ant.*(341)3 *ib.*24(p.250.12; 724C); *μίαν εἶναι ὑ., ἣν αὐτοὶ οἱ αἱρετικοὶ οὐσίαν προσαγορεύουσι, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος* CSard. *ep.cath.*ap.Thdt.*h.e.*2.8.39(3.844); *Οὐάλης καὶ Οὐρσάκιος...λέγοντες ...διαφόρους εἶναι τὰς ὑ. τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος καὶ εἶναι κεχωρισμένας ib.*2.8.38(3.844); *τὴν μίαν ὑ., ἥτις ἐστὶ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ ib.*2.8.43(846); *ἡ ἱερὰ φωνὴ ἐλάλησεν* [Jo.10:30] *καὶ διὰ τὴν τῆς ὑ. ἑνότητα, ἥτις ἐστὶ μία τοῦ πατρὸς καὶ μία τοῦ υἱοῦ ib.*2.8.47(847); different usages set forth and explained: expression *τρεῖς ὑ.* allowed with proper safeguards *οὗς... ἐμέμφοντό τινες ὡς τρεῖς λέγοντας ὑ. ... μὴ ἄρ' ὡς Ἀρειομανῖται λέγουσιν...ἑκάστην καθ' ἑαυτὴν ὑ. διῃρημένην...ἢ ὡς ἄλλοι αἱρετικοὶ τρεῖς ἀρχὰς...λέγουσιν...οὕτω...τρεῖς ὑ. λέγουσι· διεβεβαιώσαντο...εἰς ἁγίαν τριάδα πιστεύειν, οὐκ ὀνόματι τριάδα μόνον, ἀλλ' ἀληθῶς οὖσαν καὶ ὑφεστῶσαν...μήτε...τρεῖς ἀρχὰς...ἀλλ'...υἱὸν...ὁμοούσιον...πνεῦμα... ἴδιον...τῆς οὐσίας τοῦ...πατρός...οἱ δὲ* [sc. *λέγοντες μίαν οὐσίαν*]*... διεβεβαιώσαντο...ὑ. μὲν λέγομεν ἡγούμενοι ταὐτὸν εἶναι εἰπεῖν ὑ. καὶ οὐσίαν· μίαν δὲ φρονοῦμεν, διὰ τὸ ἐκ τῆς οὐσίας τοῦ πατρὸς εἶναι τὸν υἱόν, καὶ διὰ τὴν ταυτότητα τῆς φύσεως...ἀμέλει κἀκεῖ οἱ αἰτιαθέντες ὡς εἰρήκοτες τρεῖς ὑ. συνετίθεντο τούτοις· καὶ αὐτοὶ δὲ οἱ εἰρηκότες μίαν οὐσίαν τὰ ἐκείνων ὥσπερ ἑρμήνευσαν καὶ ὡμολόγουν* Ath.*tom.*5f.(M.26. 801Bf.); ref. Mt.3:17 *ἐκβοήσαντος τὴν πατρικὴν ὑ. περὶ αὐτοῦ* ‡Ath. *Ar.*4.33(p.82.19; M.26.520A); *εἰ παντὶ γεννητῷ αἰτία συγκεκλήρωται ἀναίτιος δὲ ἡ ἀγέννητος φύσις, οὐκ αἰτίαν δηλοῖ τὸ ἀγέννητον ἀλλ' ὑ. σημαίνει* Aët.*syn.*ap.Epiph.*haer.*76.44(p.398.5; M.42.609C); Aët.*syn. ib.*76.54(p.409.16; 629C); *ὑποστάσει δὲ γεννᾷ* [sc. *ὁ θεός*], *καὶ ἐντολῇ κτίζει* ‡Ath.*dial.Trin.*1.8(M.28.1128C); *τὸν μὲν γὰρ υἱὸν...μόνον τῇ ἑαυτοῦ δυνάμει καὶ ἐνεργείᾳ ἐγέννησέ τε καὶ ἔκτισε...οὐδὲν τῆς ἑαυτοῦ ὑ. μεταδοὺς τῷ γεννηθέντι...ὁ δ' ἄφθαρτος τῆς ἑαυτοῦ οὐσίας οὐ μεταδίδωσιν...οὔτε κατὰ τὴν ἑαυτοῦ οὐσίαν, ἀλλ' οἷον ἐβουλήθη, ἐγέννησε* Eun.*apol.*28(M.30.868A); ref. H. Ghost *οὐ γὰρ ἂν ὑπηριθμήθη τούτῳ* [sc. *τῷ μονογενεῖ*] *ὡς ἰδίαν ἔχων ὑ. ib.*25(861C); *τὸν πατέρα καὶ τὸν υἱὸν μιᾶς οὐσίας...πιστεύεσθαι χρῆναι, καὶ τῆς αὐτῆς ὑ. καὶ τὸ πνεῦμα τὸ ἅγιον* Dam.Papa *ep.Illyr.*ap.Thdt.*h.e.*2.22.7(3.883); *τί γὰρ ὄντι αὐτῷ κατὰ τὴν φύσιν καὶ τὴν ὑ. ὑπάρχει τὸ μὴ ἀρχὴν ἔχειν;* Gr.Naz. *or.*28.9(p.35.8; M.36.37A); *τῆς τοῦ πατρὸς ὑ. συνυφεστὸς τὸ ἀπαύγασμα* Didym.*Trin.*1.9(M.39.284A); *οὐδ' ὁ θεὸς ἐπεκτήσατο ἔξωθεν τὸν υἱόν, ἀλλ' ἐξ ὅλης τῆς ὑ. ἐγέννησεν ἀδιαστάτως, ἅτε ἀσώματος ib.* 1.10(292B); *εἰ γάρ, φησίν...ἐγέννησε ἐξ αὐτοῦ ὁ θεὸς ⟨υἱόν⟩, ὡς εἰπεῖν, ἐξ ἰδίας ὑ. φύσει ἢ ἐξ ἰδίας οὐσίας, οὐκοῦν ὠγκώθη ἢ τομὴν ἐδέξατο* Epiph.*haer.*69.15(p.164.22; M.42.225A); **5.** in positive statements *ἀκατάληπτος...ἡ ὑ. ἡ θεία* Cyr.H.*catech.*6.5; *αὐτάρκες ἡμῖν εἰδέναι ταῦτα...φύσιν δὲ ἢ ὑ. μὴ πολυπραγμόνει ib.*16.24; *ἡ...γῆ τοῦ οἰκείου κεραμέως...τὴν ὑ. λέγειν οὐ δύναται ib.*11.11; *αὐτοὶ* [sc. angels]*... ἐκτίσθησαν, οὐ μέντοι ἐξεπορεύθησαν ἐκ τῆς ὑ. τοῦ θεοῦ καὶ πατρός* Didym.*Trin.*2.4(M.39.481C); *τὸ...ἅγιον πνεῦμα, συμφυῶς καὶ ἑνοειδῶς ἀπὸ τῆς...πατρικῆς ὑ. ib.*(484A); *ἐτέχθη...ἐκ μὲν τῆς ὑ. τοῦ πατρός, ἀνάρχως...ἐκ δὲ τῆς ἀμιάντου παρθένου ib.*3.3(817B); *τριὰς αὕτη...μία θεότης τῆς αὐτῆς οὐσίας...τῆς αὐτῆς ὑ.* Epiph.*anc.*67(p.82.6; M.43. 137C); *ὅπου γὰρ ὁμοούσιον, μιᾶς ὑ. ἐστι δηλωτικόν· ἀλλὰ καὶ ἐνυπόστατον σημαίνει τὸν πατέρα καὶ ἐνυπόστατον τὸν υἱὸν καὶ ἐνυπόστατον τὸ πνεῦμα ib.*6(p.12.18; 25B); *Παυλῖνος...ὃς παρῃτεῖτο τρεῖς ὑ. λέγειν ῥητῶς, δυνάμει καὶ ἀληθῶς ταῦτα φρονῶν...ἠκολούθησε δὲ τοῖς Δυτικοῖς...ἐπισκόποις τῷ ἐστενῶσθαι τὴν 'Ρωμαϊκὴν φωνὴν καὶ μὴ δύνασθαι πρὸς τὴν ἡμετέραν τῶν Γραικῶν φράσιν τρεῖς ὑ. λέγειν* Acac.B.*ep. Cyr.*(p.99.25ff.; M.77.100D); on Western terminology v. I.B.6; *τὸν λόγον οὐσιωδῶς τέτοκεν, ἵνα τὴν ὑ., καὶ τοῦ πατρὸς δύναμιν διηγήσηται αὐτὸς λόγος ὤν* Aen.Gaz.*dial.*(M.85.960A).

III. Christol; **A.** ante CChalc.(451); **1.** *state of being, constitution*, reflecting origin *μαρτυρία τοῦ...βαπτιστοῦ περὶ Χριστοῦ ἐστι, τὴν προηγουμένην αὐτοῦ ὑ. ... διδάσκουσα* Or.*Jo.*2.35(29; p.94.13; M.14. 177C); *περὶ ποίου γεννήματος...τοῦ κατὰ σάρκα...ἢ τοῦ κατὰ τὸν μονογενῆ θεόν. διπλῆς γὰρ οὔσης τῆς θεωρίας, ἐπί τε τῆς θείας...ζωῆς καὶ ἐπὶ τῆς ὑλικῆς...ὑ.* Gr.Nyss.*Eun.*4(2 p.49.12; M.45.617C); *εἰ τὸ 'ἐποίησεν'* [sc. in other places in scripture]*...εἰς τὸ προαιώνιον ἀναπέμπει νόημα, καλῶς ἂν ἔχοι καὶ τὴν ἐνταῦθα φωνὴν* [sc. 2Cor.5:21] *...εἰς τὴν πρώτην τῆς οὐσίας ἀνάγειν ὑπόστασιν ib.*6(2 p.130.28; 713D); *τὴν πρώτην τοῦ μονογενοῦς ὑ. ib.*(2 p.133.15; 717B); *οὕτως ἄυλός τις... ἡ τοῦ ὑψίστου δύναμις, τὴν δουλικὴν μορφὴν τὴν διὰ τῆς παρθένου ὑ. διαλαβοῦσα, πρὸς τὸ ἴδιον ὕψος ἀνήγαγεν* id.*Apoll.*25(M.45.1177C); *ἡ ἀνθρωπίνη φύσις ἐκ νοερᾶς ψυχῆς, σώματι συνδραμούσης, τὴν ὑ. ἔχει... ὥσπερ οὖν ἐφ' ἡμῶν ζωοποιός τις δύναμις ἐνθεωρεῖται τῇ ὕλῃ, ἀφ' ἧς ὁ ἐκ ψυχῆς τε καὶ σώματος συνεστὼς ἄνθρωπος διαπλάσσεται· οὕτως ἐπὶ τῆς παρθενίας ἡ τοῦ ὑψίστου δύναμις...τὴν ἐκ τοῦ παρθενικοῦ σώματος πρὸς τὸ πλασσόμενον συνεισφορὰν παρεδέξατο, καὶ οὕτως ἐκτίσθη ὁ καινὸς ὡς ἀληθῶς ἄνθρωπος, ὁ πρῶτος καὶ μόνος τὸν τοιοῦτον τρόπον τῆς ὑ. ἐφ' ἑαυτοῦ καταδείξας ib.*54(1256Af.); *ὁ σωτὴρ δηλῶν τὴν ὑ. τῆς οἰκείας θεότητος* Mac.Mgn.*apocr.*2.9(p.12.6); **2.** *nature* *πῶς... εἰς μίαν ὑ. συνάγει συγχέων τὰς φύσεις, φυσικὴν τὴν θείαν ἕνωσιν ἀποκαλῶν;* Andr.Sam.*fr.*ap.Cyr.*apol.orient.*3(p.38.6; 6[1].164B); but v. 5.c infra; *τὰς ὑ. διαιρεῖν εἴτ' οὖν φύσεις...τελεία μὲν ἡ τοῦ θεοῦ λόγου ὑ. ... τελεία δέ...ἡ τοῦ δούλου μορφή, δι' ὃ καὶ ὑποστάσεις εἶπεν, ἀλλ' οὐχ ὑπόστασιν...ἓν μὲν πρόσωπον...ὁμολογεῖν εὐσεβές, δύο δὲ τὰς ἑνωθείσας ὑ. εἴτ' οὖν φύσεις* Thdt.ap.Cyr.*apol.Thdt.*3(p.117.12ff.; 6[1]. 210Ef.); cf. *ipsa substantia quae est divina, remansit an humana? nam nos unum Christum...confitemur, non naturarum confusione neque temperamento, sed manentibus utrisque naturis in sua proprietate inconfusis ita unitum accepimus,* Synodus Orientalium *decreta* 2(*ACO* 1.5.2 p.289.25); *si post unionem non sunt naturarum substantiae, divina scilicet et humana, in sua proprietate, omnis fidei corruisse videtur professio, ib.*3(p.290.7); **3.** concrete *instance* of an abstract essence, nature realized in an *individual*; **a.** in Thdr. Mops. and Nest. *ὅταν μὲν γὰρ τὰς φύσεις διακρίνωμεν, τελείαν τὴν φύσιν τοῦ θεοῦ λόγου φαμέν, καὶ τέλειον τὸ πρόσωπον· οὐδὲ γὰρ ἀπρόσωπον ἔστιν ὑ. εἰπεῖν· τελείαν δὲ καὶ τὴν τοῦ ἀνθρώπου φύσιν, καὶ τὸ πρόσωπον ὁμοίως· ὅταν μέντοι ἐπὶ τὴν συνάφειαν ἀπίδωμεν, ἓν πρόσωπον τότε φαμέν* Thdr.Mops. *fr.inc.*8(p.299.21ff.; M.66.981B); in this sense

Nestorius maintains two in Christ: cf. *conjunctionis...confiteamur dignitatem ⟨unam⟩, naturarum autem substantias duplices,* Nest.*fr.* C 27(p.340.18); cf. *je sépare les propriétés de l'union à chacune des natures, de sorte que chacune de celles-ci subsiste dans son hypostase. je ne dis pas qu'elles remontent à Dieu le Verbe, comme s'il était les deux par essence; ou que les propriétés de la chair soient prises sans (leur) hypostase par Dieu...il n'a un corps que de nom, sans hypostase et sans opération, c'est pourquoi tu l'appelles homme comme chose superflue, par le nom et en paroles seulement, puisque tu n'acceptes pas de reconnaître l'essence et l'opération de l'homme, et l'existence de deux natures dans leurs propriétés, dans l'hypostase et dans l'essence de chacune d'elles,* Nest.*Heracl.*2.1.291(pp.184f.); *on ne doit pas concevoir une essence sans hypostase, comme si l'union (des essences) avait eu lieu en une essence et qu'il y eût un prosôpon d'une seule essence. mais les natures subsistent, dans leurs prosôpons et dans leurs natures et dans le prosôpon d'union. quant au prosôpon naturel de l'une, l'autre se sert du même en vertu de l'union, ainsi il n'y a qu'un prosôpon pour les deux natures, ib.*2.1.305(pp.193f.); opp. *πρόσωπον: veux-tu donc que nous regardions le prosôpon comme une hypostase, comme nous disons une essence de la divinité et trois hypostases, et que, par hypostases nous entendions les prosôpons? ib.* 1.3.229(p.138); *de quel côté vous rangez-vous?...de ceux qui rapportent l'union à l'hypostase ou de ceux qui la rapportent au prosôpon? ib.*1.3.265(p.160); *un et le même (est le) prosôpon, mais (il n'en est pas de même pour) l'essence. car l'essence de la forme de Dieu et l'essence de la forme du serviteur demeurent dans leurs hypostases, ib.*1.3.252(p.152); **b.** in Cyr. *ὁ ἅγιος Κύριλλος, ποτὲ μὲν ἐπὶ τοῦ ἁπλῶς ὄντος τῷ ὀνόματι τῆς ὑ. χρησάμενος...ποτὲ δὲ...ἐπὶ τοῦ καθ' ἑαυτὸ ἰδιοσυστάτως ὑφεστῶτος προσώπου* Leont.B.*fr.*(M.86.2012D); **i.** in analysis: two before the union *διδασκέτω...εἰ δίχα τῶν ὑ. μόναι καὶ καθ' ἑαυτὰς αἱ μορφαὶ συνῆλθον ἀλλήλαις...οὐ γὰρ ὁμοιότητες ἁπλῶς ἀνυπόστατοι καὶ μορφαὶ συνέβησαν ἀλλήλαις καθ' ἕνωσιν οἰκονομικήν, ἀλλὰ πραγμάτων αὐτῶν ἢ γοῦν ὑποστάσεων γέγονεν σύνοδος* Cyr.*apol. Thdt.*1(p.112.13ff.; 6¹.206B); cf.id.*apol.orient.*3(p.40.27; 6¹.167C); united *εἴ τις...διαιρεῖ τὰς ὑ. μετὰ τὴν ἕνωσιν* id.*apol.Thdt.anath.*3(p.116.10; 6¹.210A); *διϊστάντας* [sc. Nestorians] *εἰς δύο τὰς ὑ., ἀποφοιτώσας μὲν ἀλλήλων εἰς τὸ ἰδίᾳ τε εἶναι καὶ ἄνα μέρος* id.*apol.orient.*3(p.40.18; 167A); without confusion *κατ' αὐτὸ δὴ τοῦτο καὶ μόνον νοηθείη ἂν ἡ τῶν φύσεων ἢ γοῦν ὑ. διαφορά· οὐ γάρτοι ταυτὸν ὡς ἐν ποιότητι φυσικῇ θεότης τε καὶ ἀνθρωπότης* id.*ep.*40(p.26.26; 5².116C); *εἰ μή τις γένοιτο τῶν ὑ. εἰς ἀλλήλας ἀνάχυσις ἢ γοῦν σύγκρασις· καίτοι τῶν τῆς ἐκκλησίας διδασκάλων οὐ τοῦτον ἡμᾶς μυσταγωγούντων τὸν τρόπον* id.*Nest.*2.1(p.34.34; 6¹.33E); *ἀσύγχυτον παντελῶς τῶν ὑ. σύνοδον* id.*apol.Thdt.*3(p.119.19; 213B); *ἀσύγχυτοι μεμενήκασιν αἱ φύσεις ἤγουν ὑ.* id.*schol. inc.*11(M.75.1381B); **ii.** in synthesis where Cyr. is concerned to present Christ as one Person, *ὑ.* (or *πρόσωπον* with which it is often associated) denotes Person of Word (cf. II.B.1) who has taken human nature, become incarnate *ἑνὶ προσώπῳ τὰς ἐν τοῖς εὐαγγελίοις πάσας ἀναθετέον φωνάς, ὑποστάσει μιᾷ τῇ τοῦ λόγου σεσαρκωμένῃ. κύριος γὰρ εἷς...κατὰ τὰς γραφὰς* Cyr.*ep.*17(p.38.22; 5².73D); *τὰς ἐν τοῖς εὐαγγελίοις τοῦ σωτῆρος ἡμῶν φωνὰς οὔτε ὑ. δυσὶν οὔτε μὴν προσώποις καταμερίζομεν. οὐ γάρ ἐστι διπλοῦς ὁ εἷς...Χριστός, κἂν ἐκ δύο νοῆται καὶ διαφόρων πραγμάτων εἰς ἑνότητα...συνενηνεγμένος καθάπερ ἀμέλει καὶ ἄνθρωπος...εἷς ib.*(p.38.4; 5².73A); *εἰ μὲν ἕνα φῂς υἱὸν καὶ μίαν ὑ. τὴν τοῦ λόγου σεσαρκωμένην, οὐκ αὐτὸς ἔσται θεότητος ὄργανον, κεχρήσεται δὲ μᾶλλον...τῷ ἰδίῳ σώματι καθάπερ ἀμέλει καὶ ἡ τοῦ ἀνθρώπου ψυχή* id.*Nest.*2.8(p.46.29; 6¹.51C); *δεδυσσέβηκεν...διϊστὰς εἰς δύο πρόσωπά τε καὶ ὑ. ... ἀλλήλων διῃρημένας ἑκατέρᾳ τε λόγους τοὺς αὐτῇ πρέποντας ἀνατιθεὶς ἰδικῶς ib.*2.1(p.34.38; 34A); *εἴ τις προσώποις δυσὶν ἢ γοῦν ὑ. ... διανέμει* [sc. what has been said of Christ] *ἃ. ἕ.* id.*apol.Thdt.anath.*4(p.120.24; 6¹.214C); *οὐκ ἐφιεὶς εἰς δύο μερίζεσθαι πρόσωπά τε καὶ ὑ. τὸν ἕνα...Χριστόν* id.*apol.orient.*4(p.42.31; 6¹.170C); *ἐκ τελείας ὑ. τοῦ θεοῦ λόγου καὶ μὴν καὶ ἐξ ἀνθρωπότητος τελείως ἐχούσης κατὰ τὸν ἴδιον λόγον εἷς ὁ Χριστός, ὁ αὐτὸς ὑπάρχων ἐν ταυτῷ θεός τε ὁμοῦ καὶ ἄνθρωπος* id.*schol.inc.*8(p.221.9; M.75.1377C); **c.** in later writings of Thdt. (but v. 2) *ὁ...Ἰσαάκ, καὶ ὁ κριός* [sc. as type of Christ], *κατὰ μὲν τὸ διάφορον τῶν φύσεων, τῇ εἰκόνι συμβαίνουσι, κατὰ δὲ τὸ διῃρημένον κεχωρισμένων τῶν ὑ., οὐκ ἔτι. θεότητος γὰρ ἡμεῖς καὶ ἀνθρωπότητος τοιαύτην κηρύττομεν ἕνωσιν ὡς ...ἓν πρόσωπον* Thdt.*eran.*3(4.203); *ἕτερος...κατὰ τὴν ὑ. ὁ ἐν μορφῇ θεοῦ ὑπάρχων, καὶ ἕτερος ἐκεῖνος οὗ ἐν μορφῇ ὑπάρχει* id.*inc.*10(M.75.1429D); **d.** foreshadowing the terminology of Sev. Ant., v. infra B.2; *συμφέρομαι...ἀναθεματίζων τοὺς διαιροῦντας μετὰ τὴν ἕνωσιν εἰς δύο φύσεις ἢ ὑ. ἢ πρόσωπα τὸν ἕνα κύριον...μεμφόμενος...τῆς φωνῆς τῆς ἐμαυτοῦ, ἣν περὶ τῶν δύο φύσεων κατεθέμην...καὶ προσκυνῶ τὴν μίαν φύσιν τοῦ μονογενοῦς...σεσαρκωμένου* Bas.Sel.ap.CEph.(449)*act.* (*ACO* 2.1.1 p.179.18; H.2.213C); *μέμφομαι τῇ φωνῇ μου ἣν εἶπον ...δεῖν ἐν δύο φύσεσι τὸν κύριον...μετὰ τὴν ἕνωσιν, ἀναθεματίζων τοὺς εἰς δύο φύσεις ἢ δύο ὑ. ἢ δύο πρόσωπα μετὰ τὴν ἕνωσιν διαιροῦντας τὸν κύριον* Seleucus Amasenus *ib.*(p.181.10; H.2.216D); **4.** *substantive existence, concrete reality εἰ τὴν μὲν θεότητά τις αὐτοῦ παραδέχοιτο, τῇ δὲ ἀνθρωπότητι προσκόπτων μηδὲν ἀνθρώπινον... πιστεύοι γεγονέναι, ἢ ὑ. εἰληφέναι...ἢ εἰ ἀνάπαλιν τὰ μὲν περὶ αὐτὸν ἀνθρώπινα προσίοιτο, τὴν δὲ ὑ. τοῦ μονογενοῦς...ἀθετοῖ* Or.*Jo.*32.16(9; p.452.9ff.; M.14.784B); occasionally in Nestorius: cf. *pour ne pas faire, à l'imitation de Sabellius, les prosôpons sans hypostase et sans essence. celui qui empêche de dire que le Fils est adoré avec le Père, empêche aussi que le Fils soit en hypostase...celui qui empêche de dire deux essences et 'qui est adoré avec lui' empêche que l'humanité et la divinité ne soient en essence et en hypostase, comme nous l'avons dit de la Trinité,* Nest.*Heracl.*2.1.316f.(p.202); cf.Leont.H.*Nest.*1.39 (M.86.1500C) cit. s. *ἄνθρωπος*; **5.** *Person*; **a.** Apollinarian *μίαν ὑ. καὶ ἓν πρόσωπον, καὶ μίαν τὴν προσκύνησιν τοῦ λόγου καὶ τῆς σαρκός* Apoll.*fid.sec.pt.*28 ap.Leont.B.*Apoll.*(M.86.1972D; p.177.7 om. *μίαν ὑ. καὶ*); *οὐ διαιροῦμεν αὐτὸν ἀπὸ τῆς αὐτοῦ σαρκός, ἀλλ' ἔστιν ἓν πρόσωπον, μία ὑ., ὅλος ἄνθρωπος, ὅλος θεός* id.*fid.inc.*3(p.194.23; M.*PL.*8.876C); *μία φύσις, μία ὑ., μία ἐνέργεια, ἓν πρόσωπον ib.*6(p.199.16; 877C); *ἐρεῖ τις...μέρος οὖν τοῦ λόγου τὸ σῶμα, συμπληρωτικὸν τῆς τοῦ υἱοῦ ὑ. ... ἐπεὶ πάλιν, εἰ μία ὑ. τοῦ λόγου καὶ τῆς σαρκός, πῶς δὲ υἱὸς αὕτη τοῦ θεοῦ;...ὁ λόγος...τέλειος...καὶ ἰδίαν καθ' ἑαυτὸν ἔχων ὑ. ἀεὶ καὶ μηδενὸς προσδεόμενος* id.*quod un.Chr.*7(p.299.5ff.; M.28.128B); orthodox accused of proclaiming two in Christ *οἱ ταῦτα κατηγοροῦντες τὴν ἑαυτῶν γνώμην φανερὰν καθιστῶσιν, ὅτι δύο ὑ. τοῦ κυρίου ἡμῶν...λέγουσιν, ἄλλην ὑ. εἰσάγοντες...τοῦ ἀναληφθέντος ἀνθρώπου, ὡς αὐτοί φασι, καὶ ἄλλην τοῦ ἀναλαβόντος θεοῦ, ἄλλο πρόσωπον τοῦ υἱοῦ τοῦ θεοῦ, καὶ ἄλλο πρόσωπον τοῦ υἱοῦ τοῦ ἀνθρώπου...ἡμεῖς δὲ... ἕνα θεὸν ὁμολογοῦμεν τὸ συναμφότερον, μίαν ὑ. καὶ ἓν πρόσωπον, οὐχ ἵνα συμπληρωτικὸν τῆς ὑ. τὸ σῶμα γένηται...ἀλλ' ὁ ἀληθῶς τέλειος καὶ τὸ ἀτελὲς ἐτελείωσεν ib.*8f.(pp.299.15-300.21; 128C-129A); *ὑ. μίαν σύνθετον καὶ πρόσωπον ἓν ἀδιαίρετον* Job.Ep.*symb.*(p.286.22)ap. Leont.B.*Apoll.*(M.86.1952C); *μίαν ὑ. καὶ ἓν πρόσωπον τοῦ θεοῦ λόγου καὶ τῆς ἐκ Μαρίας σαρκός* ‡Jul.Papa *ep.encycl.*(p.292.19); conviction that *νοῦς* necessarily entailed a *ὑ.* was reason why assumption of manhood complete and entire was rejected, Epiph.*anc.*77(p.96.23, M.43.161B); id.*haer.*77.24(p.437.1; M.42.676A); **b.** against Paul. Sam. *δύο ὑποστάσεις λέγοντός σου καὶ δύο πρόσωπα τοῦ ἑνὸς... Χριστοῦ* ‡Dion.Al.*ep.Paul.Sam.*(p.3); *ἓν πρόσωπον ὦν...καὶ μία ὑ. προσώπου ib.*(p.5); cf. *καί τοι φησὶν μὴ δύο ὑφίστασθαι υἱούς· εἰ δὲ υἱὸς ὁ Ἰησοῦς...υἱὸς δὲ καὶ ἡ σοφία, καὶ ἄλλο μὲν ἡ σοφία, ἄλλο δὲ Ἰησοῦς Χριστός, δύο ὑφίστανται υἱοί* Paul.Sam.*fr.*B.10(p.331.1ff.) ap.Leont.B.*Nest.et Eut.*3(M.86.1393B); **c.** against Nest. *ἡ σὰρξ τοῦ κυρίου...μετέχουσα καθ' ὑπόστασιν τοῦ θεοῦ λόγου* Marc.Er. *Nest.*8(p.94.28); *ib.*15(p.100.27); *ὡς...προσώποις δυσὶν ἢ ὑ. δυσὶν ἢ υἱοῖς δυσίν, διαιροῦντας τὴν ἕνωσιν ἢ γοῦν τὸν ἕνα υἱόν, τὰς φωνὰς ἐφαρμόζειν οὐ δεῖ* Andr.Sam.ap.Cyr.*apol.orient.*4(p.41.8ff.; 6¹.168Af.); **d.** leading up to *Symb.Chalc. ἐγὼ...ἕνα εἰδώς τε καὶ διδαχθεὶς... υἱόν, μίαν ὁμολογῶ· τὴν τοῦ σαρκωθέντος λόγου ὑ.* Procl.CP *Arm.* (p.191.21; M.65.864D); *ἔστιν εἷς υἱός, οὐ τῶν φύσεων εἰς δύο ὑ. διαιρουμένων, ἀλλὰ τῆς φρικτῆς οἰκονομίας τὰς δύο φύσεις εἰς μίαν ὑ. ἑνωσάσης* id.*fr.*ap.*Doct.Patr.*7(p.49.3f.); *ἐκ δύο φύσεων ὁμολογοῦμεν τὸν Χριστὸν εἶναι μετὰ τὴν ἐνανθρώπησιν, ἐν μιᾷ ὑ. καὶ ἑνὶ προσώπῳ* Flav.CP ap.CCP(448)*act.*ap.CChalc.(*ACO* 2.1.1 p.114.9; H.2.128E); id.*ep.Thds.*(p.35.19; cf.M.65.892B); id.*ep.Leon.*1(p.37.10; M.*PL.*54. 726A); *τῆς ἰδιότητος ἑκατέρας φύσεως...εἰς ἓν πρόσωπον καὶ μίαν ὑ. συντρεχούσης Symb.Chalc.*(p.129.33; H.2.456C).

B. post CChalc.; **1.** rarely in sense A.1, *state of being, constitution* as derived from origin *ὁ λόγος εἰς τὸ εἶναι...θεός, τελείως εἶχεν ἀεὶ... ἀλλὰ χρεία...πρὸς συμπλήρωσιν τῆς κατ' εὐδοκίαν θεοῦ πρὸς ἀνθρώπους ἑνώσεως ἑκατέρᾳ φύσει τῆς ἑτέρας εἰς ἀποτέλεσμα τοῦ εἶναι ἐκ τῶν πεφυκότων διακεκριμένως ἐν διαφόροις ὑ. ὁρᾶσθαι φύσεων καὶ υἱοτήτων τελείων καθ' ἓν τὸ αὐτοῦ πρόσωπον γίνεσθαι συνέλευσιν* Leont.H.*Nest.* 3.1(M.86.1605B); *ib.*1.34(1497C) cit. s. *ἔνσαρκος*; *ib.*2.28(1588C) cit. s. *διαιρέω*; **2.** monophysite: equated with *φύσις* and with *πρόσωπον*; **a.** Sev.Ant.*fr.*ap.Eust.Mon.*ep.*(M.86.908A) cit. s. *ἐπίνοια*; *ἐπὶ τοῦ τριαδικοῦ λόγου οὐ ταὐτὸν φύσις καὶ ὑ.· ἐπὶ δὲ τῆς σαρκώσεως τοῦ Χριστοῦ, ταὐτὸν ἡ φύσις ἐστί, καὶ τὸ πρόσωπον, ἤγουν ἡ ὑ.* id.ap. Anast.S.*hod.*9(M.89.148C); *ἓν πρόσωπον καὶ ὑ. μία ἡ αὐτοῦ τοῦ λόγου σεσαρκωμένη* id.ap.*cat.*1*Petr.*4:1(p.71.28); opp. *οὐσία*: *οὐκ ἂν τὸ ἓν τῇ φύσει καὶ τῇ ὑ. ταυτὸν τῇ οὐσίᾳ* id.*fr.*ap.*Doct.Patr.*6(p.43.20); *οὐκ οὐσίας νοοῦμεν τὰς φύσεις, τὰς τῆς κοινότητος δηλωτικάς, καὶ πολλῶν ὑ. περιεκτικάς* id.ap.Eust.Mon.*ep.*(M.86.920D); *οὐκ ἄν τις...εἴποι τὴν τοῦ θεοῦ λόγου...σάρκα τὴν ἑνωθεῖσαν αὐτῷ καθ' ὑ. ...γεγενῆσθαι μιᾶς*

οὐσίας καὶ ποιότητος id.*fr.*ap.Leont.H.*monoph.*(M.86.1848C); one in Christ though composite ἐν συνθέσει δὲ ὑφισταμέναις ταῖς φύσεσιν ἐξ ὧν ὁ εἷς Χριστός, καὶ μίαν ἀποτελούσαις ὑ. καὶ φύσιν τὴν τοῦ μονογενοῦς λόγου σεσαρκωμένου...συναπολήγει καὶ ἡ φαντασθεῖσα τῇ ἐπινοίᾳ τῶν ὑ. καὶ προσώπων δυάς, εἰς ἕν τι συνδραμοῦσα τὴν ἐξ ἀμφοῖν μίαν ὑ. id.ap.Eust.Mon.*ep.*(908Af.); τὴν μίαν ὑ. τοῦ λόγου καὶ τὴν μίαν σάρκα τὴν ἐψυχωμένην νοερῶς, ἐξ ὧν ἀτρέπτως συνενήνεκται εἰς ἓν καὶ συντέθειται. καὶ ἔστι μία φύσις τε καὶ ὑ. ἡ τοῦ λόγου σεσαρκωμένη *ib.*(920Df.); εἴ τις τὰ ἐξ ὧν ἔστι σκοπῆσαι ζητήσειεν, νοῦ μόνῃ φαντασίᾳ...θεωρεῖ δύο φύσεων, ἤγουν ὑ., σύνοδον·...συνεισιοῦσα δὲ τῇ διανοίᾳ καὶ ἡ τῆς ἑνώσεως δύναμις, καὶ τὴν ἐξ ἀμφοῖν δείξασα μίαν ὑ. *ib.*(921Af.); τὰ δύο τὰ ἐξ ὧν ἡ ἕνωσις, ἐν τῷ συντεθεῖσθαι τῷ νῷ μόνον ἀπ' ἀλλήλων συνθέτως διακρινόμενα· μεταβέβληται γὰρ οὐδαμῶς μὴ εἶναι δύο καὶ ταῖς ὑ. *ib.*(936D); entailing one ἐνέργεια: ἀκόλουθον οὖν ἐστι συνθέτου νοουμένης ἡμῖν καὶ μιᾶς τῆς θεανδρικῆς ἐνεργείας, τοιαύτην εἶναί τε καὶ λέγεσθαι καὶ τὴν τοῦ ταύτην προφέροντος φύσιν τε καὶ ὑ., ὡς ἂν μηδὲν ἔχοι κατὰ τὴν ἐνέργειαν πρὸς τὴν ἑαυτοῦ φύσιν ἀπεικός id.*fr.*ap.*Doct.Patr.*41(p.310.11); μιᾶς ὑ. ὁμολογουμένης τοῦ Ἐμμανουήλ, ἀκόλουθον μίαν φύσιν ὁμολογεῖν τοῦ θεοῦ λόγου σεσαρκωμένην, καὶ αὐτὴν ἐνεργοῦσαν τὰ θεοπρεπῆ καὶ ἀνθρώπινα· καὶ οὐ κατὰ τὸν Λέοντος τόμον ἐνεργούσας δύο φύσεις id.ap.CCP(681)*act.*10(II.3.1244A); cf.Sev.Ant.*ib.*(H.3.1241D); **b.** Jo. Philoponus' attempt to systematize the terminology cf. ἑκάστη φύσις...λέγεται...διχῶς· καθ' ἕνα μὲν τρόπον, ὅταν τὸν κοινὸν ἑκάστης φύσεως λόγον αὐτὸν ἐφ' ἑαυτοῦ θεωρῶμεν...καθ' ἕτερον δέ, ὅταν αὐτὴν δὴ ταύτην τὴν κοινὴν φύσιν ἐν τοῖς ἀτόμοις γινομένην κατίδωμεν Jo.Philop.*arb.*ap.*Doct.Patr.*36(p.275.26ff.) also ap.Jo.D.*haer.*83(M.94.748A); ὅτι δὲ καὶ ἰδικώτερον πάλιν τὸ τῆς φύσεως γινώσκομεν ὄνομα, τὸν κοινὸν λόγον τῆς φύσεως ἐφ' ἑκάστου τῶν ἀτόμων ἤγουν τῶν ὑ. ἑκάστης ἴδιον γενόμενον θεωροῦντες *ib.*(p.277.8; M.94.748C); οὐ γὰρ δὴ τὴν κοινὴν [sc. φύσιν] ἐπὶ τῆς ἁγίας τριάδος νοουμένην τῆς θεότητος σεσαρκῶσθαί φαμεν...οὐδὲ τὸν κοινὸν τῆς ἀνθρωπίνης φύσεως λόγον ἠνῶσθαι τῷ θεῷ λόγῳ...φύσιν θεότητος ἐνταῦθά φαμεν τὴν ἐν τῇ ὑ. τοῦ λόγου τῆς κοινῆς θεότητος ἐξιδιασθεῖσαν φύσιν...καὶ φύσιν πάλιν ἀνθρωπότητος λέγομεν ἡνῶσθαι τῷ λόγῳ τὴν μερικωτάτην ἐκείνην ὕπαρξιν ἣν μόνην ἐκ πασῶν ὁ λόγος προείληφεν. ὥστε σχεδὸν κατὰ τοῦτο τῆς φύσεως τὸ σημαινόμενον ταυτὸν ἂν εἴη φύσις καὶ ὑ., πλὴν ὅτι τῆς ὑ. ὄνομα συνεπινοουμένας ἔχει καὶ τὰς ἐπιγινομένας παρὰ τὴν κοινὴν φύσιν ἑκάστῳ τῶν ἀτόμων ἰδιότητας...ἔνθεν τῶν ἡμετέρων πολλοὺς διαφόρως εὑρεῖν ἔστι λέγοντας φύσεων ἤγουν ὑ. ἕνωσιν γεγονέναι. ἡ γὰρ ὑ., ὡς ἐδείξαμεν, τὴν ἰδικὴν ἑκάστου καὶ ἄτομον σημαίνει ὕπαρξιν *ib.*(pp.277.19–278.23; 748C–749A); οὐκοῦν ὡς ἐπὶ τῆς θεότητος τοῦ Χριστοῦ καὶ φύσιν αὐτῆς καὶ ὑ. ὁμολογοῦμεν, οὕτω δήπου καὶ ἐπὶ τῆς ἀνθρωπότητος αὐτοῦ, ὥσπερ φύσιν, οὕτω καὶ τὴν ἰδικὴν ταύτην ὑ. ὁμολογεῖν ἀνάγκη, ἵνα μὴ ἀνυπόστατον...τὴν φύσιν ἐκείνην λέγειν ἀναγκαζώμεθα *ib.*(p.281.3ff.; 752B); ἀλλ' εἰ προϋπέστη ἡ ἑνωθεῖσα τῷ λόγῳ μερικὴ φύσις, ἀνάγκη πᾶσα προϋποστῆναι καὶ τὴν αὐτῆς ὑ. τούτων γὰρ οὐκ ἐνδέχεται θάτερον εἶναι τοῦ λοιποῦ μὴ ὄντος, τὴν μερικὴν λέγω φύσιν ἄνευ τῆς ἰδίας αὐτῆς ὑ. ἢ τὴν μερικὴν ὑ. ἄνευ τῆς ἰδίας αὐτῆς φύσεως. ἓν γάρ ἐστιν ἄμφω τῷ ὑποκειμένῳ καὶ εἰς ταυτὸν πολλάκις συντρέχουσι παρὰ τοῖς χρησαμένοις...εἰ τοίνυν ὥσπερ ἡ ὑ., οὕτω καὶ ἡ φύσις ἡ τῷ λόγῳ ἑνωθεῖσα οὐ προϋπέστη τῆς πρὸς αὐτὸν ἑνώσεως, διόπερ ἄρα μίαν τὴν τοῦ Χριστοῦ ἀξιοῦσιν ὑ., διὰ τοῦτο καὶ φύσιν αὐτοῦ μίαν ἀξιούτωσαν εἶναι *ib.*(p.283.5; 753C); human element in Christ is neither a φύσις nor an ὑ. in full sense of word but τὸ ἀνθρώπινον, *ib.*(p.282.15; 752A); ἡ μερικὴ φύσις or ἡ μερικὴ ὑ., *ib.*(p.283.8f.) (since for practical purposes he identified the two); **c.** other monophysites μίαν αὐτοῦ τὴν ὑ. σύνθετον καταγγέλλω, μηδετέρας τραπείσης διὰ τὴν ἕνωσιν φύσεως...ἡ γὰρ κατὰ σύνθεσιν ἤτοι καθ' ὑ. ἕνωσις τὴν σύγχυσιν ἀποβάλλεται *Ep.*ap.CCP(681)*act.*10(H.3.1249E); cf.Leont.B.*arg.Sev.*(M.86.1929D) cit. s. ἐπίνοια; **3.** orthodox; **a.** ref. Nestorians εἰ ἐκ φύσεων ὑ. σύνθετόν φατε, συμφήσομεν· εἰ δὲ τὴν ὡς ἐξ ὑποστάσεων, μὴ γένοιτο Leont.H.*Nest.*2.24(M.86.1585C); οὐ μὴν πραγματικῶς ἀνὰ μέρος τὴν τῶν φύσεων ποιοῦνται διαίρεσιν εἰς δύο ὑ. ἤτοι πρόσωπα Ju[illegible]n.*conf.*(p.84.17; M.86.1007B); κ]ατὰ [Νε]στορίου τοῦ διελόντος τὸ[illegible] Χριστὸν εἰς δύο ὑ. *CIG* 8961.5; and Eutychians ὁ μὲν τέμνει τὰς φύσεις εἰς ὑ., ὁ δὲ φύρει τὰς φύσεις εἰς φύσιν Leont.B.*Nest.et Eut.*1(M.86.1276C); **b.** ref. Sev. Ant. and Jo. Philop. παρὰ τίνος σοι τὸ ἐξ ὑποστάσεων τὸν Χριστὸν συντιθέναι...; πότε γὰρ διηρημένας τὰς φύσεις, καὶ καθ' ἑαυτὰς ὑποστάσας ἔγνως, ἵνα ταύτας συνάψας ἐξ ὑποστάσεων αὐτὸν εἶναι δογματίσῃς; Leont.B.*arg.Sev.*(M.86.1933A); cf. φύσεως καὶ προσώπου οὐκ οἶδεν διαφοράν Eust.Mon.*ep.*(M.86.932C); εἰ μὲν ταυτόν ἐστι φύσις καὶ ὑ., ἀνάγκη ἡμᾶς ὁμολογῆσαι τὸ ἄτομον. εἰ δὲ ἄλλο ἐστὶ φύσις, καὶ ἄλλο ὑ., τίς ἡ ἀποκλήρωσις, λέγοντας ἡμᾶς δύο φύσεις, ὁμολογῆσαι πάντως καὶ δύο ὑ.; †Leont.B.*sect.*5.6(M.86.1233A); Max.*opusc.*(M.91.40A) cit. s. διαίρεσις; tritheistic conclusions to which this identification with φύσις leads, *ib.*; Cyr.S.*v.Sab.*56(p.149.23); Tim.CP *haer.*(M.86.61B); **c.** on terminology: of Cyril λέγεται γὰρ καὶ ὑ. παρὰ τὸ ὑφεστηκέναι ἡ φύσις Leont.H.*monoph.*(M.86.1825A); Eulog.*fr.dogm.*(M.86.2953Bf.); ὑποστάσεων ἕνωσιν λέγει ὁ...Κύριλλος καὶ διαφορὰν καὶ ἰδιότητα, ἀντὶ οὐσιῶν κέχρηται τῇ φωνῇ, τὸ ὑφεστὸς τῶν πραγμάτων ...δεικνύς, σαφῶς διδάσκων, ὡς οὐχ ὁμοιοτήτων τινῶν ἢ μορφῶν ἀνυποστάτων γέγονεν ἕνωσις, ἀλλ' αὐτῶν τῶν πραγμάτων Eub.*fr.*ap.*Doct.Patr.*22(p.142.4); of monophysites λεγέτω τις τὸν λόγον, καθ' ὃν ὑ. μὲν καὶ οὐσία, ἤγουν φύσις καὶ πρόσωποι· ἐπὶ τῆς θεολογίας τὸ κοινὸν ἢ τὸ ἴδιον ὁρίζουσι...οὐχ οὕτω δὲ καὶ ἐπὶ τῆς οἰκονομίας Leont.B.*arg.Sev.*(M.86.1924A); cf.Sev.Ant.ap.Anast.S.*hod.*9(M.89.148C); ἐν καταχρήσει ἔστι πολλάκις μεταγενόμενα εὑρεῖν καὶ τὰ τῆς φύσεως καὶ οὐσίας καὶ ὑ. καὶ προσώπου ὀνόματα ἐπὶ τῆς οἰκονομίας Leont.H.*monoph.*(1852B); οὐδὲ καθ' ὃ μίαν ὑ. λέγομεν τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος τοῦ Χριστοῦ, οὕτω δυνατὸν καὶ μίαν φύσιν λέγειν Χριστοῦ, ἐπειδὴ μὴ ταὐτὸν φύσις τε καὶ ὑ. Justn.*conf.*(p.86.17f.; M.86.1009C); Σευῆρος κακούργως ταυτὸν εἶναι λέγει τῇ φύσει τὴν ὑ., ἵνα τὴν σύγχυσιν διὰ τῆς μιᾶς κυρώσῃ φύσεως...καὶ πάλιν τὴν διαίρεσιν εἰσηγήσηται τὴν ἐξ ὑ. πρεσβεύων ἕνωσιν καὶ ὅτι καθάπερ Νεστόριος ψιλὴν λέγων τὴν ἕνωσιν, πραγματικὴν εἰσῆγε διαίρεσιν· οὕτω καὶ Σευῆρος ψιλὴν λέγων φύσεων διαφοράν, πραγματικὴν ποιεῖται τὴν σύγχυσιν Max.*opusc.*(M.91.40A); **d.** doctrine εἰ οὐκ ἔστι φύσις ἀνυπόστατος ἐκ δύο δὲ φύσεων ὁμολογεῖτε τὸν κύριον, ἐκ δύο ἄρα ἔσται καὶ ὑ. ... οὐ ταυτὸν...ὑ. καὶ ἐνυπόστατον. ὥσπερ ἕτερον οὐσία καὶ ἐνούσιον· ἡ μὲν γὰρ ὑ. τὸν τινὰ δηλοῖ, τὸ δὲ ἐνυπόστατον τὴν οὐσίαν· καὶ ἡ μὲν ὑ., πρόσωπον ἀφορίζει τοῖς χαρακτηριστικοῖς ἰδιώμασι· τὸ δὲ ἐνυπόστατον, τὸ μὴ εἶναι αὐτὸ συμβεβηκός δηλοῖ, ὃ ἐν ἑτέρῳ ἔχει τὸ εἶναι...ὁ τοίνυν λέγων, οὐκ ἔστι φύσις ἀνυπόστατος, ἀληθὲς μὲν λέγει· οὐ μὴ ὀρθῶς συμπεραίνει, τὸ μὴ ἀνυπόστατον συνάγων εἰς τὸ ὑ. εἶναι Leont.B.*Nest.et Eut.*1(M.86.1277Cf.); τῇ...ἰδίᾳ ὑ. αὐτὴν [sc. τὴν σάρκα] ἀνειληφὼς ἑπροσωποποίησεν Leont.H.*Nest.*5.25(M.86.1748A); οὐδεὶς εὐσεβῶν δύο ὑ. ἔχειν αὐτόν φησι ὄντως τὸν λόγον· ἀλλὰ τὴν μίαν αὐτοῦ ὑ., πάλαι μὲν ἐξ ἀποιήτων...γνωρίζεσθαι ἰδιωμάτων...νῦν δὲ καὶ ἐκ ποιητῶν ἔχειν λόγων καὶ πραγμάτων ἐκ περιουσίας τὰς ὑποστατικὰς ἑαυτῆς ὑπογραφάς *ib.*2.39(1596C); *ib.*2.7,22(1549D,1584B); δύο...κατὰ φύσιν τὰ ἑνούμενα, ὡς ἑνούμενα· ἓν δὲ τὴν ὑ. ὡς ἡνωμένα id.*monoph.*3(M.86.1772A); τὸ δὲ ἀριθμῷ ἓν λεγόμενον, τὸ τῇ ὑ. ἕν ὃν φαμεν, καὶ οὐ τὸ τῇ φύσει ἕν *ib.*61(1804B); ἕνωσις μὲν ὑποστάσεων ἐν μιᾷ φύσει ἐπὶ τῆς...τριάδος, ἕνωσις δὲ τῶν φύσεων ἐν μιᾷ ὑ. ἐπὶ τῆς...σαρκώσεως τοῦ λόγου *ib.*18(1780D); διπλοῦς κατὰ τὴν οὐσίαν...οὐ διπλοῦς τῇ χαρακτηριστικῇ ὑ. Ephr.Ant.*fr.*(M.86.2108D); εἴ τις τὴν μίαν ὑ. τοῦ... Χριστοῦ οὕτως ἐκλαμβάνει, ὡς ἐπιδεχομένην πολλὰν ὑ. σημασίαν, καὶ διὰ τούτου εἰσάγειν ἐπιχειρεῖ...δύο ὑ., ἤτοι δύο πρόσωπα...ἀλλὰ μὴ ὁμολογεῖ τὸν...λόγον σαρκὶ καθ' ὑπόστασιν ἑνωθῆναι καὶ διὰ τοῦτο μίαν αὐτοῦ τὴν ὑ. ἤτοι ἓν πρόσωπον...ἀ. ἕ. CCP(553)*anath.*5; πεπρᾶχθαί φαμεν τὴν ἕνωσιν καθ' ὑ. ... ὁ θεὸς λόγος, τουτέστιν ἡ μία ὑ. ἐκ τῶν τριῶν τῆς θεότητος ὑ. ... ἐδημιούργησεν ἑαυτῷ...ἐν τῇ ἰδίᾳ ὑ. σάρκα ἐψυχωμένην ψυχῇ λογικῇ καὶ νοερᾷ ὅπερ ἐστὶ φύσις ἀνθρωπίνη...διὰ γὰρ τοῦ εἰπεῖν 'ὃς ἐν μορφῇ θεοῦ ὑπάρχων' τὴν τοῦ λόγου ὑ. ὑπάρχουσαν ἔδειξεν ἐν οὐσίᾳ θεοῦ, διὰ δὲ τοῦ εἰπεῖν 'μορφὴν δούλου ἔλαβεν' οὐσίᾳ ἀνθρώπου καὶ οὐχ ὑ. ἤτοι προσώπῳ ἑνωθῆναι τὸν λόγον ἐσήμανεν Justn.*conf.*(p.74.24ff.; M.86.997B); μίαν ὑ. τοῦ θεοῦ λόγου σύνθετον ...ἐπειδὴ ὅτε καθ' ἑαυτὴν ἁπλῶς φύσις λέγεται μὴ προσκειμένου ταύτῃ ἰδικοῦ τινος προσώπου, ἀόριστόν τι καὶ ἀνυπόστατον δηλοῖ *ib.*(p.86.36; 1011A); μίαν ὑ. σύνθετον, ἐκ δύο συντεθειμένην φύσεων... ἀλλήλαις ἡνωμένων κατ' αὐτὴν τὴν τοῦ λόγου ὑ. ... οὐ γὰρ ὑπέστη καθ' αὐτὸ κἂν ἀκαριαίως τὸ τοῦ Χριστοῦ ἀνθρώπινον ὡς ἂν ὑ. τοῦτο λέγοιτο ‡Cyr.*Trin.*18(6[3].24Bf.; M.77.1157A); κενωθεὶς μὲν σπορὰ γέγονε τῆς οἰκείας σαρκός, ἀρρήτῳ δὲ συλλήψει συντιθεὶς αὐτῆς ὑ. γέγονε τῆς προσληφθείσης σαρκός Max.*ambig.*(M.91.1037A); ἐκ τούτων δὲ θείας φύσεως καὶ ἀνθρωπίνης φύσεως λέγω, καὶ ἐν ταύταις, καὶ τούτων ὑ. ἐστι...ὁ εἷς καὶ μόνος Χριστὸς καὶ υἱός id.*opusc.*(M.91.96A); ‡Gr.Nyss.*hom.*9.50 *in Jo.*(p.296.5); ἕνα...Χριστὸν...ἐκ δύο καὶ ἐν δύο οὐσίαις...ὑποστῆναι γινώσκομεν...σωζομένης τῆς ἰδιότητος ἑκατέρας φύσεως καὶ εἰς ἓν πρόσωπον καὶ μίαν ὑ. συντρεχούσης Agath.Papa *ep.syn.*(M.*PL*.87.1222C); ἡ θεότης...καὶ ἡ ἀνθρωπότης τοῦ Χριστοῦ...ἔχει...ἑκατέρα κοινὴν τὴν μίαν σύνθετον αὐτοῦ ὑ.· ἡ μὲν θεότης προαιωνίως...ἡ δὲ...σαρξ...ἐπ' ἐσχάτων τῶν χρόνων ὑπ' αὐτῆς προσληφθεῖσα καὶ ἐν αὐτῇ ὑπάρξασα, καὶ αὐτὴν ἐσχηκυῖα ὑ. Jo.D.*nat.*6(M.95.120D); ἡ αὐτὴ...τοῦ λόγου ὑ., ἀμφοτέρων τῶν φύσεων ὑ. χρηματίσασα, οὔτε ἀνυπόστατον αὐτῶν μίαν εἶναι συγχωρεῖ, οὔτε μὴν ἑτεροϋποστάτους ἀλλήλων εἶναι παραχωρεῖ...ἀεὶ ἀμφοτέρων ἀδιαιρέτως, καὶ ἀχωρίστως ὑπάρχει ὑ. id.*f.o.*3.9(M.94.1017Af.); so two ἐνέργειαι of one Person καθ' ἑκάτερον ὧν ὑπῆρχεν ὑ. φυσικῶς ἐνήργει μὴ διαιρούμενος Max.*opusc.*(M.91.36C); ὁ αὐτὸς θεὸς τέλειός ἐστιν ὁμοῦ καὶ ἄνθρωπος τέλειος, ἐκ δύο φύσεων...καὶ ἐν δύο φύσεσι...θελητικαῖς

τε καὶ ἐνεργητικαῖς...μιᾷ δὲ συνθέτῳ ὑ. Jo.D.*f.o.*1.2(M.94.793A); ἐπειδὴ μὲν οὖν δύο φύσεις τοῦ Χριστοῦ, δύο αὐτοῦ καὶ τὰ φυσικὰ θελήματα, καὶ τὰς φυσικὰς ἐνεργείας φαμέν. ἐπειδὴ δὲ μία τῶν δύο φύσεων αὐτοῦ ἡ ὑ., ἕνα καὶ τὸν αὐτόν φαμεν θέλοντά τε καὶ ἐνεργοῦντα φυσικῶς *ib.*3.14(1033A).

ὑποστατικός, A. *substantive*; **1.** *being of the substance of, belonging to* τὸ δὲ ἓξῆς, ἑτέρας ὂν διανοίας ὑ., συνάψωμεν τοῖς ἐπιλεγομένοις Eus.*qu.Marin.*1.2(M.22.940B); **2.** *giving substance to, causing the existence of* εἰς συνηγορίαν προβάλλεται τῶν ἰδίων ῥημάτων τὴν ὑ. τῆς κτίσεως ἐν τῷ θείῳ θελήματι κίνησιν Gr.Nyss.*Eun.*1.2(2 p.291.7; M. 45.1000D); τὴν ἀγαθὴν καὶ αἰωνίαν ζωήν, καὶ ὡς σοφήν, καὶ ὡς αὐτοσοφίαν ὑμνῶμεν, μᾶλλον δὲ ὡς πάσης σοφίας ὑ. Dion.Ar.*d.n.*7.1 (M.3.865B); τὸν θεὸν τοῦ κόσμου τοῦ καθ' ἡμᾶς αὐτῷ συναΐδιον ποιητικήν τε καὶ ὑ. αἰτίαν καταφάσκειν Zach.Mit.*opif.*(M.85.1113A); **3.** *essential* αὐτὴν ὑ. ὁρῶντες τὴν τοῦ θεοῦ δικαιοσύνην Eus.*fr.Lc.*6:20 (M.24.536B); τὸ οὖν θέλημα τοῦ ἀνθρώπου ὡς παράστασις ὑ.· μὴ παρόντος δὲ θελήματος, οὐδ' αὐτὸς ὁ θεός τι ποιεῖ, καίπερ δυνάμενος, διὰ τὸ αὐτεξούσιον Mac.Aeg.*hom.*37.10(M.34.757A); ref. 2Cor.3:7 ὑ. φωτὸς ἐν ταῖς ψυχαῖς βεβαία καὶ διηνεκὴς ἔλλαμψις id.*libert.ment.*22(M.34. 956D); **4.** *actual* (opp. potential) τὰ μὲν ὑ. τοῦ νοὸς εἴδωλα πονηρότερά ἐστι καὶ ἐπικρατέστερα, τὰ δὲ λογιστικά, τούτων αἴτια καὶ προηγητικά Marc.Er.*opusc.*1.183(M.65.928B).

B. theol., *of* or *pertaining to a person, personal, hypostatic*; **1.** of Father and Son ὁ λόγος θεός, ζῶσα σοφία, ὑ., λόγος ἐνεργὴς καὶ υἱός, αὐτὴ οὐσιωμένη Acac.Caes.*fr.Marcell.*ap.Epiph.*haer.*72.7(p.262.16; M.42.392D); εἰ μὲν γὰρ οὐσιώδη καὶ ὑ. εἶναι δώσετε ταύτην [sc. τὴν βούλησιν τοῦ πατρός], πῶς ἔτι μονογενὴς ὁ υἱός, τρίτος ὢν ἐκ πατρός; Cyr. *thes.*8(5[1].61B); μήτε τῶν ὑ. ὑπάρξεων συγχεομένων ‡Gr.Nyss.*hom.1.15 in Jo.*(p.98.10); of Trin. πᾶσαν ὑ. πληθὺν ἐκτρεπομένων Sophr.H.*ep. syn.*(M.87.3153D); τῆς ἀγεννησίας, καὶ τῆς γεννήσεως, καὶ τῆς ἐκπορεύσεως· ἐν ταύταις γὰρ μόναις ταῖς ὑ. ἰδιότησι διαφέρουσιν ἀλλήλων αἱ ἁγίαι τρεῖς ὑποστάσεις ‡Cyr.*Trin.*9(6[8].14B; M.77.1140D) = Jo.D.*f.o.*1. 8(M.94.824B); διαιρετὴν μὲν ταῖς ὑποστάσεσι καὶ ταῖς ὑ. ἰδιότησιν, ἡνωμένην δὲ τῇ οὐσίᾳ †Jo.D.*B.J.*19(M.96.1028A); **2.** Christol.; **a.** in gen. τὴν αὐτὴν [sc. ὑπόστασιν] ἔχει, μετὰ μέν τοι προσθήκην τῶν τε ὑ. ἰδιωμάτων σαρκός Leont.H.*Nest.*1.28(M.86.1493D); οὔτε μὴν ὑ. δυὰς κατὰ Νεστόριον Max.*ep.*13(M.91.525B); διὰ τὴν ὑ. ταυτότητα, ἤγουν τὴν μίαν ὑπόστασιν *ib.*(516C); **b.** opp. προφορικός: ἀποστελλόμενον, κατὰ καιρὸν εὐδοκίας τοῦ πατρικοῦ θελήματος, οὐχ ὡς προφορικὸν κατὰ καιρὸν χρόνου πρὸς χρείαν ἀπογεννώμενον, ἀλλ' ὡς ὑ. ‡Ath.*annunt.*4 (M.28.921C); **c.** opp. φυσικός: τῆς φυσικῆς δυάδος τὴν ἕνωσιν, καὶ τὴν ὑ. μονάδα Leont.H.*monoph.*(M.86.1809B); κατὰ τὸ φυσικὸν ὄνομα, ὁμοιότης τινὸς πρὸς τινά ἐστιν πότε· κατὰ δὲ ὑ., ἑτερότης μόνον id.*Nest.* 2.18(M.86.1577B); εἰ μὲν ὑ. αὐτὸ [sc. θέλημα] φήσουσιν, ἑτερόβουλος οὕτω γε ἔσται ὁ υἱὸς τῷ πατρί. μόνης γὰρ ὑποστάσεως χαρακτηριστικὸν τὸ ὑ. Max.*Pyrr.*(M.91.313C); τίς γὰρ ὁ λέγων ὑ., ὑπάρχειν ἐνέργειαν; καὶ οὕτως ἀλλότριον τοῦ πατρὸς κατ' ἐνέργειαν αὐτὸν ὁ τοιοῦτος ἀποφαίνει λόγος, εἴπερ ὑ., καὶ οὐ φυσικὴν ἔχει παρὰ τὸν πατέρα ἐνέργειαν. τοῖς γὰρ ὑ. ἰδιώμασιν, τὴν πρὸς αὐτὸν κέκτηται διαφορὰν προδήλως ὁ λόγος id.*opusc.*(M.91.85B); ἰδιώματα τῆς θείας φύσεως... φυσικὰ καὶ οὐχ ὑ. ‡Cyr.*Trin.*13(6[3].19B; M.77.1149A); φυσικὰ γάρ, καὶ οὐχ ὑ. φαμεν τὰ θελήματα καὶ τὰς ἐνεργείας...εἰ γὰρ ὑ. δῶμεν αὐτά, ἑτεροθελεῖς καὶ ἑτεροενεργεῖς τὰς τρεῖς ὑποστάσεις τῆς ἁγίας τριάδος εἰπεῖν ἀναγκασθησόμεθα Jo.D.*f.o.*3.14(M.94.1036A); τὸ πρωτότυπον καὶ ἡ εἰκών, ἓν μέν ἐστι τῇ ὑ. ὁμοιώσει δύο δὲ τῇ φύσει Thdr.Stud. *antirr.*3.3.1(M.99.428C); **d.** ref. hypostatic union ἐν τῇ κατ' οὐσίαν ὑ. ἑνώσει Leont.B.*Nest.et Eut.*proem.1(M.86.1308C); λέγεται [sc. ἕνωσις]...φυσική, ἡ ὡς κατὰ λόγον φύσεως οὖσα τῷδέ τινι...λέγεται φυσικὴ καὶ ἡ ὡς φύσεών τινων ἁπλῶς ἡ φύσεως οὔσα καὶ οὐ συμβεβηκότων...ὡσαύτως δὲ καὶ ὑ. ἡ μέν τις λέγεται μερῶν κατὰ λόγον ὑποστάσεως, ἡ δὲ ὡς ὑποστάσεων· φυσικὴν μὲν οὖν φαμεν ἡμεῖς τὴν ἕνωσιν ἐπὶ Χριστοῦ, ὡς φύσεων ἡνωμένων κατ' αὐτόν...καὶ ὑ. δέ φαμεν τὴν ἕνωσιν ἐπὶ Χριστοῦ· ἀνάπαλιν μέντοι τῷ σημαινομένῳ ἡμῖν κατὰ τὴν φυσικήν· οὐ γὰρ ὡς ὑποστάσεων, ἀλλ' ὡς τοῦ λόγου οὖσαν τῆς ὑποστάσεως αὐτοῦ Leont.H.*Nest.*1.50(M.86.1512cff.); *ib.*3.5(1617A); ὑ. οὖν ἕνωσίς ἐστιν, ἣ τὰς διαφόρους οὐσίας ἤγουν φύσεις εἰς ἓν πρόσωπον, καὶ μίαν καὶ τὴν αὐτὴν ὑπόστασιν συνάγουσά τε καὶ συνδέουσα· ὑ. δὲ διαφορὰ τυγχάνει λόγος, καθ' ὃν ἡ κατὰ τὸ ἄθροισμα τῶν ἐνθεωρουμένων ἰδιωμάτων τῷ κοινῷ τῆς οὐσίας ἑτερότης, τέμνουσα κατ' ἀριθμὸν ἄλλον ἐπ' ἄλλου, τὴν τῶν ἀτόμων ποιεῖται πληθύν Max. *opusc.*(M.91.152B); *ib.*(61C); αὕτη [sc. ἕνωσις] δὲ πρὸς ἑαυτὴν οὐδεμίαν ὑ. ἔχει διαφοράν Jo.D.*dialect.*66(M.94.665B); **e.** ref. θέλημα of Christ ποτὲ δὲ ὑ. αὐτὸ λέγων, τῇ διαφορᾷ τῶν ὑποστάσεων συνεισῆγε καὶ τὸ διάφορον τῶν θελημάτων ἐπὶ τῶν ὁμοουσίων Max.*Pyrr.*(M.91. 329C); and properties τὴν μίαν αὐτοῦ ὑπόστασιν, πάλαι μὲν ἐξ ἀποιήτων τὸ ὅλον γνωρίζεσθαι ἰδιωμάτων ἐντελῶς, νῦν δὲ καὶ ἐκ ποιητῶν ἔχειν λόγων καὶ πραγμάτων ἐκ περιουσίας τὰς ὑ. ἑαυτῆς ὑπογραφάς Leont.H.*Nest.*2.39(M.86.1596C); τοῖς ὑ. ἰδιώμασιν Thdr. Stud.*antirr.*3.1.34(M.99.405C).

ὑποστατικῶς, 1. *fundamentally* ὅταν ἴδῃς τὰ ἐγκείμενα ὑ. κινούμενα καὶ εἰς πάθος προκαλούμενα τὸν νοῦν ἡσυχάζοντα Marc.Er.*opusc.*1.180 (M.65.928A); **2.** *in person* πῶς...τὸ πανάγιον πνεῦμα κατελθὸν ἐν τῇ Ἰορδάνῃ καὶ μεῖναν ἐν Χριστῷ; κατ' οὐσίαν καὶ κατ' ἀλήθειαν ὑ. Anast.S.*hod.*22(M.89.272C); **3.** Christol., *hypostatically*; *in virtue of* or *in terms of the Person, as one Person* ὅσα...ὑ. ἦνται, κἂν ἐκ δύο νοεῖται, ὅμως τὸ τῇ τοῦ δυνατωτέρου φύσει συνενωθέν, ἐκεῖνο καὶ νοεῖται καὶ ὀνομάζεται Marc.Er.*opusc.*10.5(M.65.1124B); τὴν μὲν [sc. διαφοράν] ἐν τῷ φυσικῷ λόγῳ...τελείως συντηρουμένην, τὴν δὲ [sc. ἕνωσιν]...ἐν τῷ οἰκονομικῷ τρόπῳ...ὑ. σωζομένην Max.*opusc.*(M.91. 84B); εἷς ὁ προαιώνιος λόγος τοῦ θεοῦ καὶ μετὰ τὴν πρόληψιν τῆς σαρκὸς ὑ. καὶ οὐ φυσικῶς Jo.D.*disp.*(M.96.1345B).

ὑπόστατις, ἡ, fem. of ὑποστάτης, *one who gives substance* or *reality*; of God as πάντων αἰτία, Dion.Ar.*d.n.*1.7(M.3.596C).

ὑποστατός (ὑπόστατος), *substantially existing* καθ' ἑαυτὴν...οὐκ ἔστιν ὑ. [sc. ὕλη] Alex.Lyc.*Man.*6(p.10.25; M.18.420C); ὡς ἐκ θεοῦ θεός ἐστι...οὕτως ἐξ ὑποστάσεως ὑ. ‡Ath.*Ar.*4.1(p.45.4; M.26.469A); of Logos, Didym.*Trin.*3.4(M.39.789A); as subst. οὔτε ἡ ψυχὴ μόνη γίνεται ὑπόστασις οὔτε τὸ σῶμα, ἀλλ' ἐν ὑ. Melet.*nat.hom.*31(M.64. 1309B).

ὑποστέγω, *hold out, resist* an attack, Geo.Pis.*carm.*1.34.

ὑποστεναχίζω, *groan under,* Paul.Sil.*Soph.*190(M.86.2127A).

***ὑποστερηνέω,** ? *strengthen* πῶς γὰρ οἰκέτης δεσπότην ἐνισχύσειεν, ἢ πνεῦμα πέτραν ὑποστερηνήσειεν ‡Caes.Naz.*dial.*29(M.38.888).

ὑπόστημα, τό, 1. *garrison* [Hebr. נֵצִיב], ref. 1Reg.13:3 ὑ. ... ἐκάλεσε τὴν φρουράν Thdt.*qu.27 in 1Reg.*(1.373); *position*, Sophr.H. *nativ.*(p.513.12); **2.** = ὑπόστασις in sense of *substance*, ref. Jer.23:8 οὔτε τις ἄλλος...ἔστη ἐν ὑ. καὶ οὐσίᾳ κυρίου Gr.Naz.*or.*28.19(p.51.8; M.36.52B); ἕωλον μὲν τῶν ἡμερῶν διαστήμασι, ζῷον δὲ τῷ ἐκ τῆς θεότητος ὑ. Germ.CP *or.*2(M.98.261A).

ὑποστήριγμα, τό, *prop, support* τὰ ὀστᾶ ταῦτα τὰ τῆς σαρκὸς ὑ. Bas.*hom.in Ps.*33(1.156C; M.29.381C); ἐπὶ οἰκίας σαθρῶς διακειμένης, οὐδεὶς ὑ. τίθησιν...ἀλλὰ καταλύσας...ἀνακαινίζει Chrys.*hom.5.3 in Tit.*(11.761B); ἔπηξε τὴν γῆν, ἀναδείξας τὰ ὑ. αὐτῆς Cyr.*Jo.*12.1(4. 1094B); fig. ὑπὸ...ῥαθυμίας λήθης τε καὶ ἀγνοίας τὰ τῶν λοιπῶν παθῶν ὑποστηρίγματα κραταιοῦνται καὶ μεγαλύνονται Marc.Er.*opusc.* 5.12(M.65.1049A); τὸ ὑ. τῶν νοητῶν ἀλλοφύλων *ib.*5.13(1049B).

***ὑποστηριγμός, ὁ,** = foreg. ἔστω [sc. bishop] αὐτοῖς ὑπό σε βακτηρία καὶ ὑ. *Euchol.*(p.256).

ὑποστηρίζ-ω, *underprop, sustain,* met. ὅση δ' αὐτοῦ τῇ ψυχῇ πίστεως ἐνθέου ὑπεστήρικτο δύναμις Eus.*v.C.*4.15(p.123.18; M.20. 1164A); ἐλπίδι δὲ καὶ ὑπομονῇ ἀντὶ βακτηρίας...~εσθαι Gr.Nyss.*virg.* 18(p.318.20; M.46.392A); τοὺς τὸ ὁμοούσιον δοξάζοντας ὀρθοδόξους ὑπεστήριζε Thphn.*chron.*p.53(M.108.188C).

***ὑποστήριξις, ἡ,** *support,* Geo.Pis.*hex.*263(M.92.1455A).

ἀναιρῶν Or.*princ.*3.1.15(p.222.6); M.11.280A); ἵνα εὑρεθῇ πάντων ὑμῶν ἡ ψυχὴ μὴ ἔχουσα σπίλον...οὐ λέγω πρὸ τοῦ λαβεῖν τὴν χ. ... ἀλλ' ἵνα διδομένης τῆς χ., ἀκατάγνωστος ἡ συνείδησις εὑρεθεῖσα συνδράμῃ τῇ χ. Cyr.H.*catech.*3.2; ἀμήχανόν ἐστι χωρητικοὺς ἡμᾶς γενέσθαι τῆς θείας χ., μὴ τὰ ἀπὸ κακίας πάθη προκατασχόντα τὰς ψυχὰς ἡμῶν ἐξελάσαντας Bas.*hom.in Ps.*61(1.196D; M.29.477D); Gr.Naz.*or.*40.34(M.36.408C); id.*carm.*2.1.83.28(M.37.1430); ἡ τοῦ θεοῦ πνευματικὴ τῆς χ. ἐνέργεια ἐν ψυχῇ γιγνομένη, μετὰ πολλῆς μακροθυμίας...καὶ οἰκονομίας νοὸς μυστικῆς κατεργάζεται, καὶ μετὰ πολλῆς ὑπομονῆς...καιροῖς τοῦ ἀνθρώπου ἀγωνιζομένου Mac.Aeg.*hom.*9.1(M.34.532D); ἐκεῖνο [sc. baptism], φησί, χ. μόνης ἦν...εἰ γὰρ ἔνθα χ. ἦν μόνη, συνήργησεν· ἔνθα καὶ πόνους ἐπιδείκνυσθε, οὐ πολλῷ μᾶλλον συμπράξει; Chrys.*hom.*39.4 *in Mt.*(7.436B); χάριτος ἦν ἡ κλῆσις· τίνος οὖν ἕνεκεν ἀκριβολογεῖται; ὅτι τὸ μὲν κληθῆναι καὶ καθαρθῆναι χ. ἦν· τὸ δὲ κληθέντα καὶ καθαρὰ ἐνδυσάμενον, μεῖναι τοιαῦτα διατηροῦντα τῆς τῶν κληθέντων σπουδῆς *ib.*69.2(681D); ἡ χ. δὲ πῶς γίνεται μεθ' ἡμῶν; ἂν μὴ ὑβρίσωμεν εἰς τὴν ἐνεργεσίαν, ἂν μὴ ῥᾴθυμοι γενώμεθα περὶ τὴν δωρεάν id.*hom.*34.2 *in Heb.*(12.316A); **3.** esp. in practice of self-denial and virtue ὀφείλουσιν...οἱ ἔχοντες τὴν χ. τοῦ θεοῦ, ταπεινοφρονεῖν καὶ ὁμολογεῖν τὴν πτωχείαν αὐτῶν Mac.Aeg.*hom.*15.27(M.34.593); charity, *ib.*26.16(685B); purification, id.*elev.*13(901A); ἡ τοῦ πνεύματος χ., παρόντων μὲν ἡμῖν ἔργων ἀγαθῶν, καὶ ἐλεημοσύνης πολλῆς ἐπιχεομένης τῇ ψυχῇ, μένει καθάπερ ἐλαίῳ κατεχομένη ἡ φλόξ· ταύτης δὲ οὐκ οὔσης, ἅπεισι Chrys.*hom.*1.6 *in 2Cor.*4:13(3.265A); humility, Cyr.*Is.*1.3(2.65B); ἡ μὲν χ., τοῖς ἐν Χριστῷ βαπτισθεῖσι, μυστικῶς δεδώρηται· ἐνεργεῖ δὲ κατὰ ἀναλογίαν τῆς ἐργασίας τῶν ἐντολῶν, καὶ κρυφίως βοηθεῖν ἡμῖν ἡ χ. οὐ παύεται, ἐφ' ἡμῖν δέ ἐστι ποιεῖν ἢ μὴ ποιεῖν τὸ ἀγαθὸν κατὰ δύναμιν. πρῶτον μὲν θεοπρεπῶς διεγείρει τὴν συνείδησιν. ὅθεν καὶ κακοποιοὶ μετανοήσαντες τῷ θεῷ εὑηρέστησαν. πάλιν ἐν διδασκαλίᾳ τοῦ πλησίον ἐγκρύπτεται. ἔστι δὲ ὅτε καὶ ἐν τῇ ἀναγνώσει τῇ διανοίᾳ παρέπεται, καὶ διὰ τῆς φυσικῆς ἀκολουθίας ἐκδιδάσκει τὸν νοῦν τὴν ἑαυτῆς ἀλήθειαν. εἰ οὖν τῆς μερικῆς ταύτης ἀκολουθίας μὴ κρύψωμεν τὸ τάλαντον, εἰς τὴν χαρὰν τοῦ κυρίου ἐναρχῶς εἰσελευσόμεθα Marc.Er.*opusc.*2.56(M.65.937D); prayer, Nil.*epp.*3.271(M.79.520A); **4.** hence may be lost: **a.** indefectibility maintained by Gnostics ἡμᾶς [sc. orthodox]...ἐν χρήσει τὴν χ. λαμβάνειν λέγουσι, διὸ καὶ ἀφαιρεθήσεσθαι αὐτῆς· αὐτοὺς δὲ ἰδιόκτητον ἄνωθεν ἀπὸ τῆς ἀρρήτου...συζυγίας συγκατεληλυθυῖαν ἔχειν τὴν χ. Iren.*haer.*1.6.4(M.7.509A); ἀναφαίρετος γὰρ ἡ χ. Heracleon ap.Or.*Jo.*13.10(p.234.23; M.14.413B); *A.Barn.*8(p.295.10); **b.** lost; esp. through pride, *Const.App.*8.2.7; πῶς πίπτουσιν οἱ ἐνεργούμενοι ὑπὸ χ. θεοῦ; αὐτοὶ οἱ λογισμοὶ οἱ καθαροὶ ἐν τῇ ἰδίᾳ φύσει...πίπτουσιν. ἄρχεται γὰρ ἐπαίρεσθαι, κατακρίνειν καὶ λέγειν· οὐ ἁμαρτωλὸς εἶ, ἔχειν δ' ἑαυτὸν δίκαιον Mac.Aeg.*hom.*7.4(M.34.525C); οἱ ἔχοντες τὴν χ., ἐὰν ἐπαρθῶσι. ... αἴρει ἀπ' αὐτοῦ ὁ κύριος τὴν χ. αὐτοῦ *ib.*15.27 (593C); cf.Gr.Naz.*or.*9.2(M.35.821B); through voluntary evil ὅπου γὰρ αὐτοπροαίρετος πονηρία, ἐκεῖ καὶ ἀποχὴ τῆς χ. Cyr.H.*catech.* 6.28; *ib.*15.25; through negligence and instability τοῖς διὰ τὸ τῆς γνώμης ἀνίδρυτον, εὐκόλως, ἣν ἐδέξαντο χ. ἀπωθουμένοις Bas.*Spir.*61 (3.51E; M.32.180D); εἰ δύναται πεσεῖν ἄνθρωπος ἔχων χ.; ἐὰν ἀμελήσῃ, πίπτει...πολλὴ γάρ σοι ζημία γίγνεται ἀμελοῦντι, εἰ καὶ ἐν αὐτῷ τῷ μυστηρίῳ τῆς χ. δοκεῖς ἐξετάζεσθαι Mac.Aeg.*hom.*15.16(M.34.585C); οὐχ ὅτι ὁ θεὸς τρεπτός ἐστι...ἀλλ' αὐτοὶ οἱ ἄνθρωποι οὐ συμφωνοῦσι τῇ χ.· διὰ τοῦτο ἐκτρέπονται *ib.*15.36(600D); ἐκπίπτουσι δὲ τῆς χ. ἀπὸ δύο πραγμάτων· ἢ ὅτι τὰς ἐπιφερομένας θλίψεις οὐχ ὑπομένουσιν· ἢ ὅτι εἰς τὰς ἡδονὰς τῆς ἁμαρτίας ἐνηδυνθεῖσαι ἀπέμειναν *ib.*42.2(769D); **c.** but restored by penitence ἡ μὲν χ. ἀμεταμέλητος διαμένει τοῖς βουλομένοις, κἂν τις ἐκπεσὼν μετανοῇ Ath.*Ar.*3.25(M.26.376B); Mac. Aeg.*hom.*15.16(M.34.585C); **5.** grace and free will: **a.** grace does not exclude free will οὐκ ἠδύναντο ἁμαρτάνειν οἱ ἀπόστολοι, εἰ ἤθελον, ἢ καὶ αὐτοῦ τοῦ θελήματος ἰσχυροτέρα ἦν ἡ χ.;...οὐ λέγομεν, ὅτι ἡ χ. ἐν αὐτοῖς ἠσθένει, ἀλλὰ λέγομεν, ὅτι παραχωρεῖ ἡ χ. καὶ τοῖς τελείοις πνευματικοῖς ἔχειν τὰ θελήματα...καὶ τρέπεσθαι ὅπου βούλονται Mac. Aeg.*hom.*27.11(M.34.700D–701A); ὁρᾷς, ὅτι μετὰ τῆς χ. τοῦ θεοῦ καὶ τὰ παρ' ἑαυτῶν εἰσέφερον; πανταχοῦ γὰρ τοῦτο χρὴ παρατηρεῖν, ὅτι μετὰ τῆς χ. τοῦ θεοῦ καὶ τὰ παρ' ἑαυτῶν ἐπιδεικνύουσι Chrys.*hom.*11.1 *in Ac.*(9.90B); *ib.*13.2(106A); χ. ἄνωθεν δεδομένη. οὐ μὴν ἐπειδὴ δωρεά, διὰ τοῦτο τὸ αὐτεξούσιον ἀνῄρηται id.*hom.*45.1 *in Mt.*(7.476); id. *hom.*18.2 *in Rom.*(9.633C); nor the reward due to good works, *ib.* 2.3(440A); but cf. Marc.Er.*opusc.*2.2(M.65.929C); **b.** view that grace depends on human effort οὔτε ἡ τοῦ πνεύματος χ. τὴν ἡμετέραν προφθάνει προαίρεσιν Chrys.*hom.*1.5 *in 2Cor.*4:13(3.264C); id.*hom.* 15.3 *in Ac.*(9.123D); cf.id.*hom.*19.5 *in Mt.*(7.251C); modified by divine foreknowledge ἡ γὰρ χ. εἰ μὴ τὰ παρ' ἡμῶν πρότερον ἐζήτει, ἀθρόως ἂν εἰς τὰς ἁπάντων ἐξεχύθη ψυχάς...ἐπειδὴ δὲ τὰ παρ' ἡμῶν ζητεῖ, διὰ τοῦτο τοῖς μὲν ἕπεται καὶ παραμένει, τῶν δὲ ἀφίπταται, εἰς δὲ τοὺς λοιποὺς οὐδὲ τὴν ἀρχὴν καθικνεῖται. ὅτι δὲ προαίρεσιν πρότερον ἐξέτασας, οὕτω τὴν χ. ἔδωκεν ὁ θεὸς πρὶν ἤ τι θαυμαστὸν ἐπιδείξασθαι τὸν μακάριον ἐκεῖνον, ἄκουσον τί περὶ αὐτοῦ φησι· σκεῦος ἐκλογῆς μοί ἐστι...ταῦτα οὔπω τῆς χ. παρούσης ἐμαρτύρησεν ὁ τὰς καρδίας ἐμβατεύων ἡμῶν id.*compunct.*1.9(1.137E–138A); **c.** but 'prevenient grace' not excluded καὶ γὰρ τὰ τοῦ νόμου καὶ αὐτὰ χάριτος ἦν, καὶ αὐτὸ τὸ γενέσθαι ἡμᾶς ἐξ οὐκ ὄντων. οὐ γὰρ κατορθωμάτων προϋπηργμένων ταύτην ἐλάβομεν τὴν ἀμοιβήν· πῶς γὰρ οἱ μηδὲ ὄντες; ἀλλὰ θεοῦ πανταχόθεν τῆς εὐεργεσίας κατάρχοντος id.*hom.*14.2 *in Jo.*(8. 81B); id.*hom.*9.1 *in Gen.*(4.66A); *ib.*23.5(215A); **6.** imparted by evangelism ψυχαὶ ἐλλαμφθεῖσαι παρὰ τοῦ πνεύματος...εἰς ἑτέρους τὴν χ. ἐξαποστέλλουσιν Bas.*Spir.*23(3.20C; M.32.109B); Mac.Aeg.*hom.*17.8(M. 34.629A); εἰ μὴ μεταδοίην ἑτέροις τῆς δοθείσης μοι χ., λόγον ὑφέξω ἐν ἡμέρᾳ κρίσεως Nil.*epp.*2.30(M.79.212C); 'Εφραὶμ...τῇ Σύρων κεχρημένος φωνῇ τῆς...χ. τὰς ἀκτίνας ἠφίει Thdt.*h.e.*4.29.1(3.1008).

C. effects; **1.** purification from sin and salvation οἵτινες, ἐν...πάσῃ ῥυπαρᾷ πράξει ὑπάρχοντες, διὰ τῆς παρὰ τοῦ...Ἰησοῦ...χ. τὰ ῥυπαρὰ πάντα...κακὰ ἀπεδυσάμεθα Just.*dial.*116.1(M.6.744B); ἐκ τοῦ κατὰ χ. τὴν ἀπὸ τοῦ κυρίου...περιλειφθέντος εἰς τὴν αἰώνιον σωτηρίαν *ib.*32.2(544B); ὁ ἄνθρωπος...δεξάμενος τὴν χ. τοῦ πνεύματος...καὶ τὴν χ. μὴ ἐνυβρίζων δι' ἀμελείας...δυνήσεται τῆς αἰωνίου ζωῆς ἐπιτυχεῖν Mac.Aeg.*hom.*24.6(M.34.665C); freeing soul from devil, *ib.*17.3(625B); τί ἐστιν ἡ χ....; ἡ ἄφεσις τῶν ἁμαρτιῶν, ἡ κάθαρσις Chrys.*hom.* 34.2 *in Heb.*(12.316A); ἡ χ. σώζει id.*hom.*45.1 *in Ac.*(9.337C); οὐκ ἔστι μισθὸς ἔργων ἡ βασιλεία τῶν οὐρανῶν, ἀλλὰ χ. δεσπότου Marc.Er. *opusc.*2.2(M.65.929C); χρὴ πρῶτον ἐν τῇ καρδίᾳ ἔχειν τὴν χ. ... καὶ οὕτω κατ' ἀναλογίαν εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν *ib.*2.137 (952A); *ib.*2.135(949D); νικᾷ γὰρ ἡ χ. δικαιοῦσα τὸν ἀσεβῆ, καὶ μώμου παντὸς ἀπαλλάττουσα τοὺς ἠλεημένους Cyr.*Is.*5.2(2.759D); ref. Rom. 7:23 δεῖξαι [sc. S. Paul] τίνες μὲν πρὸ τῆς χ. ἦμεν, τίνες δὲ μετὰ τὴν χ. γεγόναμεν· καὶ οἷόν τι προσωπεῖον τῶν πρὸ τῆς χ. ὑπὸ τῆς ἁμαρτίας πολιορκηθέντων ἀναλαβών...δείκνυσι δὲ τὸν νόμον ἐπικουρῆσαι μὴ δυνάμενον Thdt.*Rom.*7:23(3.79); **2.** sonship ὧν ἐστι ποιητής, τούτων καὶ πατὴρ κατὰ χ. ὕστερον γίνεται...ἵνα γινώσκωσιν, ὅτι ἐξ ἀρχῆς μέν εἰσι κτίσματα, ὅταν δὲ κατὰ χ. λέγωνται γεννᾶσθαι, ὡς υἱοί, ἀλλ' οὐδὲν ἧττόν εἰσι πάλιν οἱ ἄνθρωποι ποιήματα κατὰ φύσιν Ath.*Ar.*2.59(M.26. 273A,C); κατὰ χ. ἔχοντες τὸ υἱοὶ εἶναι θεοῦ διὰ τὴν τοῦ πνεύματος... μετουσίαν, κατὰ χ. ἔχομεν τὸ ἡγεμονικὸν ἐν τῇ κτίσει Apoll.*Rom.* 8:20(p.66.4f.); cf.Mac.Aeg.*hom.*2.5(M.34.468A); ἀντὶ δούλων ἐλευθέρους, ἀντὶ νηπίων τελείους, ἀντὶ ἀλλοτρίων κληρονόμους ἐποίησε καὶ υἱοὺς ἡ χ. Chrys.*comm.in Gal.*4:6f.(10.705C); **3.** virtues in gen. φεύγοντες...βδελυκτὰς ἐπιθυμίας...κολληθῶμεν οὖν ἐκείνοις, οἷς ἡ χ. ἀπὸ τοῦ θεοῦ δέδοται· ἐνδυσώμεθα τὴν ὁμόνοιαν ταπεινοφρονοῦντες *1Clem.*30.3; πιστεύω γὰρ τῇ χ., ὅτι ἕτοιμοί ἐστε εἰς εὐποιΐαν θεῷ ἀνήκουσαν Ign.*Polyc.*7.3; αἰσθάνεσθαι ὀφείλει τῆς χ. ... ἐν ταῖς ἀρεταῖς Mac.Aeg.*hom.*24.6(M.34.665D); *ib.*44.9(785B); ἡ χ., ταῖς καρδίαις τῶν πιστῶν ἀτρέπτως ἐπιβάλλουσα, ἁρμολοῦσα ταῖς ἀρεταῖς τὰς ἐνεργείας χαρίζεται· τῷ διὰ Χριστὸν πεινῶντι γίνεται τροφή Marc. Er.*opusc.*2.109(M.65.945B); esp. humility ἡ χ. διδάσκει αὐτὸν εἶναι πτωχὸν τῷ πνεύματι Mac.Aeg.*hom.*12.3(M.34.557D); *ib.*16.12(621B); οὐκ ἔστι συνειδήσεως κατάγνωσις ἡ ταπεινοφροσύνη, ἀλλὰ χ. θεοῦ Marc.Er.*opusc.*2.103(M.65.945A); proof of its presence, Mac.Aeg. *hom.*15.37(601A); **4.** victory over nature πολλαὶ γυναῖκες ἐνδυναμωθεῖσαι διὰ τῆς χ. τοῦ θεοῦ ἐπετελέσαντο πολλὰ ἀνδρεῖα *1Clem.*55.3; τὰ διὰ τὸ εἶναι μέγιστα καὶ ὑπὲρ ἄνθρωπον τυγχάνειν...ἀδύνατα τῷ λογικῷ καὶ θνητῷ γένει καταλαβεῖν ἐν πολλῇ...ἐκχεομένῃ ἀπὸ θεοῦ εἰς ἀνθρώπους χ. θεοῦ διὰ τοῦ τῆς...χ. ὑπηρέτου...Χριστοῦ καὶ τοῦ συνεργοῦ πνεύματος βουλήσει θεοῦ δυνατὰ γίνεται Or.*or.*1(p.297.4f.; M.11.416A); τὴν γὰρ ἀπὸ τῆς φύσεως συμπάθειαν μεσιτεύουσα ἡ χ. ἐνίκησε Chrys. *Anna* 3.2(4.724C); συμπαρῆν αὐτῷ [sc. Joseph]...χ., καὶ αὐτὴ αὐτῷ πάντα τὰ δυσχερῆ ἐξευμάριζεν id.*hom.*62.3 *in Gen.*(4.595A); making men invincible, *ib.*4.2(23D); strengthening martyrs, id.*pan.Macc.*1. 1(2.624A); removing fear, id.*hom.*1.1 *in 1Cor.*(10.5C); **5.** summaries χ. ... παρέχουσα νοῦν, φανεροῦσα μυστήρια, διαγγέλλουσα καιρούς, χαίρουσα ἐπὶ πιστοῖς, ἐπιζητοῦσι δωρουμένη ‡*Diogn.*11.5; ἡ μὲν χ. ἀδιαλείπτως σύνεστι καὶ ἐρρίζωται,...καὶ ὡς φυσικὸν καὶ πηκτὸν ἐγένετο, αὐτὸ τὸ συνὸν τῷ ἀνθρώπῳ ὡς μία οὐσία· πολυτρόπως δέ, ὡς θέλει πρὸς τὸ συμφέρον, οἰκονομεῖ τὸν ἄνθρωπον...καὶ αὐτὴ ἡ λαμπὰς πάντοτε καιομένη...ὅταν φαιδρυνθῇ πλέον ἐν μέθῃ ἐξάπτεται τῆς ἀγάπης τοῦ θεοῦ Mac.Aeg.*hom.*8.2(M.34.528D); οὐ γὰρ ὅσον ἐχρήζομεν εἰς τὴν τῆς ἁμαρτίας ἀναίρεσιν, τοσοῦτον ἐλάβομεν μόνον ἐκ τῆς χ., ἀλλὰ καὶ πολλῷ πλέον...κολάσεως ἀπηλλάγημεν, καὶ κακίαν ἀπεδυσάμεθα πᾶσαν, καὶ ἀνεγεννήθημεν ἄνωθεν, καὶ ἀπελυτρώθημεν, καὶ ἡγιάσθημεν, καὶ εἰς υἱοθεσίαν ἤχθημεν...καὶ ἐγενόμεθα ἀδελφοὶ τοῦ μονογενοῦς, καὶ εἰς τὴν σάρκα αὐτοῦ τελοῦμεν, καὶ ὥσπερ σῶμα κεφαλῇ, οὕτως ἡνώμεθα. ταῦτα οὖν ἅπαντα περισσείαν χ. ἐκάλεσεν ὁ Παῦλος Chrys.*hom.*10.2 *in Rom.*(9.522B); τοιαύτη γὰρ ἡ χ. ἐκείνη·

κἂν ἀθυμίαν εὕρῃ, διαλύει, κἂν ἐπιθυμίαν πονηράν, δαπανᾷ, κἂν δειλίαν, ἐκβάλλει, καὶ οὐκ ἀφίησι λοιπὸν ἄνθρωπον εἶναι τὸν μετασχόντα αὐτοῦ, ἀλλ' ὥσπερ εἰς αὐτὸν μεταστάντα τὸν οὐρανόν, πάντα τὰ ἐκεῖ φαντάζεσθαι παρασκευάζει id.*hom.*75.5 *in Jo.*(8.445A); id.*hom.*44.1 *in Gen.*(4.448A); grace as clothing of soul, Ign.*Polyc.*1.2.

D. in myst. life; **1.** bringing about myst. experience οὐ χάριτος ἄνευ τῆς ἐξαιρέτου...ἄνω τῶν ὑπερκειμένων αἴρεται ἡ ψυχή Clem.*str.* 5.13(p.381.19; M.9.124B); ἔκδυψος [sc. ψυχή]...εἰς τὰ τῆς χ. μυστήρια ...καὶ πόθον ἔμπυρον διὰ τῆς χ. ἀεὶ ἐν αὐτῇ πρὸς τὸν οὐράνιον νυμφίον ἀνακινοῦσα Mac.Aeg.*hom.*10.4(M.34.544A); κατὰ βάθος ἐνεργουμένη χ. βαστάζει τὸν νοῦν, καὶ ἀναφέρει εἰς τοὺς οὐρανούς...εἰς τὴν αἰώνιον κατάπαυσιν *ib.*16.12(621C); *ib.*18.7(640B); knowledge of God λείπεται δὴ θεία χ. ... τὸ ἄγνωστον νοεῖν Clem.*str.*5.12(p.381.7; M.9.124A); Or. *Cels.*6.13(p.83.11; M.11.1309B); *ib.*7.44(p.195.1; 1484C); ψυχῇ τῇ διὰ τῆς χ. ἐπιγινωσκούσῃ τὸν θεόν Mac.Aeg.*hom.*15.4(577C); liberation from passions, *ib.*9.7(536C); *ib.*9.13(540D); ἡ ψυχὴ δύναται διὰ τῆς χ. ἀξιωθῆναι τῆς ἀπαθείας Philox.*ep.*37(p.184); spiritual consolation ἔχουσαι παράκλησιν τῆς χ. ἐν ἀναπαύσει, καὶ πόθῳ, καὶ γλυκύτητι πνευματικῇ Mac.Aeg.*hom.*10.3(541C); and enlightenment τῶν ἰδίων πτερύγων [i.e. which man had before Fall] ἐγυμνώθημεν· διὰ τοῦτο ἐπεφάνη ἡ τοῦ θεοῦ χ. φωτίζουσα ἡμᾶς, ἵνα ἀποθέμενοι τὴν ἀσέβειαν...πάλιν δι' ὑσιότητος...πτεροφυήσωμεν Gr.Nyss.*hom.*15 *in Cant.*(M.44.1101A); **2.** workings of grace in spiritual life ἡ τοῦ θεοῦ σοφία...τὰς οἰκονομίας τῆς χ. εἰς τὸ γένος τῆς ἀνθρωπότητος ἐξεργάζεται ποικίλως, πρὸς τὴν τοῦ αὐτεξουσίου θελήματος δοκιμασίαν...οἷς μὲν γὰρ προαπαντῶσι τὰ...δωρήματα...ἄνευ καμάτων...ἔτι δίδωσι τὴν χ. ὁ θεός, οὐκ ἀργῶς...ἀλλὰ σοφίᾳ τινὶ ἀρρήτῳ...εἰς τὸ δοκιμασθῆναι τὴν προαίρεσιν...τῶν ταχέως ἐπιτυχόντων τῆς θείας χ., εἰ ᾔσθοντο τῆς εὐεργεσίας...καὶ γλυκύτητος τοῦ θεοῦ, κατὰ ἀναλογίαν τῆς ἄνευ πόνων ἰδίων χ., ἧς καταξιωθέντες ὀφείλουσι...τὸν ἐκ...προαιρέσεως ἀγάπης καρπὸν ἐπιδείξασθαι...οἷς δὲ καὶ ἀναχωρήσασι τοῦ κόσμου...καὶ ἐν πολλῇ προσκαρτερήσει εὐχῆς καὶ νηστείας...τυγχάνουσιν, οὐκ εὐθὺς ὁ θεὸς δίδωσι τὴν χ. ... ἀλλὰ σοφίᾳ τινὶ ἀρρήτῳ εἰς δοκιμασίαν τοῦ αὐτεξουσίου θελήματος Mac.Aeg.*hom.*29.1,2(M.34.716B–D); ἡ χ. κρυπτῶς ἐργάζεται ἐν ταῖς καρδίαις τὴν ἑαυτῆς ἀγάπην, καὶ μεταβάλλει ἀπὸ πικρότητος εἰς γλυκύτητα *ib.*16.7(617C); *ib.*15.20(589A,B); ἔστιν ὅτε μέλλοντος τοῦ ἀνθρώπου πειρασμῷ...προλαβοῦσα ἡ χ. ... παρηγορεῖ τὴν ψυχήν...ὅταν τοίνυν ὁ ἄνθρωπος...ἐπικρατήσαντος τοῦ πολεμίου, καὶ ἀθυμήσῃ, καὶ ἀπογνῷ ἑαυτοῦ, τότε πάλιν ἡ χ. ἐφίπταται τοῦ θεοῦ, φυγαδεύουσα μὲν τὸν δαίμονα Nil.*epp.*3.40(M.79.405D); ἡ χ. τὴν ἀρχὴν ἐν αἰσθήσει πολλῇ τὴν ψυχὴν τῷ οἰκείῳ εἴωθε περιαυγάζειν φωτί· προϊόντων δὲ τῶν ἁγίων ἀγνώστως τὰ πολλὰ ἐνεργεῖ τῇ θεολόγῳ ψυχῇ τὰ ἑαυτῆς μυστήρια, ἵνα τότε μὲν ἡμᾶς χαίροντας εἰς τὸ ἴχνος ἐπιβάλλοι τῶν θείων θεωρημάτων ὡς ἐξ ἀγνοίας εἰς γνῶσιν καλουμένους, ἐν δὲ τῷ μέσῳ τῶν ἀγώνων ἀκενόδοξον ἡμῶν τὴν γνῶσιν διαφυλάττοι Diad.*perf.* 69(p.84.17); different degrees, Mac.Aeg.*hom.*16.12(622C); *ib.*41.2 (768D–769A); **3.** difference between operations of grace and delusions τὰ τῆς χ. χαρὰν ἔχει, εἰρήνην ἔχει...τὰ δὲ τῆς ἁμαρτίας εἴδη ἐστὶ τεταραγμένα...ἐν...τῇ χ. ἐστιν ὁμοια ἀληθείας, καὶ ἔστιν αὐτὴ ἡ ὑπόστασις τῆς ἀληθείας...οὕτως ἐστί τινα τῆς χ., ὅτε μακρόθεν αὐτοῦ ὡς ὁράσεις τινὰς βλέπει ὁ ἄνθρωπος, καὶ χαίρει εἰς αὐτὰς τὰς ὁράσεις, καὶ ἔστιν ἄλλος, ὅτε εἰσέρχεται εἰς αὐτὸν ἡ δύναμις τοῦ θεοῦ *ib.*7.3(525A,B); Παῦλος...εἶπε γὰρ πάσας τὰς θεωρίας ἃς ἡ γλῶσσα ἱκανοῖ δεῖξαι αὐτὰς ἐν τῇ χώρᾳ τῶν σωμάτων, φαντασίαι εἰσὶ τῶν λογισμῶν τῆς ψυχῆς, καὶ οὐχὶ ἐνεργεία τῆς χ. *Philox.ep.*36(p.184).

E. grace and sin ἀκμὴν γὰρ οὐδένα εἶδον τέλειον ἄνθρωπον Χριστιανόν...ἀλλ' εἰ καὶ ἀναπαύεταί τις ἐν τῇ χ., καὶ εἰσέρχεται εἰς μυστήρια...καὶ εἰς ἡδύτητα πολλὴν τῆς χ., ὅμως καὶ ἡ ἁμαρτία σύνεστιν ἀκμὴν ἔσω· αὐτοὶ δέ, διὰ τὴν ὑπερβάλλουσαν χ. ... νομίζουσιν ἐλεύθεροι εἶναι καὶ τέλειοι, παρὰ ἀπειρίαν σφαλλόμενοι, ἐπειδὴ ἔχουσιν ἐνέργειαν τῆς χ. Mac.Aeg.*hom.*8.5(M.34.532B); πολλοὶ καίτοι συνούσης τῆς χ., κλεπτόμενοι ὑπὸ τῆς ἁμαρτίας οὐκ οἴδασιν *ib.*15.28(593D); sin coexisting with grace even in case of apostles, *ib.*17.7(628D); but abundance of grace deadens sin, *ib.*16.4(616C); θεὸς...οὐκ ἀφίησι πάντα ἄνθρωπον ἄνευ τῆς αὐτοῦ χ. οὐ γὰρ μόνον τοῖς δικαίοις δίδωσι χ., ἀλλὰ καὶ τοῖς ἁμαρτωλοῖς...οὐ παρορᾷ τὸν ἁμαρτωλόν, ἀλλὰ δίδωσι κἀκείνῳ μικρὰν χ. ... ἐὰν δὲ καὶ λαβὼν τὴν χ. ἐπιμείνῃ τοῖς αὐτοῖς κακοῖς, τότε λοιπὸν ἀρθήσεται ἀπ' αὐτοῦ καὶ ἣν ἔλαβε χ. Eus.Al. *serm.*5(M.86.341D–344A).

F. χ. and φύσις; **1.** deification by grace, ref. Ps.81:6 μονογενὴς ...ἔχει γὰρ πολλοὺς ἀδελφούς, οὐ φύσει, ἀλλὰ χ. ‡Ath.*descr.BMV* 9 (M.28.957C); ἡμεῖς ἄνθρωποι κατὰ φύσιν ὑπάρχοντες χάριτι πλουτοῦμεν τὸ καλεῖσθαι θεοί Cyr.*thes.*32(5[1].313B); Proc.G.*fr.Cant.*6:10(M.87. 1757B); οὐσίας μέν, ὡς ὅταν λέγωσιν ⟨ἄνθρωπος⟩· σχέσεως δέ, ὡς ὅταν λέγωσιν ἀγαθός...χ. δέ, ὅταν θεὸς ὁ ἄνθρωπος τοῖς λόγοις ὀνομάζηται... οὔτε κατὰ φύσιν οὔτε κατὰ σχέσιν ἔχων τὸ εἶναι ἢ καλεῖσθαι θεός, ἀλλὰ κατὰ...χ. γενόμενος...ἡ γὰρ χ. τῆς θέσεως ἄσχετός ἐστι παντάπασιν, οὐκ ἔχουσα τὴν οἱανοῦν δεκτικὴν ἑαυτῆς ἐν τῇ φύσει δύναμιν, ἐπεὶ οὐκ ἔτι χ. ἐστίν Max.*ambig.*(M.91.1237A,B); **2.** analogy between divine φύσις and χ.: ἑκάστη τῆς ἱεραρχικῆς διακοσμήσεως τάξις, κατὰ τὴν οἰκείαν ἀναλογίαν ἀνάγεται πρὸς τὴν θείαν συνεργείαν, ἐκείνα τελοῦσα χάριτι...τὰ τῇ θεαρχίᾳ φυσικῶς...ἑνόντα Dion.Ar.*c.h.*3.3(M.3.168A); ref. creation in divine image ἅπερ ἐστὶν ὁ θεὸς τῇ φύσει, ταῦτα κατὰ τὴν αὐτοῦ χ. ἔχειν δυνηθῇ καὶ ὁ ὑπ' αὐτοῦ κτισθεὶς ἄνθρωπος Gel.Cyz. *h.e.*2.15.8(M.85.1260B); **3.** ref. H. Ghost τὸ πνεῦμα φυσικὴν ἔχει τὴν ἁγιότητα, οὐ κατὰ χ. λαβών Bas.*ep.*159.2(3.248C; M.32.621B); **4.** ref. BMV φύσις μὲν γὰρ τὴν τεκοῦσαν οὐκ οἶδεν οὐκέτι παρθένον, ἡ δὲ χ. καὶ τίκτουσαν ἔδειξε καὶ παρθένον ἐφύλαξε Thdt.Anc.*hom.*1.1(p.80. 35; M.77.1349A); **5.** nature remaining after reception of grace ἵνα τὸ θέλημα καὶ μετὰ τὴν χ. δοκιμασθῇ, οὗ ῥέπει...μένει ἐν τῇ ταυτότητι ἡ φύσις, ὁ σκληρὸς ἐν τῇ σκληρότητι, καὶ ὁ κοῦφος ἐν τῇ κουφότητι Mac.Aeg.*hom.*26.5(M.34.677A); cf.Sever.*1Cor.*6:20(p.249.8).

G. grace contrasted with: works, exeg. Rom.11:6 δεῖξαι σπουδάζων, ἀσύμβατον ὄντα παντελῶς τὸν νόμον τῇ χ.· καὶ οὐ δυνάμενα κατὰ ταὐτὸν ἀμφότερα ταῦτα, ἀλλὰ ἀναγκαίως ἔχον θατέρῳ θάτερον ὑπεξίστασθαι. ὥστε ἐν χ. ἐκλεγόμεθα, ῥᾴδιον τὸ προσελθεῖν καὶ πιστεῦσαι Χριστῷ...κατὰ χ. γάρ, οὐ δι' ἔργα προσδέχεται, ὥστε εἰ χάριτι καλεῖ καὶ προσδέχεται, οὐκ ἔχομεν εἰς τοῦτο χρείαν ἔργων. ἐπεὶ εἰ χρείαν σχοίημεν ἔργων, οὐκέτι ἡ χ. χ. μένει. ... εἰ γὰρ ἐξ ἔργων προσιέναι δεῖν ἡμᾶς νομίσομεν, δῆλον ὡς ἀνῄρηται ἡ χ.· ἐπεὶ εἰ μὴ ἀνῄρηται, οὐκέτι οὐδὲ τὸ ἔργον μένει ἔργον· τῆς χ. οὐκ ἐώσης ὅλως ἔργον ὑποστῆναι· ἀλλὰ προῖκα τὴν ἐκλογὴν ἐπιδεικνυμένης. κεχώρισται μὲν γὰρ ἀπ' ἀλλήλων τῇ φύσει χ. καὶ ἔργον· καὶ τῷ μὲν ἔργῳ ἕπεται μισθὸς καὶ οὐ χ.· ἡ δὲ χ. δίδοται, οὐχ ὡς ἀντιμισθία, ἀλλὰ δῶρον Gennad.*Rom.*11:6(M.85.1716A,B); human achievements in gen. οὐκ ἐκ συνειδότος, ἀλλ' ἐκ χ. θεοῦ...ἵνα...θεοῦ ἐπιτύχω Ign.*Smyrn.*11.1; οἱ γὰρ συγγραφεῖς πάντες διὰ τῆς ἐνούσης ἐμφύτου τοῦ λόγου σπορᾶς ἀμυδρῶς ἐδύναντο ὁρᾶν τὰ ὄντα. ἕτερον γάρ ἐστι σπέρμα τινὸς καὶ μίμημα κατὰ δύναμιν δοθέν, καὶ ἕτερον αὐτὸ οὗ κατὰ χ. τὴν ἀπ' ἐκείνου ἡ μετουσία καὶ μίμησις γίνεται Just.*2apol.*13.6(M.6.468A); οὐ γὰρ διὰ τῆς ἔξωθεν φιλοσοφίας...οὐδὲ διὰ τῆς ἔξωθεν παιδεύσεως, ἀλλὰ διὰ τῆς χ. τοῦ θεοῦ Chrys.*hom.*2.1 *in 1Cor.*(10.9C); divine judgement ἦ γὰρ τὴν μέλλουσαν ὀργὴν φοβηθῶμεν, ἢ τὴν ἐνεστῶσαν χ. ἀγαπήσωμεν Ign.*Eph.*11.1; ὑπακοῆς ἡ χ. ... παρακοῆς ἡ κρίσις Clem.*prot.*10 (p.69.29; M.8.209A); *ib.*(p.75.3; 220C); *ib.*12(p.86.29; 245B); this world ἐλθέτω χ. καὶ παρελθέτω ὁ κόσμος οὗτος *Did.*10.6; and Devil δεκτικὴ οὖν ἡ φύσις...ἤτοι θείας χ., ἤτοι ἐναντίας δυνάμεως Mac.Aeg. *hom.*15.25(M.34.592D); ἡ καρδία ποίου θησαυροῦ μεμέστωται, τῆς χ. ἢ τοῦ σατανᾶ; *ib.*27.19(703B).

H. grace of Adam before Fall Ἀδάμ, προλαμβάνων τὴν χ. καὶ ἅμα τῷ γενέσθαι τεθεὶς ἐν τῷ παραδείσῳ Ath.*decr.*6(p.6.18; M.25.428A); id.*Ar.*2.68(M.26.292C); ἐπειδὴ δὲ διὰ τὴν παράβασιν ἐκολάζετο... ἀπεγυμνώθη τῆς χ. Cyr.*Jo.*1.9(4.95A); restored by Christ, Bas.*Spir.* 39(3.34A; M.32.140D); Gr.Nyss.*Eun.*4(2 p.63.25; M.45.636A); fully recovered in myst. life ὁ ἄνθρωπος, δι' ἀπαθείας...τὴν ἀρχέτυπον χ. ἀπομιμούμενος id.*mort.*(M.46.521D); id.*hom.*15 *in Cant.*(M.44.1101B); cf.id.*hom.opif.*30(M.44.256C).

I. praise of grace οὐδὲν τῆς χ. πλουσιώτερον Gr.Naz.*or.*32.25(M. 36.201C); τοιαύτη γὰρ ἡ τοῦ θεοῦ χ.· οὐκ ἔχει τέλος, οὐκ οἶδε πέρας ἀλλὰ κ ι ἐπὶ μείζονα ἀεὶ πρόεισιν Chrys.*hom.*9.2 *in Rom.*(9.512E); Max.*carit.*4.77(M.90.1068A,B).

III. special manifestations of grace; **A.** in eccl. offices, etc., sts. almost equated with office itself λάβῃς τὴν τῆς ἐπισκοπῆς χ. Ath.*ep.Drac.*2(M.25.525B); in prayer said at consecration of bishop, Serap.*euch.*28.1; *Lit.*ap.*Const.App.*8.5.3; Κύριλλος τῆς ἐπισκοπικῆς χ. ἠξιώθη Thdt.*h.e.*2.26.6(3.893); *ib.*2.30.3(905); cf. ὁ...ἱεροτελεστὴς...οὐκ αὐτὸς ἰδίᾳ χ. τοὺς τελουμένους ἐπὶ τὴν ἱερατικὴν ἄγων τελείωσιν, ἀλλ' ὑπὸ θεοῦ κινούμενος Dion.Ar.*e.h.*5.3.5(M.3.512B); priesthood ἱερατικὴ χ. Gr.Nyss.*ep.can.*5(M.45.232C); id.*Eun.*6(2 p.133.17; M.45.717B); lost by schism, Bas.*ep.*188 *can.*1(3.270A,B; M.32.669A); monks τελεστικὴν αὐτοῖς ἐδωρήσατο χ., ἡ ἱερὰ θεσμοθεσία Dion.Ar.*e.h.*6.1.3(533A).

B. prophecy προφητῶν χ. γινώσκεται ‡*Diogn.*11.6; χ. προφητικὴ Or.*Jo.*1.30(33; p.37.14; M.14.77D); Ath.*ep.Drac.*5(M.25.529A); Gr. Naz.*or.*2.109(M.35.508B); Chrys.*David* 2.1(4.761A); Cyr.*Ps.*36:25(M. 69.941A).

C. miracles οὐχ ὁμοία δύναμις ἡ τῶν ἐν Αἰγύπτῳ ἐπαοιδῶν τῇ ἐν τῷ Μωϋσεῖ παραδόξῳ χ. Or.*Cels.*2.50(p.173.12; M.11.876C); οὐκ ἰδίᾳ δυνάμει ποιεῖν τὰ σημεῖα, ἀλλὰ τῇ τοῦ κυρίου χ. Ath.*Ar.*3.2(M.26. 325C); ὅ τε γὰρ βίον ἄριστον ἐπιδεικνύμενος, ἐπισπᾶται ταύτην τὴν χ. [sc. of miracles]· ὅ τε λαμβάνων τὴν χ., διὰ τοῦτο λαμβάνει, ἵνα τὸν ἑτέρων διορθώσηται βίον Chrys.*hom.*46.3 *in Mt.*(7.485C); ‡Pall.*h. mon.*10(p.53.18; M.34.1154C); cf.*Const.App.*8.26.2.

D. teaching and preaching, ‡*Diogn.*11.7; Or.*Cels.*6.2(p.72.2; M. 11.1289D); Ath.*v.Anton.*14(M.26.865A); Chrys.*hom.5.3 in 1Cor.*(10. 37D); ‡Pall.*h.mon.*21(p.81.15; M.34.1172A).

E. martyrdom *παρεστὼς ὁ κύριος ὡμίλει αὐτοῖς* [sc. martyrs]. *καὶ προσέχοντες τῇ τοῦ Χριστοῦ χ. τῶν κοσμικῶν κατεφρόνουν βασάνων* *M.Polyc.*2.3; Or.*mart.*2(p.4.16; M.11.565B).

F. scriptures; **1.** as inspired *ὅσοι τοῦ θεοῦ λόγοι παρὰ τοῦ Μωϋσέως ἢ τῶν προφητῶν ἐγράφησαν, ἐνδείξεις εἰσὶ τοῦ θείου θελήματος ἄλλως καὶ ἄλλως κατὰ τὴν ἀξίαν τῶν μετεχόντων τῆς χ. τῷ...ἡγεμονικῷ τῶν ἁγίων ἐλλάμπουσαι* Gr.Nyss.*Eun.*12(1 p.289.16; M.45.997D); **2.** as understood *χ. παρὰ θεοῦ μόνη εἰς τὸ συνιέναι τὰς γραφὰς αὐτοῦ ἐδόθη μοι, ἧς χ. καὶ πάντας κοινωνοὺς...παρακαλῶ γίνεσθαι* Just.*Tial.*58.1(M.6.608A); *οἴεσθε ἂν ἡμᾶς ποτε...νενοηκέναι δυνηθῆναι ἐν ταῖς γραφαῖς ταῦτα, εἰ μὴ θελήματι τοῦ θελήσαντος αὐτὰ ἐλάβομεν χ. τοῦ νοῆσαι; ib.*119.1(752A); Cosm.Ind.*top.*proem.1(M.88.53C).

G. other partic. manifestations of grace: *γνῶσις* opp. *ζήτησις*, Clem.*str.*5.11(p.374.23; M.9.109B); Dion.Ar.*c.h.*4.4(M.3.181B); discernment of spirits, Ath.*ep.Aeg.Lib.*1(M.25.540B); *ib.*4(548A); id. *v.Anton.*44(M.26.908A); prolonged prayer, *M.Polyc.*7.3; Mac.Aeg. *hom.*19.4(M.34.645A); faith, Clem.*str.*1.7(p.25.16; M.8.733A); cf.*ib.*2.4 (p.120.6; 945A); Ath.*ep.mon.*(M.26.1188A); id.*ep.Adelph.*1(M.26. 1072A); continence and virginity *ἐγκράτεια...θεία χ.* Clem.*str.*3.1 (p.197.9; M.8.1104B); *ib.*3.7(p.223.18ff.; 1161A); Gr.Nyss.*virg.*1(p.251. 16; M.46.320C); fasting, Bas.*hom.*1.1(2.1A; M.31.164A); repentance, *1Clem.*7.4; exorcism, Ath.*v.Anton.*30(M.26.889A); *ib.*38(900A).

IV. Christol.; **A.** Arian *οὐ γάρ ἐστι τοῦ πατρὸς ἴδιον καὶ φύσει γέννημα ὁ λόγος, ἀλλὰ καὶ αὐτὸς χ. γέγονεν* Ar.*Thal.fr.*4 ap.Ath.*Ar.* 1.5(M.26.21B); *κατὰ χ. λόγον καὶ υἱὸν αὐτόν* Ar.*Thal.fr.*7; *οὐδὲ θεὸς ἀληθινός ἐστιν ὁ λόγος...ἀλλὰ μετοχῇ χ., ὥσπερ καὶ οἱ ἄλλοι πάντες* Ar. *Thal.fr.*10 ap.eund.1.6(21D); orthodox rejection *οὐχ ὁ λόγος τοῦ θεοῦ κατὰ χ. ἔλαβε τὸ καλεῖσθαι θεός* Ath.*inc.et c.Ar.*3(M.26.989A); *αὐτὸς οὖν κατὰ φύσιν υἱός ἐστι τοῦ θεοῦ, ἡμεῖς δὲ κατὰ χ. καὶ πάλιν αὐτὸς κατ' οἰκονομίαν καὶ χ. ἡμετέραν υἱὸς γέγονε τοῦ Ἀδάμ, ἡμεῖς δὲ κατὰ φύσιν ἐσμὲν υἱοὶ τοῦ Ἀδάμ...πατὴρ γὰρ αὐτοῦ ἐστιν ὁ θεός...κατὰ φύσιν, ἡμῶν δὲ κατὰ χ. ib.*8(996B,C); id.*Ar.*1.38(M.26.89B); *ποίαν δὲ καὶ χ. ἔλαβεν ὁ τῆς χ. δοτήρ; ib.*1.40(96A); Gr.Naz.*or.*30.9(p.121.5; M.36.113C) cit. s. *ἐπίκτητος*.

B. Diodore's view *χάριτι υἱὸς ὁ ἐκ Μαρίας ἄνθρωπος, φύσει δὲ ὁ θεὸς λόγος· τὸ μὲν χ. καὶ οὐ φύσει, τὸ δὲ φύσει καὶ οὐ χ.· ἀρκέσει τῷ ἐξ ἡμῶν σώματι, τὸ τῆς κατὰ χ. υἱότητος...ὅτι ναὸς τοῦ θεοῦ λόγου γέγονεν* Diod.*synous.*(M.33.1560C).

C. Thdr. Mops. *τοῖς λοιποῖς τοῖς μετεσχηκόσιν τῆς υἱότητος ἐλέγχεται, ἐπείπερ χάριτι καὶ αὐτὸς μετέσχηκεν τῆς υἱότητος...ἔχων μέντοι παρὰ τοὺς λοιποὺς τὴν ὑπεροχήν, ὅτι τῇ πρὸς αὐτὸν ἑνώσει κέκτηται τὴν υἱότητα· ὁ δὴ κυριότερον αὐτῷ τοῦ πράγματος χαρίζεται τὴν μετουσίαν* Thdr.Mops.*fr.inc.*12(p.306.1; M.66.988A).

D. later statements of orthodox position opp. Arius and Nestorius *οὐ μερικὴν αὐτῷ* [sc. Christ] *τὴν χ. εἰργάζετο, καθάπερ ἐν τοῖς ἁγίοις...ἀλλ' ἦν πλήρωμα τῆς θεότητος* Cyr.*Is.*2.1(2.194B); id.*thes.*3 (5^1.25A); *μόνος...ὁ κύριος κυρίως Χριστός, ὡς ὅλος διόλου καὶ οὐ χ.* ‡Cyr.*Trin.*22(6^3.28B; M.77.1164A); Leont.H.*Nest.*3.8(M.86.1632B,C); *οὐ γάρ ἐστι καὶ χ. υἱὸς ὁ ἅπαξ τὴν τοῦ φύσει υἱοῦ φύσιν ἔχων* id. *monoph.*(M.86.1876B).

V. Gnost.; **1.** sacramental (Marcosian) *δοκεῖν τὴν ἀπὸ τῶν ὑπὲρ τὰ ὅλα χ. τὸ αἷμα τὸ ἑαυτῆς στάζειν ἐν τῷ ἐκείνῳ ποτηρίῳ...ἵνα καὶ εἰς αὐτοὺς ἐπομβρήσῃ ἡ διὰ τοῦ μάγου τούτου κληϊζομένη χ.* Iren.*haer.*1.13. 2(M.7.580A); *δοκεῖν τοὺς ἀπατωμένους χ. τινὰ κατιέναι καὶ αἱματώδη δύναμιν παρέχειν τῷ πόματι* Hipp.*haer.*6.39(p.171.3; M.16.3258A); *ib.* 6.40(p.171.16; 3258C); **2.** as aeon, Iren.*haer.*1.1.1(M.7.445A).

VI. grace as supernatural beauty in face of martyr, *M.Polyc.* 12.1; *ἀεὶ τὸν θεὸν ἐννοουμένη* [sc. *ψυχή*]*...ἀγγελικῇ τὸν ἄνθρωπον ἐξισάζει χ.* Clem.*paed.*2.9(p.207.28; M.8.496C); cf.id.*prot.*11(p.83.5; M. 8.237B); Ath.*v.Anton.*67(M.26.940A); Chrys.*hom.1.3 in Eph.*(11.6D).

VII. as designation of BMV *ζωητόκος χ. ... παρθένος* Meth. *symp.*11(p.135.23; M.18.212C).

χάρισμα, τό, *favour, gift*, esp. spiritual gift;

A. sources; **1.** divine; **a.** God *πᾶσι γὰρ θέλει δίδοσθαι ὁ πατὴρ ἐκ τῶν ἰδίων χ. Did.*1.5; *οὐ δύναται ἄνθρωπος ἔχειν τι χ. θεῖον, ἐὰν μὴ ᾖ δοθὲν αὐτῷ ἐκ τοῦ οὐρανοῦ. δίδοται δὲ τὰ ἐκ θεοῦ χ. τοῖς πίστει καὶ ἀρετῇ πρὸς τὸ λαβεῖν αὐτὰ παρεσκευασμένοις* Or.*fr.44 in Jo.*(p.519. 6ff.); *περὶ τῶν χ., ὅσαπερ ὁ θεὸς κατ' ἰδίαν βούλησιν πάρεσχεν ἀνθρώποις Const.App.*8.3.1; **b.** Christ *ἄμπελος...ἐκ τῶν μαθημάτων τοὺς βότρυς...ἀπαιωροῦσα τῶν χ. κατασπάζοντας ἀγάπην, ὁ κύριος ἡμῶν ἐστιν Ἰησοῦς* Meth.*symp.*5.5(p.59.5; M.18.105B); Ath.*ep.Aeg.Lib.*1 (M.25.540A); **c.** H. Ghost *καὶ παρ' ἡμῖν ἔστιν ἰδεῖν καὶ θηλείας καὶ ἄρσενας, χαρίσματα ἀπὸ τοῦ πνεύματος τοῦ θεοῦ ἔχοντας* Just.*dial.* 88.1(M.6.685A); *A.Thom.*A 52(p.168.20); Cyr.H.*catech.*16.22; Gr. Nyss.*Eun.*3(2 p.20.19; M.45.585A); Philox.*ep.*27(p.177); **d.** Trin., ref. 1Cor.12:4ff. *οἶμαι δὲ τὸ ἅγιον πνεῦμα τήν, ἵν' οὕτως εἴπω, ὕλην τῶν ἀπὸ θεοῦ χ. παρέχειν τοῖς δι' αὐτὸ καὶ τὴν μετοχὴν αὐτοῦ χρηματίζουσιν ἁγίοις, τῆς εἰρημένης ὕλης τῶν χ. ἐνεργουμένης μὲν ἀπὸ τοῦ θεοῦ, διακονουμένης δὲ ὑπὸ τοῦ Χριστοῦ, ὑφεστώσης δὲ κατὰ τὸ ἅγιον πνεῦμα* Or.*Jo.*2.10(6; p.65.27; M.14.129A); Ath.*ep.Serap.*1 (M.26.600B); *ib.*3(633A); Chrys.*hom.86.3 in Jo.*(8.517C); **e.** grace of baptism *τὸ διὰ τοῦ ὕδατος λουτρόν...καθ' αὐτὸ τῷ ἐμπαρέχοντι ἑαυτὸν τῇ θειότητι τῆς δυνάμεως τῶν τῆς...τριάδος ἐπικλήσεών ἐστιν ἡ χ. θείων ἀρχὴ καὶ πηγή* Or.*Jo.*6.33(17; p.143.1; M.14.257A); *ἐν αὐτῇ* [sc. *κολυμβήθρᾳ*]*...πάντα ὑποδεχόμεθα τῆς διαμονῆς τὰ χ.* Didym.*Trin.* 2.13(M.39.692A); conferring *υἱοθεσίας χ.*, Cyr.H.*procatech.*16; *Rit. Bapt.*(p.401); **2.** human; charity *ἡ γέμουσα...τῶν χ.* Meth.*symp.*9.4 (p.118.31; *χαρίτων* M.18.185C); Ath.*ep.Amun.*(M.26.1173C); *ἀπάθεια*, ‡Pall.*h.mon.*8.15(p.37.3; M.34.1139A).

B. H. Ghost as *χ.*: *ἀνεπυρώθησαν τῷ πνεύματι...ἀνεκαίετο ἐν αὐτοῖς τὸ χ.* Chrys.*hom.11.1 in Ac.*(9.90B); ref. Rom.8:23 *ἐντυγχάνειν δὲ τὸ πνεῦμα τὸ χ. λέγει* Thdr.Mops.*Rom.*8:27(p.141.14; M.66.829C); ref. 1Cor.5:5 *ἵνα σωθῇ τὸ ἐν αὐτῷ πνεῦμα ὅπερ ἐστὶ τὸ χ.* Sever.*1Cor.* 5:1–5(p.244.8); *πνεῦμα δὲ ἐνταῦθα οὐ τὴν ψυχὴν καλεῖ, ἀλλὰ τὸ χ.* Thdt.*1Cor.*5:4f.(3.193); ref. 1Cor.6:19–20 *δοξάσατε οὖν τὸν θεὸν μὴ μόνον ἐν τῷ χ. ἀλλὰ καὶ ἐν τῷ σώματι, ἵνα καὶ φύσις καὶ προαίρεσις καὶ χ. δοξάσῃ τὸν θεόν* Sever.*1Cor.*6:20(p.249.7f.).

C. baptism as *χ.*: *καλεῖται...τὸ ἔργον τοῦτο, χ. ... χ. δὲ ᾧ τὰ ἐπὶ τοῖς ἁμαρτήμασιν ἐπιτίμια ἀνεῖται...τί γὰρ ἔτι λείπεται τῷ θεὸν ἐγνωκότι; καὶ γὰρ ἄτοπον ὡς ἀληθῶς χ. κεκλῆσθαι θεοῦ τὸ μὴ πεπληρωμένον· τέλειος δὲ ὧν τέλεια χαρίσεται δήπουθεν* Clem.*paed.*1.6(p.105.23ff.; M. 8.281A); in Gnost. baptismal invocation *ἐλθὲ τὸ χ. τὸ ὕψιστον A.Thom.*A 27(p.142.15); *δέξωμαι τὸ χ. τὸ τοῖς συγγενεῦσί μου δεδωρημένον ib.*43(p.161.10); *A.Xanthipp.*14(p.67.10); Gr.Naz.*or.*39.14(M. 36.352A); *ib.*40.4(361C–364A); Gr.Nyss.*Maced.*19(M.45.1325B).

D. other sacramental usage; eucharist *τοῦτο γὰρ τὸ χ. ... προσιόντας ἰᾶται A.Thom.*A 51(p.167.11); chrism called *Χριστοῦ χ.*, Cyr.H. *catech.*21.3; priesthood, Epiph.*haer.*48.9(p.231.13; M.41.868D).

E. *χαρίσματα* as endowment of Church *ἐκκλησίᾳ...ἠλεημένῃ ἐν παντὶ χ. ... ἀνυστερήτῳ οὔσῃ παντὸς χ.* Ign.*Smyrn.*proem.; *οὐκ ἔστιν ἀριθμὸν εἰπεῖν τῶν χ., ὧν κατὰ παντὸς τοῦ κόσμου ἡ ἐκκλησία παρὰ θεοῦ λαβοῦσα...ἑκάστης ἡμέρας ἐπ' εὐεργεσίᾳ τῇ τῶν ἐθνῶν ἐπιτελεῖ* Iren.*haer.*3.32.4(M.7.829C); through episcopal office, cf. (ref. episcopate as guardian of Church's doctrinal tradition) *eis qui in ecclesia sunt, presbyteris obaudire oportet;...qui cum episcopatus successione charisma veritatis certum, secundum placitum Patris acceperunt,* Iren.*haer.*4.26.2(M.7.1053C); *διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν ...εἶχον τὸ χ. τὸ πνευματικόν* Bas.*ep.*188 *can.*1(3.270A; M.32.669A); *τὸ δὲ ἀπόστολον ἢ ἐπίσκοπον ἢ ἄλλο τι οὐκ ἐφ' ἡμῖν, ἀλλ' ἐπὶ τῷ διδόντι θεῷ τὰ χ. ταῦτα...ἐπὶ τοσοῦτον εἰρήσθω διὰ τοὺς ἀξιωθέντας χ. ἢ ἀξιωμάτων Const.App.*8.1.21f.; opp. prophetic *χ.* of Montanists *αἱ περὶ Μοντανὸν διεδέξαντο γυναῖκες τὸ προφητικὸν χ. ... δεῖν γὰρ εἶναι τὸ προφητικὸν χ. ἐν πάσῃ τῇ ἐκκλησίᾳ μέχρι τῆς τελείας παρουσίας ὁ ἀπόστολος ἀξιοῖ* Anon.ap.Eus.*h.e.*5.17.4(M.20.473B); cf.*ib.*5.16.8 (468A); *λέγοντες ὅτι δεῖ ἡμᾶς...καὶ τὰ χ. δέχεσθαι. καὶ ἡ ἁγία... ἐκκλησία ὁμοίως τὰ χ. δέχεται, ἀλλὰ τὰ ὄντως χ. ... εἰ γὰρ δεῖ χ. δέχεσθαι καὶ δεῖ εἶναι ἐν ἐκκλησίᾳ χ., πῶς οὐκέτι μετὰ Μοντανὸν καὶ Πρίσκιλλαν...ἔχουσι προφήτας;* Epiph.*haer.*48.1,2(pp.220.6–221. 12; M.41.856B–D); *ib.*48.3(p.223.4; 857D).

F. gifts of grace in gen.; **1.** Christian vocation as such *ὑποτασσέσθω ἕκαστος τῷ πλησίον αὐτοῦ, καθὼς ἐτέθη ἐν τῷ χ. αὐτοῦ 1Clem.* 38.1; *ἀγνοοῦντες τὸ χ., ὃ πέπομφεν ἀληθῶς ὁ κύριος* Ign.*Eph.*17.2; *οὐκ ἔστιν ἄνθρωπος πιστεύσας διὰ Χριστοῦ εἰς τὸν θεόν, ὃς οὐκ εἴληφεν ⟨χ. πνευματικόν⟩. αὐτό τε γὰρ τὸ ἀπαλλαγῆναι πολυθέου ἀσεβείας καὶ πιστεῦσαι θεῷ πατρὶ διὰ Χριστοῦ χ. ἐστι θεοῦ, τό τε ἀπορρίψαι τὸ ἰουδαϊκὸν κάλυμμα...ὁ ταῦτα* [sc. doctrines of faith] *πιστεύσας...χ. εἴληφε ἐκ θεοῦ Const.App.*8.1.9ff.; **2.** diversity of gifts, *ib.*8.1.12; Chrys.*hom.86.3 in Jo.*(8.517A); **3.** including: forgiveness of sins, Clem.*paed.*1.2(p.93.24; M.8.256B); Chrys.*serm.7.3 in Gen.*(4.679B); chastity, Meth.*symp.*4.2(p.46.14; M.18.88C); *ib.*7.1(p.71.26; 125A); Gr.Nyss.*virg.*1(p.251.20; M.46.320C); almsgiving, Jo.Mosch.*prat.*9 (M.87.2860A); eloquence *A.Xanthipp.*14(p.68.3); **4.** perfection of God's gifts, *A.Thom.*A 25(p.141.7); *ib.*60(p.177.15); *τὸ γὰρ χ. τοῦ θεοῦ ὑπερπαίει τὴν χρείαν* Or.*Jo.*32.9(7; p.441.3; M.14.765A).

G. special gifts (cf. 1Cor.12:4ff.); for faith as a *χ.* v. *πίστις*; **1.** diversity and inequality *ἐστι διαφορὰ χαρισμάτων* Gr.Naz.*or.*41. 16(M.36.449C); *προφητείας...τὰ χ. τῶν ἰαμάτων δεύτερα· διὰ τί δὲ καὶ διδασκαλίας; ὅτι οὐκ ἔστιν ἴσον, λόγον καταγγέλλειν κηρύγματος... καὶ δυνάμεις ποιεῖν* Chrys.*hom.32.1 in 1Cor.*(10.287A); **2.** prophecy

προφητικὰ χ. Just.*dial.*82.1(M.6.669B); ὁ Παῦλος εἰπὼν τὰ χ., ἐν οἷς ἐστιν ἡ προφητεία, φησίν· ταῦτα δὲ πάντα ἐνεργεῖ ἓν καὶ τὸ αὐτὸ πνεῦμα...λέγοις δ' ἂν πνεῦμα προσώπου Χριστόν, τὸν δωρησάμενον ἡμῖν τὸ πνεῦμα τῆς προφητείας· αὕτη γὰρ προφητῶν πρόσωπον, πνεῦμα δὲ τὸ χ., σκιὰ δὲ ὁ νόμος...τὸ οὖν χ. τὸ προφητικόν, πρὸς ὃ βλέπει πάσης τῆς προφητείας ἡ ἔκβασις...ἀπὸ Χριστοῦ Or.*fr.116 in Lam.*(p.277.4ff.; M.13.660B,C); Meth.*symp.*10.2(p.123.23; M.18.196A); Eus.*h.e.*3.37.1(M.20.292D); ref. David, whose prophetic χ. was preserved by repentance, Gr.Naz.*or.*39.18(M.36.356C); Montanist, v. supra E; **3.** miracles φησὶ πᾶσιν ἅμα περὶ τῶν ἐξ αὐτοῦ διὰ τοῦ πνεύματος διδομένων χ.· σημεῖα δὲ τοῖς πιστεύσασιν· ταῦτα παρακολουθήσει...τούτων τῶν χ. πρότερον μὲν ἡμῖν δοθέντων τοῖς ἀποστόλοις ...ἔπειτα τοῖς δι' ἡμῶν πιστεύσασιν ἀναγκαίως χορηγουμένων οὐκ εἰς τὴν τῶν ἐνεργούντων ὠφέλειαν, ἀλλ' εἰς τὴν τῶν ἀπίστων συγκατάθεσιν *Const.App.*8.1.1,2; *ib.*8.1.4; *ib.*8.26.2; **4.** ref. martyrs Ἀλέξανδρος...ἦν ...οὐκ ἄμοιρος ἀποστολικοῦ χ. *Ep.Lugd.*ap.Eus.*h.e.*5.1.49(M.20.428A); Meth.*fr.mart.*1(p.520.5; M.18.345C); **5.** discernment of spirits, in OT ἦν χ. διάκρισις πνευμάτων, ἀφ' οὗ χ. ἐκρίνετο ὁ ἀληθὴς προφήτης καὶ ὁ ψευδοπροφήτης Or.*schol.in Lc.*1:1(M.17.312A); in Church μέγα τι χ. δέδωκεν ἡμῖν ὁ λόγος, ὥστε μὴ ἐκ τῶν φαινομένων ἀπατᾶσθαι, ἀλλὰ...κἂν ταῦτα κεκαλυμμένα τυγχάνῃ, διακρίνειν Ath.*ep.Aeg.Lib.* 1(M.25.540B); *ib.*4(548A); id.*v.Anton.*22(M.26.876B); Gr.Naz.*or.*41.16 (M.36.449C); **6.** knowledge of invisible things otherwise than by faith, Ign.*Polyc.*2.2; private revelations in gen., Ath.*v.Anton.*66(M. 26.936C); cf.*ib.*67(940A); **7.** gift of tears, Ath.*virg.*17(M.28.272C); **8.** θεολογία, Diad.*perf.*66(p.80.19); *ib.*67(p.80.28); **9.** discussion whether their presence is proof of orthodoxy πῶς οὐ θεάρεστος ἡ κατ' αὐτοὺς δόξα, ἔνθα...τινες αὐτοῖς ὁμόδοξοι, καὶ τῶν προκοιμηθέντων ὥφθησαν ἰαμάτων, καὶ σημείων θεόθεν ἔχειν τὸ χ.;...πρὸς ὃ λεκτέον, ὡς οὐκ ἀρκεῖ τόδε πρὸς ἀσφαλῆ πληροφορίαν τῷ...τῶν θείων δογμάτων κριτῇ...καὶ Ἀρειανοί ποτε, καὶ μέχρι νῦν ἐν Λογγοβάρδοις, καὶ Νεστοριανοὶ παρὰ Πέρσαις ποιοῦσι τάδε θαύματα· ἀλλ' οὐκ εἰς μαρτυρίαν ἁπλῶς τῆς κατ' αὐτοὺς...αἱρέσεως, ἀλλὰ τῆς τῶν Χριστιανῶν πίστεως...ἔτι μὴν ἔστιν ὁρᾶν πολλάκις θαυμάτων χ. ἔν τισιν ὀρθοδόξοις τε καὶ ἑτεροδόξοις ὁμοίως, οὐ δι' εὐσέβειαν μόνον· ἡ γὰρ ἂν ἦν ἐν τοῖς ἐναντίοις λόγοις...ἡ ἀλήθεια, ἀλλὰ διὰ φυσικὴν ἁπλότητα, καὶ ἀτυφίαν Leont.H.*monoph.*(M.86.1896C,D); **10.** dangers πατὴρ... αὐτῷ [sc. S. Paul] ἐν χαρίσματος μοίρᾳ ἔδωκεν ἄγγελον σατάν, ἵνα αὐτὸν κολαφίσῃ, ἵνα μὴ ὑπεραίρηται Or.*hom.12.8 in Jer.*(p.95.16; M. 13.389C); practice of saints not to glory in χαρίσματα, Gr.Naz.*or.*8. 15(M.35.808A); μὴ ἐπαίρεσθαι τοὺς λαβόντας χ. τοιάδε κατὰ τῶν μὴ λαβόντων. χ. δὲ λέγομεν τὰ διὰ τῶν σημείων *Const.App.*8.1.8,9; **11.** iron., of boils produced by magician ἰδοὺ τοῦ σατανᾶ τὰ χ. *Pers.* (p.24.19).

H. exeg.; **1.** 1Cor.12:4ff. ὁ Παῦλος δ' ἐν τῷ καταλόγῳ τῶν ὑπὸ τοῦ θεοῦ διδομένων χ. πρῶτον ἔταξε τὸν λόγον τῆς σοφίας, καὶ δεύτερον, ὡς ὑποβεβηκότα παρ' ἐκείνου, τὸν λόγον τῆς γνώσεως, τρίτον δέ που καὶ κατωτέρω τὴν πίστιν. καὶ ἐπεὶ τὸν λόγον προετίμα τῶν τεραστίων ἐνεργειῶν, διὰ τοῦτ' ἐνεργήματα δυνάμεων καὶ χ. ἰαμάτων ἐν τῇ κατωτέρω τίθησι χώρᾳ παρὰ τὰ λογικὰ χ. Or.*Cels.*3.46(p.242.22ff.; M.11.980C); cf.*ib.*6.13(p.83.29ff.; 1309C); id.*Jo.*2.24(19; p.81.22; M. 14.157A); *ib.*13.53(52; p.282.8; 497A); *ib.*20.32(26; p.369.24; 645D); **2.** 1Cor.12:31 ὃ δὲ λέγει, τοῦτό ἐστι· μένετε ἐπιθυμοῦντες χαρισμάτων, καὶ δείκνυμι ὁδὸν χ. ὑμῖν...οὐδὲ γὰρ ἓν καὶ δύο...χ. δείκνυμι ὑμῖν, ἀλλ' ὁδὸν μίαν τὴν ἐπὶ πάντα ταῦτα φέρουσαν...ὥστε εἰ μὴ διὰ τὸ ὀφείλειν βούλει τὸν ἀδελφὸν ἀγαπᾷν, διὰ τὸ κρείττονος ἐπιλαμβάνεσθαι σημείου καὶ χ. δαψιλοῦς καταδέξαι τὴν ἀγάπην Chrys.*hom.32.3 in 1Cor.*(10. 289A–E); id.*hom.3.6 in Heb.*(12.35D–36A).

I. as endowment of Christ's human nature, Ath.*Ar.*3.39(M.26. 408B); τὰ παρὰ τοῦ θεοῦ εἰς ἡμᾶς ἐστι χ. δι' αὐτοῦ διδόμενα...διὰ γὰρ τὸν ἐν ἀνθρώπῳ λόγον ἐδόθη ταῦτα τὰ χ. ‡Ath.*Ar.*4.6(M.26.476B,C).

J. title of work of Hipp., CIG 8613A; cf.Hipp.*trad.ap.*1; *Const. App.*8.3.1.

χαριστέον, *one must yield* εἰ...ἐπιθυμίᾳ χ. Clem.*str.*3.5(p.214.30; M.8.1144D).

***χαριστέω,** s.v.l., *? show favour* ὁ χαριστήσων ἐγγύς ‡Just.*ep.Zen. et Ser.*18(M.6.1201C).

χαριστήριος, 1. *offered in thanksgiving* χ. ἀποδιδοὺς εὐχήν Eus.*l.C.* 9(p.219.11; M.20.1365A); θυσίαι χαριστήριοί τε καὶ σωτήριοι Gr.Nyss. *hom.9 in Cant.*(M.44.957A); τὸν χ. προσέφερον ὕμνον Thdt.*h.e.*3.24.3 (3.941); neut. as subst. ἀναφέρωμεν τῷ σωτῆρι τὰ χ. Cyr.*hom.pasch.* 2(5².17E); ᾄσωμεν χ. μετὰ Δαβίδ Jo.D.*hom.*2.7(M.96.680D); Areth. *Apoc.*12(M.106.581D); of a religious ceremony συνεορτάσαι τὰ χ. Gr. Naz.*ep.*20(M.37.56B); Jewish, Gr.Nyss.*v.Mos.*(M.44.321C); **2.** Gnost. aeon, Epiph.*haer.*31.6(p.395.7; M.41.485B); ‡Epiph.*epit.haer.*31 (p.361.18).

χαριστικός, 1. *pleasing,* Epiph.*haer.*66.50(p.88.4; M.42.105B); **2.** *bestowing* or *dispensing grace* τοῦ...χαριστικωτάτου Ἰορδάνου Or. *Jo.*6.47(28; p.155.33; M.14.281A); **τάξιν** [sc. τῶν ἀγγέλων] ψυχῶν χ. ‡Ath.*comm.essent.*52(M.28.77B).

χαριστικῶς, *through favour* χ. ⟨μᾶλλον⟩ ἤτοι κατὰ ἀλήθειαν τοῦτο ᾄδεται Epiph.*haer.*77.17(p.430.19; M.42.664C).

***χαρίστιος,** *of thanks, thankful,* Gr.Naz.*carm.*2.2.4.205(M.37. 1521A).

χαριτήσιον, τό, *spell for winning favour* τέχνας...μαγικὰς... φίλτρα τε καὶ χαριτήσια Iren.*haer.*1.25.2(cf.M.7.681B).

***χαριτοδοσία, ἡ,** *gift of grace,* Tim.Ant.*Sym.*(M.86.240C).

χαριτόω, 1. *favour, shed grace upon*; exeg. Eph.1:6 οὐκ εἶπεν, ἧς ἐχάρισατο, ἀλλ' 'ἐχαρίτωσεν ἡμᾶς'. τουτέστιν οὐ μόνον ἁμαρτημάτων ἀπήλλαξεν ἀλλὰ καὶ ἐπεράστους ἐποίησε Chrys.*hom.1.3 in Eph.*(11. 6B); Thdt.*Eph.*1:6(3.403); Jo.D.*Eph.*1:6(M.95.824B); of the number seven πανίερος διαπέφηνεν ὁ ἑπτὰ ἀριθμὸς καὶ μᾶλλον κεχαρίτωκε τῶν ἱερῶν ἡμῖν ἀγώνων τὰς ἡμέρας Anast.Ant.ap.Jo.D.*jej.*7(M.95.76B); pass. ptcpl. τὸ πνεῦμα ἐκεῖνο τὸ κεχαριτωμένον οὐ κατηξιώθημεν ὑπακοῦσαι Clem.*str.*1.1(p.10.18; M.8.704A); τὸ δὲ [sc. τὸ σῶμα] τῷ πάθει τοῦ μαρτυρίου χαριτωθέν Gr.Nyss.*Thdr.*(M.46.740B); of persons κεχαριτωμένος σὺ ἐν εἰρήνῃ Χριστοῦ *A.Phil.*48(p.21.18); ὦ παιδίον κεχαριτωμένον *A.Mt.*1(p.218.2); exeg. Lc.1:28 χαῖρε κεχαριτωμένη... προεσήμανεν· ἐπειδὴ μετ' αὐτῆς ὅλος ὁ θησαυρὸς τῆς χάριτος ἐναπέκειτο Gr.Thaum.*annunt.*1(M.10.1149D); cf. ὅπερ δὲ ἄνω εἶπε, κεχαριτωμένη, ὥσπερ ἑρμηνεύων φησίν· εὗρες γὰρ χάριν ἐνώπιον τοῦ θεοῦ· τοῦτο γάρ ἐστι τὸ κεχαριτῶσθαι, τὸ εὑρεῖν χάριν παρὰ τῷ θεῷ, τουτέστιν, ἀρέσαι θεῷ Theophylactus *Lc.*1:26–30(M.123.701D); **2.** c. reflex. pron., *win favour for oneself* αὐτὸς διὰ τῶν τῆς ἀρετῆς ἔργων χαριτώσας ἑαυτόν [sc. ὁ Νῶε] Proc.G.*Gen.*6:8(M.87.272C); **3.** *show favour to,* Dor.*doct.* 6.7(M.88.1693B); of God ἐν φυλακῇ ἤμην καὶ ὁ σωτὴρ ἐχαρίτωσέ με *T.Jos.*1.6; ὁ οὖν κύριος...ἐχαρίτωσεν αὐτοὺς ἐν πάσῃ πράξει αὐτῶν Herm.*sim.*9.24.3.

χαριτώνυμος, *named after grace,* i.e. with a name derived from Hebr. חנן, of Jo. D. ὁ...χ. οὗτος ἀνήρ Jo.VI H.*v.Jo.D.*3(M.94.433A); of S. Anna, Taras.*praesent.BMV* 8(M.98.1488D).

***χάρμιος,** *joyful*; superl., Meth.*res.*2.5(M.18.301A; χαρτός p.338.2).

***χαρμολύπη, ἡ,** *bitter joy,* Jo.Clim.*scal.*7(M.88.804B).

χαρμονικός, *joyful* χ. χείλεσι Taras.*praesent.BMV* 8(M.98.1483D); χ. δοξολογίαι *ib.*(1489D).

***χαρμονικῶς,** *joyfully,* ‡Jo.D.*hom.*5(M.96.649A).

χαροποι-έω, *make joyful, Dial.Tim.et Aquil.*(V 124); †Gregent. *disp.*(M.86.684B); Eustrat.*v.Eutych.*71(M.86.2356B); pass., *ib.*40 (2321A); Heracl.ap.*Chron.Pasch.*p.402(M.92.1028A); of Christ as the Vine ~οῦσαν καρδίαν ἀνθρώπου ‡Ath.*disp.*32(M.28.480D); Anast.S. *hex.*12(M.89.1053B); of Father ὁ κύριος...χαροποιήσει ἡμᾶς ἐν τῇ ἀτελευτήτῳ ζωῇ Ephr.3.369B.

χαροποιός, 1. *bringing joy, gladdening* πρόσωπον ἀγγέλου ἔχοντα, χ. τοῖς ὀφθαλμοῖς Pall.*h.Laus.*50(M.34.1132B); τοῦ χ. πένθους Jo. Clim.*scal.*7 tit.(M.88.801C); of the 'oil of gladness' (Ps.44:8), Mac. Aeg.*hom.*17.1(M.34.624D); **2.** *full of joy* χ. τοῖς προσώποις γινόμενοι ‡Chrys.*hom.*6(13.213E); δάκρυον...τὸ μὲν λυπηρόν, τὸ δὲ χ. Eustrat. *v.Eutych.*71(M.86.2356A); **3.** *bright* (? f.l. for χαροπός) οἱ ὀφθαλμοὶ αὐτοῦ [sc. τοῦ Ἰακώβ] χ. καὶ ἐξαστράπτοντες *Asen.*22(p.73.2); χ. ... εἶχε τοὺς ὀφθαλμούς Ath.*v.Anton.*67(M.26.940B).

χάρτης, ὁ, 1. *papyrus*; **2.** *official document,* Const.ap.Eus.*h.e.*10. 5.18(M.20.885C); Ath.*syn.*8(p.235.17; M.26.692B); *ib.*15(p.242.15; 705C); of an indictment διδασκαλικὸν χ. κατὰ τοῦ Παύλου Ammon. *Ac.*24:1(M.85.1592B); Jo.Clim.*scal.*4(M.88.684C); fig. γράφων τε τὴν δέησιν εἰς τὸν ἐξαπλωθέντα χ. τῆς οἰκείας κἀρδίας Nil.*epp.*3.129(M.79. 444C); ὅσα ὑπέσχου ἐν τῷ τῆς ὁμολογίας χ. τῷ πάντων δεσπότῃ [i.e. at baptism] †Jo.D.*B.J.*21(M.96.1052C).

***χάρτινος,** *made of paper,* Olymp.*fr.Jer.*36:2(M.93.696D).

χαρτίον, τό, 1. *papyrus*; **2.** *written document,* Gr.Naz.*test.*(p.158; M.37.392A); Pall.*v.Chrys.*6(p.36.11; M.47.22); Cyr.*ep.*2(p.24.6,10,16; 5^2.20B,C).

***χαρτοθέσιον, τό,** *archive chamber, Cod.Afr.*86 tit.; Thphn.*chron.* p.362(M.108.868B).

***χαρτοκόκκινον, τό,** *red paper*; plur., Ephr.2.176B.

***χάρτον, τό,** *joy,* Clem.*str.*2.15(p.151.21; M.8.1012B).

***χαρτοσλαρεύω,** *hold the office of keeper of the archives,* Thdr. Stud.*epp.*2.190(M.99.1580A).

χαρτουλάριος, ὁ, *keeper of archives, Chron.Pasch.*p.384(M.92. 985A); ‡Jo.D.*ep.Thphl.*18(M.95.368D).

χαρτοφυλάκιον, τό, *case for storing archives,* CCP(681)act.11(H. 3.1296E).

χαρτοφύλαξ, ὁ, *keeper of archives,* Ast.Soph.*Ps.*5(M.40.396A); CCP(536)*act.*(p.59.25; H.2.13116E).

***χαρτῷος,** *of paper,* CCP(681)*act.*9(H.3.1196C).

***Χαρυβδηδόν,** *in the manner of Charybdis* οἱ νεοφανεῖς δράκοντες χ. καταπίνοντες ψυχὰς μὴ ἐστηριγμένας τῷ λόγῳ τῆς ἀληθείας Thdr.Stud. *epp.*2.190(M.99.1580A).

χάσκω, *gape at*; c. acc., Nil.*epp.*2.148(M.79.269A); *ib.*3.122(440C).

***χασματιαῖος,** *destroyed by earthquake,* Rheg.*serm.*(p.71.6; H.1.1445B).

χασμάω, *yawn, gape*; fig., in hesitation or confusion, Bas.Sel. *v.Thecl.*2.16(M.85.593A); usu. med.; fig., Ath.*Dion.*3(p.47.19; M.25.481C).

χάσμησις, ἡ, *yawning*; plur., Chrys.*stat.*1.5(2.7E).

χάσμος, ὁ, *yawning, gaping,* Jo.Clim.*scal.*13(M.88.860C).

χαυνότης, ἡ, *slackness, weakness* τὴν χ. τῆς διανοίας Bas.*hom.*3.5 (2.21A; M.31.209A); Mac.Aeg.*or.*7(M.34.857D); *Const.App.*5.6.5.

χαύν-οω, 1. *soften* θέρμη...~οῦσα καὶ σφίγγουσα [sc. τοὺς ὀπώρας] τῷ ξένῳ λόγῳ Geo.Pis.*hex.*326(M.92.1459A); fig. πᾶσα ἡ ὑπόστασις τῶν σπλάγχνων μου ἐχαυνοῦτο *T.Zab.*2.4; met., *soften, weaken* αὐτῆς τῆς περιουσίας καθ' αὐτὴν ἱκανῆς οὔσης χαυνῶσαι τὰς ψυχάς Clem.*q.d.s.*1(p.159.12; M.9.604A); ἐχαυνώθη τὸ κράτος αὐτοῦ *A.Xanthipp.*17(p.70.13); ἔχειν τὴν ἄσκησιν, καὶ μὴ ζητεῖν τὰ ~οῦντα τὸ σῶμα Ath.*v.Anton.*7(M.26.853A); καθάπερ γὰρ ῥεῦμα ἐπιρρέον ἡ ἄνεσις χ. τὴν ψυχήν Chrys.*hom.24.3 in Ac.*(9.196E); πολλὰ τὰ ~οῦντα τὴν ἀγάπην, χρήματα, πράγματα, κτλ. id.*hom.34.1 in 1Cor.*(10.310E); **2.** *weaken, become weak,* met. οὐ μὴ χαυνώσω ἐμαυτὴν εἰς τὴν ζωὴν τὴν πρὸς καιρὸν ταύτην, ἵνα μὴ ἀποθάνω θάνατον τὸν αἰώνιον *M.Pers.* 3.4(p.443.6); c. genit., *weaken, make to cease from* τῆς ἐγκρατείας χαυνωθέντι κολακείᾳ ἡδονῶν Nil.*Eulog.*22(M.79.1121C); τοῦτο λεχθὲν ἐχαύνωσε τοὺς μοναχοὺς τῆς ὁρμῆς Socr.*h.e.*6.7.7(M.67.684B); **3.** *soften, touch, propitiate* ἵνα μήτε ὁ ἔλεος χαυνώσῃ ἡμᾶς Nil.*epp.* 1.36(M.79.100A); **4.** *make loose* or *slack,* fig. χαυνωθέντων αὐτοῖς καὶ χαλασθέντων τῶν τόνων Meth.*symp.*8.1(p.81.18; M.18.140A); οὐδὲ γὰρ ἴσχυσεν αὐτῆς τὰς σανίδας χαυνῶσαι τῆς κακίας ὁ χειμών Chrys.*laud.Paul.*1(2.478D); ‡Chrys.*ascet.facet.*(1.810A); ταῦτα...τὸν τόνον τῶν φιλονεικεῖν αἱρουμένων ἐχαύνωσε Socr.*h.e.*3.25.5(M.67. 452B); τοῦ χαλινοῦ αὐτοῦ χαυνωθέντος Jo.Clim.*past.*4(M.88.1173A); hence *uncurb, let go* ἀμέτρως χ. [sc. τοὺς ἵππους] Ephr.1.59A; fig., id.59C.

χαύνωσις, ἡ, 1. of ripening fruit *softening,* Geo.Pis.*hex.*324 (M.92.1459A); **2.** *loosening, slackening,* fig. σύν τε τῷ φόβῳ τῆς γαστρὸς ἐκινεῖτο χ. Socr.*h.e.*1.38.7(M.67.177A); met., *indolence* Or. *hom.20.3 in Jer.*(p.181.27; M.13.508A); χ. μᾶλλον ἤπερ ὠφέλειαν εἰδότων τῶν ᾀσμάτων τοῖς ἀνθρώποις ἐνεργάζεσθαι ‡Just.*qu.et resp.* 54(M.6.1297B); ἀκηδία...ἀσκήσεως χ. [sc. ἐστιν] ‡Nil.*tract.*4(M.79. 1144B); **3.** *space* or *interval* δεῖ οὖν, τινῶν κατακλυζομένων, ἀλλαχοῦ χ. εἶναι, καὶ φανῆναι τὴν ἶριν Proc.G.*Gen.*9:13(M.87.300C).

***χειλέος, ἡ,** *chest, box,* Sophr.H.*mir.Cyr.et Jo.*35(M.87.3545B).

***χειλοστρόφιον, τό,** *instrument of torture for twisting the lips,* Synes.*ep.*58(M.66.1400C).

χειμάδιος, *of winter,* Eus.*d.e.*10.7(p.470.5; M.22.756D); *wintry* ἡμέρα...ᾗ μὲν εὔδιος...καὶ πάλιν χ. Mac.Mgn.*apocr.*4.11(p.173.5).

χειμάζω, pass., *be afflicted*; of the ἐνεργούμενοι as a class in the congregation, CAnc.(314)*can.*17; *Lit.*ap.*Const.App.*8.12.47; *Const. App.*8.35.2; *ib.*38.1.

***χειμαρριαῖος,** *from a torrent,* Tim.Ant.*Sym.*(M.86.240A).

***χειμαρροειδής,** *like a torrent,* Olymp.*Job* 22:33(M.93.236A).

***χειμερία, ἡ,** *tempestuous weather,* Thphn.*chron.*p.190(M.108. 492B).

***χειμευτής, ὁ,** *alchemist,* Jo.Mal.*chron.*16 p.395(M.97.584B); cf. χυμευτής.

χειμωνικός, *wintry,* ‡Epiph.*hom.*3(M.43.465D).

*tamen non putentur velut dogmata esse prolata, sed tractandi more ac requirendi discussa, ib.*2.8.4(p.162.7; 224A); cf.*ib.*3.1.23(21; p.242. 19; 302A); of souls into angels, cf. *tertius vero creaturae rationabilis ordo est eorum spirituum, qui ad humanum genus replendum apti judicantur a deo, id est animae hominum, ex quibus per profectum etiam in illum angelorum ordinem quosdam videmus assumi, ib.*1.8.4 (p.101.29; 180A); cf. *ἀνεστοιχειοῦτο γοῦν αὐτῇ ψ.* [sc. Helena's] *ἐπὶ τὴν ἄφθαρτον καὶ ἀγγελικὴν οὐσίαν* Eus.*v.C.*3.46(p.97.10; M.20.1105D); Epiph.*haer.*64.4(p.411.2; M.41.1107BD); **b.** traces of idea of metempsychosis *εἰ γὰρ διά τινος κακίας ἀποσπασθεῖσα τῆς ὑψηλοτέρας ἡ ψ. πολιτείας, μετὰ τὸ ἅπαξ γεύσασθαι τοῦ σωματικοῦ βίου πάλιν ἄνθρωπος γίνεται, ἐμπαθέστερος...ὁ ἐν σαρκὶ βίος ὁμολογεῖται παρὰ τὸν... ἀσώματον, ἀνάγκη πᾶσα τὴν ἐν τῷ τοιούτῳ γινομένην βίῳ ἐν ᾧ πλείους αἱ πρὸς τὸ ἁμαρτάνειν εἰσὶν ἀφορμαί, ἐν πλείονί τε κακίᾳ γενέσθαι... ἀνθρωπίνης δὲ ψ. πάθος ἡ πρὸς τὸ ἄλογόν ἐστιν ὁμοίωσις. τούτῳ δὲ προσοικειωθεῖσαν αὐτήν, εἰς κτηνώδη φύσιν μεταρρυῆναι* Or.*princ.*1.8. 4(p.103.17ff.); *ἡ ψ. ἀπορρέουσα τοῦ καλοῦ...εἰ μὴ ὑποστρέφοι, ὑπὸ τῆς ἀνοίας ἀποκτηνοῦται...καὶ αἱρεῖται πρὸς τὸ ἀλογωθῆναι καὶ τὸν ἔνυδρον, ἵν' οὕτως εἴπω, βίον· καὶ τάχα κατ' ἀξίαν τῆς ἐπὶ πλεῖον ἀποπτώσεως τῆς κακίας ἐνδύεται σῶμα 〈τοι〉οῦδε ἢ τοιοῦδε ἀλόγου ζῴου ib.*(p.104. 8; 180B); **2.** development of creationism; **a.** its roots in account in Gen. of different origin of man's body and soul, cf. *insufflavit enim in faciem hominis deus flatum vitae et factus est homo in animam viventem, flatus autem vitae incorporalis,* Iren.*haer.*5.7.1(M. 7.1140A); *πλάσμα ὑμᾶς τοὺς ἀνθρώπους [ἐπι]γεγονότας τοῦ θεοῦ καὶ παρ' αὐτοῦ τὴν ψ. εἰληφότας* Clem.*prot.*10(p.67.33; M.8.205A); *ἐκ γῆς μὲν τὸ σῶμα διαπλάττεσθαι λέγει ὁ Μωυσῆς...ψ. δὲ τὴν λογικὴν ἄνωθεν ἐμπνευσθῆναι ὑπὸ τοῦ θεοῦ εἰς πρόσωπον* id.*str.*5.14(p.388.10; M.9.140A); soul infused before physical conception *εἰσιοῦσαν γὰρ τὴν ψ. εἰς τὴν μήτραν ἀπὸ τῆς καθάρσεως ηὐτρεπισμένην εἰς σύλληψιν ...καταβληθέντος δὲ τοῦ σπέρματος ὡς εἰπεῖν ἐξοικειοῦσθαι τὸ ἐν τῷ σπέρματι πνεῦμα καὶ οὕτως συλλαμβάνεσθαι τῇ πλάσει...καὶ αἱ στεῖραι διὰ τοῦτό εἰσι στεῖραι, ὡς ἂν μὴ εἰσκρινομένης τῆς ψ. τὴν τοῦ σπέρματος καταβολὴν συναγούσης εἰς κατοχὴν συλλήψεως καὶ γεννήσεως* id.*ecl.*50(pp.150.22–151.9; M.9.721A); *παρὰ μὲν τῆς ὕλης λαβὼν τὸ σῶμα ἤδη προϋποστάσης, παρ' ἑαυτοῦ δὲ πνοὴν ἐνθεὶς (ὃ δὴ νοερὰν ψ. καὶ εἰκόνα θεοῦ οἶδεν ὁ λόγος)* Gr.Naz.*or.*38.11(M.36.321D); *ἐν...τῇ διαπλάσει τοῦ ἀνθρώπου πρότερον τὸ σῶμα παραγίνεται, καὶ τότε ἡ ψ. ἡ τιμιωτέρα...πρὸ τῆς ψ. τὸ σῶμα δημιουργεῖται, ἵνα ἐπειδὰν κατὰ τὴν ἀπόρρητον αὐτοῦ σοφίαν ἡ ψ. παραχθῇ...* Chrys.*hom.13.3 in Gen.*(4.102C); Anast.Ant.*serm.*3(M.89.1165C); **b.** this, however, does not imply that soul is part of the divinity, Chrys.*hom.13.2 in Gen.* (4.101A–D); Thdt.*qu.23 in Gen.*(1.39); **c.** creationist doctrine clearly stated *ἡ δὲ ἐκκλησία, τοῖς θείοις πειθομένη λόγοις...λέγει, τὴν ψ. συνδημιουργεῖσθαι τῷ σώματι, οὐκ ἐκ τῆς ὕλης τοῦ σπέρματος ἔχουσαν τῆς δημιουργίας τὰς ἀφορμάς, ἀλλὰ τῇ βουλήσει τοῦ ποιητοῦ μετὰ τὴν τοῦ σώματος συνισταμένην διάπλασιν* id.*haer.*5.9(4.414); *ἡ δὲ τοῦ ἀνθρώπου ψ. ἰδιάζουσαν ὑπόστασιν ἔχει· ἐνεργεῖ δὲ καὶ τὴν ζωὴν ἐν σαρκί...ὁ σπόρος ἐκ συνουσίας· ἡ δὲ πλάσις ἐκ θείου νεύματος· κτίζεται ἡ ψ. ὅτε καὶ τὸ σῶμα εἰκονίσθη, θεοῦ τὴν πλάσιν παρέχοντος* Proc.G. *Gen.*2:7(M.87.153B); **3.** traducianism (cf. Tertullian); **a.** not always clearly distinguishable from creationism *λείπεται οὖν μίαν καὶ τὴν αὐτὴν ψ. τε καὶ σώματος ἀρχὴν τῆς συστάσεως οἴεσθαι* Gr.Nyss. *anim.et res.*(M.46.125A); *ἐπὶ τῆς τοῦ ἀνδρὸς καὶ γυναικὸς συμπλοκῆς συνίσταται θεοῦ κελεύσει σῶμα καὶ ψ.* ‡Ath.*qu.Ant.*16(M.28.608B); **b.** explicitly taught *Ἀπολιναρίῳ δὲ δοκεῖ τὰς ψ. ἀπὸ τῶν ψ. τίκτεσθαι ὥσπερ ἀπὸ τῶν σωμάτων. προϊέναι γὰρ τὴν ψ. κατὰ διαδοχὴν τοῦ πρώτου ἀνθρώπου εἰς τοὺς ἐξ ἐκείνου πάντας τεχθέντας καθάπερ τὴν σωματικὴν διαδοχήν· μήτε γὰρ ἀποκεῖσθαι ψ. μήτε νῦν κτίζεσθαι* ‡Gr.Nyss.*anim.*(M.45.205C); *ὥσπερ ἐπὶ τῆς πρώτης πλάσεως τὸ μὲν σῶμα ἐκ τῆς γῆς ἔσχεν ὁ ἄνθρωπος, τὴν δὲ ψ. ἐξ αὐτοῦ τοῦ θεοῦ γεννηθεῖσαν· οὕτω καὶ νῦν τὸ μὲν σῶμα ἐκ τῆς γυναικείας γῆς καὶ αἵματος συνίσταται, ἡ δὲ ψ. διὰ τῆς σπορᾶς ὥσπερ διά τινος ἐμφυσήματος ἐκ τοῦ ἀνθρώπου ἀρρήτως μεταδίδοται...τὸ μὲν σῶμα διὰ τῶν οἰκείων... χειρῶν αὐτοῦ ἔπλασεν ὁ θεός, τὴν δὲ ψ. ὡς ἀόρατον ἐκ τῆς παναοράτου αὐτοῦ ψ. διὰ τοῦ ἐμφυσήματος προήγαγε καὶ ἐποίησε παρ' ἑαυτοῦ* Anast. Ant.*serm.*3(M.89.1165B); **4.** Gnost.; **a.** origin of souls from different seed as cause of their difference from each other (Valentinian) *τὰς δὲ ἐσχηκυίας τὸ σπέρμα τῆς Ἀχαμὼθ ψ. ἀμείνους λέγουσι γεγονέναι τῶν λοιπῶν· διὸ καὶ πλεῖον τῶν ἄλλων ἠγαπῆσθαι ὑπὸ τοῦ Δημιουργοῦ, μὴ εἰδότος τὴν αἰτίαν, ἀλλὰ παρ' αὐτοῦ λογιζομένου εἶναι τοιαύτας. διὸ καὶ εἰς προφήτας, φασίν, ἔτασσεν αὐτούς* [l. *αὐτάς*], *καὶ ἱερεῖς, καὶ βασιλεῖς. καὶ πολλὰ ὑπὸ τοῦ σπέρματος τούτου εἰρῆσθαι διὰ τῶν προφητῶν ἐξηγοῦνται, ἅτε ὑψηλοτέρας φύσεως ὑπαρχούσας* [sc. *ψυχὰς τὸ σπέρμα ἐχούσας*]· *πολλὰ δὲ καὶ τὴν μητέρα περὶ τῶν ἀνωτέρω εἰρηκέναι λέγουσιν, ἀλλὰ καὶ διὰ τούτου καὶ τῶν ὑπὸ τούτου γενομένων ψ.* Iren.*haer.*1.7.3(M.7.516A,B); refutation, cf. *sermo arguitur falsus ...in eo quod dicant eas animas quae habuerint a Matre semen, meliores reliquis fieri: quapropter...principes, et reges, et sacerdotes ordinatas esse. si enim erat hoc verum, primus utique Caiaphas... et Annas, et reliqui summi sacerdotes...et principes populi credidissent Domino...et ante hoc etiam Herodes rex. quoniam autem nec hic, nec summi sacerdotes...accurrerunt ei; sed e contrario qui erant in viis mendici sedentes...non itaque erant meliores tales animae, ib.* 2.19.7(775A,B); *οἱ ἀντίμιμοι τοῦ Δημιουργοῦ, οἱ τῇ ἐκ μεσότητος ψ., τῇ σφετέρᾳ εἰκόνι, ἐμφυσῶντες τὴν ζωὴν τὴν ἄνωθεν* Clem.*str.*4.13(p.288.17; M.8.1300A); cf.*ib.*(p.288.2ff.; 1297B); *οἱ δ' ἀπὸ Οὐαλεντίνου πλασθέντος φασὶ τοῦ ψυχικοῦ σώματος τῇ ἐκλεκτῇ ψ. οὔσῃ ἐν ὕπνῳ ἐντεθῆναι ὑπὸ τοῦ λόγου σπέρμα ἀρρενικόν* id.*exc.Thdot.*2(p.105.15; M.9.653A); view rejected, Cyr.H.*catech.*4.20; **b.** soul's embodiment as a punishment (Marcion, Basilides) *οἱ φιλόσοφοι...παρ' ὧν τὴν γένεσιν κακὴν εἶναι ἀσεβῶς ἐκμαθόντες οἱ ἀπὸ Μαρκίωνος...φρυάττονται, οὐ φύσει κακὴν βούλονται ταύτην εἶναι, ἀλλὰ τῇ ψ. τῇ τὸ ἀληθὲς διδούσῃ· κατάγουσι γὰρ ἐνταῦθα τὴν ψ. θείαν οὖσαν καθάπερ εἰς κολαστήριον τὸν κόσμον, ἀποκαθαίρεσθαι δὲ ταῖς ἐνσωματουμέναις ψ. προσήκει κατ' αὐτούς. κἄστιν τὸ δόγμα τοῦτο οὐ τοῖς ἀπὸ Μαρκίωνος ἔτι, τοῖς δὲ ἐνσωματοῦσθαι...τὰς ψ. ἀξιοῦσιν οἰκεῖον* Clem.*str.*3.3(p.201.16ff.; M.8. 1116A,B); *τῷ Βασιλείδῃ ἡ ὑπόθεσις προαμαρτήσασάν φησι τὴν ψ. ἐν ἑτέρῳ βίῳ τὴν κόλασιν ὑπομένειν ἐνταῦθα ib.*4.12(p.285.4; 1292C).

D. in rel. to body, cf. *σάρξ, σῶμα, αἴσθησις*; **1.** manner in which soul is in body, diffused through it, *Diogn.*6.1 cit. s. *Χριστιανός*; *ἔστι ψ. ἐν ὅλοις τοῖς μέλεσι, καὶ ἄνω ἐν τῷ ἐγκεφάλῳ ἐνεργεῖ, καὶ κάτω τοὺς πόδας αὐτὴ κινεῖ* Mac.Aeg.*hom.*40.3(M.34.764C); *τὴν μὲν ζωτικὴν δύναμιν, ἐπεὶ συγκέκραται τῷ σώματι ἡ ψ., φυσικῶς διὰ τὴν σύγκρασιν, καὶ οὐκ ἐκ προαιρέσεως χορηγεῖ...ψ. ἀμήχανον μὴ ζωοποιεῖν σῶμα, ᾧ ἂν ἐγγένηται* ‡Bas.*const.*2.2(2.542A; M.31.1341A); denied *τί λέγω, τί τὴν οὐσίαν ἐστὶν ἡ ψ.; ὅπως ἡμῶν ἐστιν ἐν τῷ σώματι, οὐδὲ τοῦτο ἔστιν εἰπεῖν. τί γὰρ ἔχοι τις ἂν εἰπεῖν ὅτι παρεκτείνεται τῷ τοῦ σώματος ὄγκῳ; ἀλλὰ τοῦτο ἄλογον, σωμάτων γὰρ ἴδιον τοῦτο· ὅτι δὲ ἐπὶ ψ. οὐκ ἔστι τοῦτο ἐντεῦθεν δῆλον. πολλάκις καὶ τῶν χειρῶν καὶ τῶν ποδῶν ἐκκεκομμένων, ὁλόκληρος ἐκείνη μένει...ἀλλ' οὐκ ἔστιν ἐν ὅλῳ τῷ σώματι, ἀλλ' ἐν μέρει τινὶ συνείληπται. οὐκοῦν νεκρὰ ἀνάγκη τὰ λοιπὰ εἶναι μέλη· τὸ γὰρ ἄψυχον πάντως νεκρόν. ἀλλ' οὐδὲ τοῦτο ἔστιν εἰπεῖν, ἀλλ' ὅτι μέν ἐστιν ἐν τῷ σώματι τῷ ἡμετέρῳ ἴσμεν, τὸ δὲ πῶς ἐστιν οὐκ ἴσμέν* Chrys.*incomprehens.*5.4(1.485C); discussion, Nemes.*nat.hom.*3(M.40.592Aff.); Max.*anim.*(M.91.356D–357A); **2.** soul superior to body, Clem.*str.*4.26(p.321.16f.; M.8.1373C); Chrys.*hom. 21.6 in Gen.*(4.190E); *ib.12.*5(97E–98A); Max.*ep.*12(M.91.488D–489A); hence honour due to body as receptacle of soul, Or.*Cels.*8.30 (pp.245.27–246.5; M.11.1561A,B); **3.** soul as guide of body *τῆς ψ. οὔσης τε καὶ διαμενούσης ὁμαλῶς ἐν ᾗ γέγονεν φύσει καὶ διαπονούσης ἃ πέφυκεν (πέφυκεν δὲ ταῖς τοῦ σώματος ἐπιστατεῖν ὁρμαῖς καὶ τὸ προσπῖπτον ἀεὶ τοῖς προσήκουσι κρίνειν καὶ μετρεῖν κριτηρίοις καὶ μέτροις)* Athenag.*res.*12(p.63.1; M.6.1000A); Iren.*haer.*2.33.3(M.7. 832B); *ib.*2.33.4(833A); Dion.Al. *fr.*(p.227.7f.); Cyr.H.*hom.*18(M.33. 1152C); *ὅπερ ἐστὶ θεὸς ψυχῇ, τοῦτο ψ. σώματι γένηται παιδαγωγήσασα δι' ἑαυτῆς τὴν ὑπηρέτιν ὕλην, καὶ οἰκειώσασα θεῷ τὸ ὁμόδουλον* Gr.Naz. *or.*2.17(M.35.428A); *ἐὰν...ὁ ἡνίοχος τὰς ὁρμὰς τοῦ ὑποζυγίου δεόντως οἰκονομήσῃ, ἑαυτῷ τε πρὸς τὸ συμφέρον ἐχρήσατο, καὶ τοῦ σκοποῦ τοῦ προκειμένου τετύχηκε, καὶ αὐτὸς δὲ σέσωσται, καὶ τὸ ὑποζύγιον ὤφθη τὴν χρῆσιν ἄριστον,...οὕτω καὶ ἐπὶ τῆς ψ. καὶ τοῦ σώματος ὑπολάμβανε ...ἐὰν μὲν γὰρ αὐτὴ τὰς τοῦ σώματος ὁρμὰς δεόντως οἰκονομῇ, αὐτό τε περιεσώσατο, καὶ αὐτὴ ἔξω κινδύνων διατελεῖ* ‡Bas.*const.*2.3(2. 542D; M.31.1341C); *ὅπερ γάρ ἐστιν ἡνίοχος ἅρματι, καὶ κυβερνήτης πλοίῳ, καὶ μουσικὸς ὀργάνῳ, τοῦτο εἶναι τῷ γηΐνῳ τούτῳ σκεύει τὴν ψ. ὁ πλάστης ἐνομοθέτησεν. αὕτη γὰρ κατέχει τὰς ἡνίας, καὶ κινεῖ τὰ πηδάλια, καὶ τὰς χορδὰς ἀνακρούεται* Chrys.*hom.in Mt.*7:14(3.25D); **4.** gives life and movement to body *ὑπὸ ψ. κινεῖται* [sc. *σῶμα*], *τῆς καὶ τὸ ζῆν αὐτῷ παρεχούσης. εἰ τοίνυν τῷ σώματι ἡμῶν ψ. δείκνυται τὸ ζῆν παρέχουσα, ἔσται καὶ καθ' ἑαυτὴν ἡ ψ. ἐκ τῶν ἐναντίων γνωριζομένη* Max.*anim.*(M.91.356B); id.*ep.*6(M.91.425B); which is its instrument, Iren.*haer.*2.33.4(M.7.833A); Cyr.H.*catech.*4.23; ‡Bas. *struct.hom.*1.7(1.327D; M.30.17C); Chrys.*hom.14.5 in Gen.*(4.113C); but limits its capacities, cf. *anima...tantum autem impeditur a sua velocitate, quantum corpus participat de ejus motione; sed non amittit suam scientiam...anima participans suo corpori, modum quidem impeditur, admixta velocitate ejus in corporis tarditate,* Iren. *haer.*2.33.4(M.7.833A); Clem.*paed.*2.9(p.207.20ff.; M.8.496C); *ψυχῆς οὐσία, τὴν φύσιν οὖσα νοερὰ καὶ λογική, ἐν νηπιάζοντι κατὰ φύσιν σώματι παρὰ φύσιν αὐτὴ χώραν ἀλόγου μετείληφε* Eus.*p.e.*6.6(247A; M.21.720D); *ὅμως...ἐξακολουθεῖ...τῷ σώματι ἡ ψ. ὁμοῦ γὰρ εἶναι δεῖ τὸ σύνθετον. ἀλλὰ προηγουμένως μέν, τοῦ σώματος ὁ τόπος, ἡ ψ. δὲ*

κατ' ἐπακολούθησιν περικλείεται τόπῳ, διὰ τῆς πρὸς τὸ σῶμα σχέσεως †Bas.*parad.*7(1.349F–350A; M.30.68B); cf. Jo.Clim.*scal.*26(M.88.1072C); **5.** interaction of both, cf. δεσμὸς δὲ τῆς σαρκὸς ψ., σχετικὴ δὲ τῆς ψ. ἡ σάρξ Tat.*orat.*15(p.16.21; M.6.837B); idea that both grow together, resulting from a material conception of soul ὅτι μὲν οὐκ εἰσὶν ἀγέννητοι αἱ ψ., τοῦτο δείκνυσι σαφέστερον ἡ τῶν ἀρτιγόνων ἡλικία βρεφῶν. εἰ...ἅμα τῷ τεχθῆναι τὰ παιδία, τελείας ἐξῆπτο φρονήσεως, ἐξῆν ἴσως ὑποκρίνεσθαί τινας ἄνοιαν· εἰ δὲ λείπεται νοῦ...οὐκ ἄρα καθέστηκαν ἀγέννητοι τὴν φύσιν αἱ ψ. σύμπαντες οὖν ἴσμεν ὅτι τοῖς τῶν σωμάτων ὄγκοις ἡ ψ. συνεκτέταται διαρκῶς, οὐ μεγέθει μόνον...μελῶν, ἀλλὰ καὶ ταῖς ἄλλαις τῆς γνώμης ἀναλογίαις...εἰ δὲ ταῦτα ἴδια μέν ἐστι ψυχῆς, ἐκ περιουσίας δὲ τὰς κρείττους ἐπιδέχονται προσθήκας ...δῆλον ὅτι συναυξάνει μὲν τῷ σώματι Eust.*fr.*4(Spanneut p.96.2) ap.Leont.et Jo.*sacr.*2(M.86.2040B,C); orthodox conception of a progressive revelation of its functions ἐπὶ τῆς ἀνθρωπίνης συστάσεως, πρὸς λόγον τῆς σωματικῆς ποσότητος, καὶ ἡ τῆς ψ. διαφαίνεται δύναμις· πρῶτον μὲν διὰ τοῦ θρεπτικοῦ καὶ αὐξητικοῦ τοῖς ἔνδοθεν πλασσομένοις ἐγγινομένη. μετὰ ταῦτα δὲ τὴν αἰσθητικὴν χάριν τοῖς εἰς φῶς προελθοῦσιν ἐπάγουσα, εἶθ' οὕτω...τὴν λογικὴν ἐμφαίνουσα δύναμιν Gr.Nyss.*anim.et res.*(M.46.128A); without idea of growth θαύμαζε τὸν τεχνίτην, πῶς τῆς ψ. σου τὴν δύναμιν πρὸς τὸ σῶμα συνέδησεν, ὡς μέχρι τῶν περάτων αὐτοῦ διϊκνουμένην, τὰ πλεῖστον διεστῶτα μέλη πρὸς μίαν σύμπνοιαν...ἄγειν. σκόπει τίς ἡ ἀπὸ σαρκὸς πρὸς ψ. ἐπανιοῦσα συμπάθεια· πῶς δέχεται μὲν τὴν ζωὴν ἐκ τῆς ψ. τὸ σῶμα, δέχεται δὲ ἀλγηδόνας ἀπὸ τοῦ σώματος ἡ ψ. Bas.*hom.*3.7(2.23E; M.31.216A,B); πῶς τρέφεται διὰ ψ. σῶμα, καὶ πῶς ψ. διὰ σώματος κοινωνεῖ πάθους; Gr.Naz.*or.*32.27(M.36.205A); soul reflected in face, ‡Nil.*perist.*9.2 (M.79.865B); **6.** heret. views; **a.** that soul is imprisoned in body τὴν ψ. συνέδησε [sc. ὁ θεός] τῷ σώματι πρὸς κόλασιν Or.*princ.*1.8.1 (p.96.11); ἡ ὕλη...κατεσκεύασε τὸν ἄνθρωπον τὸν κατὰ τὴν ἰδέαν τοῦ πρώτου ἀνθρώπου ἐκείνου καὶ ἔδησε τὴν ψ. ἐν αὐτῷ Hegem.*Arch.*8(7; p.12.6; M.10.1440A); rejected εἰ γὰρ πρὸ τῆς παραβάσεως...σῶμα ἐκέκτητο αἱ ψ., πῶς ⟨ὡς⟩ εἰς παγίδα ὕστερον, μετὰ τὴν παράβασιν, εἰς ⟨τὸ⟩ σῶμα ἐμβιβάζονται, οὐκ ὄντος χρόνου, ἐν ᾧ πρὶν αὐτὰς τὸ σῶμα λαβεῖν ἐξημάρτησαν; Meth.*res.*1.54(p.310.18; M.41.1145A); ἦν ἄρα ἡ ψ. μετὰ σώματος καὶ πρὸ τῆς ἁμαρτίας *ib.*(p.311.19; 1145C); on ground that soul could not sin without body χρὴ γὰρ πρὸ τῆς ἁμαρτίας τὴν ψ. ὑπάρχειν μετὰ σώματος. ἐπεὶ εἰ ἄληπτος ἡ ψ. καθ' ἑαυτὴν τῇ ἁμαρτίᾳ, οὐκ ἂν ἥμαρτεν ὅλως πρὸ τοῦ σώματος *ib.*1.57 (p.318.18; 1152Dff.); εἰ πρὸ τοῦ ἐνδεθῆναι τὴν ψ. φῂς ἡμαρτηκέναι, περισσὸν τὸ λέγειν αἴτιον τῶν κακῶν τὸ σῶμα. εἰ γὰρ πρὸ τοῦ σώματος ἥμαρτε, καὶ ἀπαλλαγεῖσα νῦν ἐκ τοῦ σώματος ἀῤῥις ἁμαρτήσει διὰ τὸ καὶ πρὸ τούτου ἡμαρτηκέναι, καὶ οὐκ αἴτιον τὸ σῶμα, ἀλλ' ἡ ψ. εἰ δεσμὸν ψ. τὸ σῶμα ὑπέθετο, ὁ δὲ δεσμὸς ἐπέχειν πέφυκε τὸν ἁμαρτάνοντα...τὸ σῶμα οὐ δεσμός ἐστι ψ., ἀλλὰ συνεργόν. πῶς; ὁ δεσμὸς οὐ συνεργεῖ τῷ δεδεμένῳ πρὸς ἁμαρτίαν ἀλλ' ἐπέχει...τὸ δὲ σῶμα συνεργεῖ τῇ ψ. εἰς φόνους καὶ μοιχείας. δείκνυται οὖν ὁ θεὸς οὐ δεσμὸν δοὺς τῇ ψ. τὸ σῶμα, ἀλλὰ συνεργόν Adam.*dial.*5.21(p.218.4ff.; M.11.1861A,B); οὐ γὰρ κατ' οὐρανὸν ἁμαρτοῦσαι ψ. ἐν σώματι κατεκρίθησαν τιμωρεῖσθαι, μηκέτι δυνάμεναι συμπεριπολεῖν τῇ ὑπερκοσμίῳ τελευτῇ. εἰ γὰρ πρὸς διόρθωσιν ...τοῖς σώμασι τούτοις κατεκλείσθησαν, πῶς ἐν τούτῳ βαρυτέρως ἁμαρτάνουσιν; ‡Caes.Naz.*dial.*3.149(M.38.1100); **b.** that body is cause of sin to soul οὐχὶ τὸ σῶμά ἐστι τὸ τυφλοῦν τὴν ψ., ἄπαγε...ἀλλ' ἡ τρυφὴ ...οὐδὲ γὰρ ψ. μόνον, ἀλλὰ καὶ αὐτῷ τῷ σώματι...πολέμιον ἡ τρυφὴ Chrys.*hom.*39.9 *in 1Cor.*(10.376B); ὅτι δὲ οὐδὲ κακίας αἴτιον τῇ ψ. τὸ σῶμα, δῆλον ἐκ τοῦ δυνατὸν εἶναι καὶ ἄνευ σώματος παρυφίστασθαι κακίαν, ὥσπερ ἐν δαίμοσι· τοῦτο γάρ ἐστι καὶ νοῖς, καὶ ψ., καὶ σώμασι κακόν, ἡ τῆς ἕξεως τῶν οἰκείων ἀγαθῶν ἀσθένεια καὶ ἀπόπτωσις Dion. Ar.*d.n.*4.27(M.3.728D); **c.** that God is cause of the soul, but not of body; discussed and refuted, Or.*Cels.*4.54–61(pp.326.24–333.3; M. 11.1117A–1128C); **7.** relation of Christians to world analogous to that of soul to body, *Diogn.*6.1–9.

E. in rel. to νοῦς and πνεῦμα qq.v.; **1.** dist. from νοῦς: ἡμεῖς... ἐσμεν ἡ ψ. καὶ ὁ νοῦς Bas.*hom.*3.3(2.18C; M.31.204A); αἱ κινήσεις αἱ τῶν νοῶν, αἱ τῶν ψ. Dion.Ar.*d.n.*4.7(M.3.704C); πόλις τροπικῶς ἡ ψ.· ἧς ὁ βασιλεὺς νοῦς Olymp.*Eccl.*10:16f.(M.93.604A); **2.** νοῦς as part of ψ.: ἐν...τοῖς μαχίμοις ζῴοις δι' ἐμψύχων τε καὶ ἀψύχων ψ. τὸ τάττον ἐστὶ καὶ νοῦς, ἐν δὲ τοῖς τῆς ψ. πάθεσιν...λογισμός ἐστι τὸ τακτικόν Clem.*str.*1.24(p.100.16f.; M.8.908A); τῆς λογικῆς ψ. αὐλὴ μὲν ἡ αἴσθησις· ναὸς δέ, ἡ διάνοια· ἀρχιερεὺς δέ, ὁ νοῦς ‡Max.*cap.al.*158(M.90. 1437B); **3.** change of νοῦς into ψ. and vice versa (Origen), cf. *mens de statu ac dignitate sua declinans, nuncupata est anima; quae si reparata fuerit et correcta, redit in hoc, ut sit mens,* Or.*princ.*2.8.3 (p.159.1; M.11.223C); νοῦς...*corruens facta est anima, et rursum anima instructa virtutibus mens fiet, ib.*(p.161.7; 223C); idea rejected τοὺς γὰρ βαθμοὺς τῶν ψ. καὶ τὰς ἀναβάσεις καὶ καταβάσεις, ἃς Ὠριγένης εἰσάγει, μηδὲν προσηκούσας ταῖς θείαις γραφαῖς, μηδὲ συναδούσας τοῖς τῶν Χριστιανῶν δόγμασι, παραλειπτέον Nemes.*nat. hom.*3(M.40.608A); **4.** position of soul between flesh and spirit Χριστός, εἰς ὃν ἐλπίζουσιν σαρκί, ψ., πνεύματι Ign.*Philad.*11.2; ψ. ἐν σώματί ἐστιν, οὐ ζῇ δὲ ἄψυχον. σῶμα, ψ. ἀπολειπούσης, οὐκ ἔστιν. οἶκος γὰρ τὸ σῶμα ψ.· πνεύματος δὲ ψ. οἶκος. τὰ τρία ταῦτα τοῖς ἐλπίδα εἰλικρινῆ καὶ πίστιν ἀδιάκριτον ἐν τῷ θεῷ ἔχουσι σωθήσεται †Just.*fr.res.*10(M.6.1589B); cf. *sunt tria, ex quibus...perfectus homo constat, carne anima et spiritu: et altero quidem salvante et figurante, qui est spiritus; altero quod unitur et formatur, quod est caro; id vero quod inter haec est duo, quod est anima: quae aliquando quidem subsequens spiritum, elevatur ab eo; aliquando autem consentiens carni, decidit in terrenas concupiscentias,* Iren.*haer.*5.9.1(M.7.1144B); *spiritus* understood as Holy Spirit, cf. *cum autem spiritus hic commistus animae unitur plasmati, propter effusionem spiritus, spiritualis et perfectus homo factus est...si autem defuerit animae spiritus, animalis est vere, qui est talis, ib.*5.6.1(1137C–1138C); Or. *princ.*2.8.4(p.162.18ff.; M.11.224B); a disembodied soul called πνεῦμα τῆς ψ. Clem.*prot.*11(p.82.30; M.8.237A); ψ. equated with πνεῦμα, Serap.*euch.*30.2.

F. soul after death; **1.** its eternal life dependent on God ἡ ψ. ἤτοι ζωή ἐστιν ἢ ζωὴν ἔχει. εἰ μὲν οὖν ζωή ἐστιν, ἄλλο τι ἂν ποιήσειε ζῆν, οὐχ ἑαυτήν,...ὅτι δὲ ζῇ ψ., οὐδεὶς ἀντείποι. εἰ δὲ ζῇ, οὐ ζωὴ οὖσα ζῇ, ἀλλὰ μεταλαμβάνουσα τῆς ζωῆς· ἕτερον δέ τι τὸ μετέχον τινὸς ἐκείνου οὗ μετέχει. ζωῆς δὲ ψ. μετέχει, ἐπεὶ ζῆν αὐτὴν ὁ θεὸς βούλεται. οὕτως ἄρα καὶ οὐ μεθέξει ποτέ, ὅταν αὐτὴν μὴ θέλοι ζῆν. οὐ γὰρ ἴδιον αὐτῆς ἐστι τὸ ζῆν ὡς τοῦ θεοῦ· ἀλλὰ ὥσπερ ἄνθρωπος οὐ διὰ παντός ἐστιν οὐδὲ σύνεστιν ἀεὶ τῇ ψ. τὸ σῶμα καὶ ὁ ἄνθρωπος οὐκ ἔστιν, οὕτως καί, ὅταν δέῃ τὴν ψ. μηκέτι εἶναι, ἄπεστι ἀπ' αὐτῆς τὸ ζωτικὸν πνεῦμα καὶ οὐκ ἔστιν ἡ ψ. ἔτι, ἀλλὰ καὶ αὐτὴ ὅθεν ἐλήφθη ἐκεῖσε χωρεῖ πάλιν Just.*dial.*6.1,2(M.6.489B–492A); οὐκ ἐστὶν ἀθάνατος...ἡ ψ. καθ' ἑαυτήν, θνητὴ δέ· ἀλλὰ δυνατὸς ἡ αὐτὴ καὶ μὴ ἀποθνήσκειν. θνήσκει...μετὰ τοῦ σώματος μὴ γινώσκουσα τὴν ἀλήθειαν, ἀνίσταται δὲ εἰς ὕστερον ἐπὶ συντελείᾳ τοῦ κόσμου σὺν τῷ σώματι θάνατον διὰ τιμωρίας ἐν ἀθανασίᾳ λαμβάνουσα· πάλιν τε οὐ θνήσκει, κἂν πρὸς καιρὸν λυθῇ, τὴν ἐπίγνωσιν τοῦ θεοῦ πεποιημένη. καθ' ἑαυτὴν γὰρ σκότος ἐστίν, καὶ οὐδὲν ἐν αὐτῇ φωτεινόν...ψ. γὰρ οὐκ αὐτὴ τὸ πνεῦμα ἔσωσεν, ἐσώθη δὲ ὑπ' αὐτοῦ...λόγος μέν ἐστι τὸ τοῦ θεοῦ φῶς, σκότος δὲ ἡ ἀνεπιστήμων ψ. διὰ τοῦτο μόνη μὲν διαιτωμένη πρὸς τὴν ὕλην νεύει κάτω συναποθνήσκουσα τῇ σαρκί, συζυγίαν δὲ κεκτημένη τὴν τοῦ θείου πνεύματος οὐκ ἔστιν ἀβύσσος, ἀνέρχεται δὲ πρὸς ἅπερ αὐτὴν ὁδηγεῖ χωρία τὸ πνεῦμα· τοῦ μὲν γάρ ἐστιν ἄνω τὸ οἰκητήριον, τῆς δὲ κάτωθέν ἐστιν ἡ γένεσις· γέγονεν...συνδίαιτον ἀρχῆθεν τῇ ψ. τὸ πνεῦμα· τὸ δὲ πνεῦμα ταύτην ἔπεσθαι μὴ βουλομένην αὐτῷ καταλέλοιπεν Tat.*orat.*13(p.14.10ff.; M. 6.833A,B); **2.** retaining its identity, cf.Iren.*haer.*2.34.1(M.7.834C); ἡ νοερὰ τῆς ψ. φύσις, καὶ συνδρομῇ τῶν στοιχείων ἐνθεωρεῖται, καὶ διαλυθέντων οὐκ ἀποκρίνεται, ἀλλὰ καὶ ἐν αὐτοῖς μένει καὶ ἐν τῷ χωρισμῷ αὐτῶν συμπαρεκτεινομένη οὐ διακόπτεται, οὐδὲ πρὸς τὸν ἀριθμὸν τῶν στοιχείων εἰς μερικὰ τμήματα κατακερματίζεται Gr.Nyss. *anim.et res.*(M.46.48B); which extends also to future resurrection body, *ib.*(109A); ἡ ψ. οὖν ἀεί τε οὖσα, ἀφ' οὗ γέγονεν, καὶ ὑφισταμένη διὰ τὸν οὕτως αὐτὴν δημιουργήσαντα θεόν, ἀεὶ νοεῖ καὶ λογίζεται...καὶ καθ' ἑαυτήν, καὶ μετὰ σώματος, δι' ἑαυτὴν καὶ τὴν ἑαυτῆς φύσιν. οὐδεὶς οὖν εὑρεθήσεται λόγος, ὁ τὴν ψ. τῶν προσόντων αὐτῇ φυσικῶς, καὶ οὐ διὰ τὸ σῶμα, μετὰ τὴν τούτου λύσιν ἀλλοτριῶσαι δυνάμενος Max.*ep.*7(M.91.436D–437A); which, acc. those who attribute a certain materiality to soul (v. I.B.6.a), is linked to body, cf. *animas...habere hominis figuram, ut etiam cognoscantur,* Iren.*haer.*2.34.1(835A); τότε ἡ ψ. ἐξέρχεται ἀπὸ τοῦ σώματος, καὶ ἀσπάζονται αὐτὴν οἱ ἄγγελοι· ἡμεῖς δὲ θεωροῦμεν τὸ εἶδος τῆς ψ. ὡς εἶδος φωτὸς πεπληρωμένον καθ' ὅλου τοῦ σώματος χωρὶς τοῦ ἄρσενος καὶ τῆς θηλείας *V.Zos.*14(p.105. 21ff.); cf. Methodius' view that soul has teeth to gnash ζητητέον τῶν κολαζομένων τὸν βρυγμὸν τῶν ὀδόντων τῆς ψ. δύναμιν μασητικὴν ἐχούσης, ἥτις ἐν καιρῷ τοῦ ἐλέγχου περὶ τῶν ἁμαρτημάτων κατὰ τὸν συγκρουσμὸν τῶν ὀδόντων ὧν ἐφρόντισε βρύξει τοὺς ὀδόντας *res.*1.24 (p.248.19; M.41.1093C); hence **3.** rejection of: **a.** metempsychosis ἕως ἐν τῷ σώματί ἐστιν ἡ ψ. βλέπει, ἢ ἀπαλλαγεῖσα τούτου; καὶ ἕως μέν ἐστιν ἐν ἀνθρώπου εἴδει...μάλιστα δὲ ἀπολυθεῖσα τοῦ σώματος τυγχάνει οὗ ἤρα...πάντως. ... ἢ καὶ μέμνηται τούτου πάλιν ἐν ἀνθρώπῳ γενομένη; οὔ μοι δοκεῖ, ἔφην. τί οὖν ὄφελος ταῖς ἰδούσαις...; οὐκ ἔχω εἰπεῖν...αἱ δὲ ἀνάξιαι ταύτης τῆς θέας κριθεῖσαι τί πάσχουσιν; ἔφην· εἴς τινα θηρίων ἐνδεσμεύονται σώματα, καὶ αὕτη ἐστὶ κόλασις αὐτῶν. οἴδασιν οὖν ὅτι διὰ ταύτην τὴν αἰτίαν ἐν τοιούτοις εἰσὶ σώμασι καὶ ὅτι ἐξήμαρτόν τι; οὐ νομίζω. οὐδὲ ταύταις ἄρα ὄφελός τι τῆς κολάσεως, ὡς ἔοικεν· ἀλλ' οὐδὲ κολάζεσθαι αὐτὰς λέγοιμι...οὔτε οὖν ὁρῶσι τὸν θεὸν αἱ ψ., οὔτε μεταμείβουσιν εἰς ἕτερα σώματα Just.*dial.*4.4–7(M.6.485A,B);

cf. *de corpore autem in corpus transmigrationem ipsorum subvertamus ex eo, quod nihil omnino eorum quae ante fuerint, meminerint animae,* Iren.*haer.*2.33.1(M.7.830C); *perseverare animas, et non de corpore in corpus transire, ib.*2.34.1(835A); Manich. view stated *ἐρῶ...πῶς μεταγγίζεται ἡ ψ. εἰς πέντε σώματα. πρῶτον καθαρίζεται μικρόν τι ἀπ' αὐτῆς, εἶτα μεταγγίζεται εἰς κυνός ἢ εἰς καμήλου ἢ εἰς ἑτέρου ζώου σῶμα. ἐὰν δὲ ᾖ πεφονευκυῖα ψ., εἰς κελεφῶν σώματα μεταφέρεται· ἐὰν δὲ θερίσασα εὑρεθῇ, εἰς μογγιλάλους. τῆς δὲ ψ. ἐστι τὰ ὀνόματα ταῦτα, νοῦς, ἔννοια, φρόνησις, ἐνθύμησις, λογισμός* Hegem.*Arch.*10(p.15.6ff.; M.10.1441C); *τινὲς...ὑβρίζουσι τῇ κοινότητι τὸ ἀνθρώπινον, τὴν αὐτὴν ἀνὰ μέρος ἀνθρώπου τε καὶ ἀλόγου ψ. διοριζόμενοι γίνεσθαι, μετενδυομένην τὰ σώματα...ἢ πτηνόν, ἢ ἔνυδρον, ἢ χερσαῖόν τι ζῷον γινομένην μετὰ τὸν ἄνθρωπον* Gr.Nyss.*anim.et res.*(M.46.108B); **b.** belief that souls can become demons, Chrys.*hom.28.2 in Mt.*(7.336B–D); **c.** that they dissolve into air, v. *ἀήρ*; **4.** soul leaving earth immediately after death *ἔγνω δὲ ἐπακουσθείς* [sc. Christ], *ἐπείπερ πνεύματι εἶδεν ὅτι ἀποκατέστη ἡ τοῦ Λαζάρου ψ. ἐπὶ τὸ σῶμα αὐτοῦ, ἀναπεμφθεῖσα ἀπὸ τοῦ χωρίου τῶν ψ. οὐ γὰρ νομιστέον ὅτι ἡ ψ. τοῦ Λαζάρου παρὴν τῷ σώματι μετὰ τὴν ἔξοδον, καὶ ὡς παροῦσα ταχέως ἤκουσεν κράξαντος Ἰησοῦ...ἢ εἴπερ τις τοῦτο περὶ τῆς Λαζάρου ψ. ὑπολαμβάνει καὶ προσίεται τὸ περὶ τῆς ἀπαλλαγείσης ψ. σώματος ἄτοπον, ὡς παρακαθεζομένης τῷ νεκρῷ, λεγέτω πῶς ἠκούσθη ὁ Ἰησοῦς ἀπὸ τοῦ πατρός, μένοντος ἔτι νεκροῦ τοῦ Λαζάρου σώματος, καὶ τῆς ψ. κεχωρισμένης μέν,...παρακαθεζομένης δὲ τῷ σώματι. ἵνα γὰρ τοῦτο συγχωρηθῇ, οὐκ ἂν ἠκοῦσθαι εἴποι μὲν τὸν Ἰησοῦν μέλλοντα ἀκούεσθαι ὅτε ἡ ψ. ἐνοικίζετο τῷ σώματι...ᾔτησεν γὰρ ἐπανελθεῖν τὴν ψ. καὶ ἐνοικισθῆναι πάλιν τῷ σώματι* Or.*Jo.*28.6(5; pp.395.31–396.10; M.14.689C–692A); *τοῦ σώματος αἱ ψ. ἐξελθοῦσαι, οὐκ ἔτι ἐνταῦθα διατρίβουσιν, ἀλλ' εὐθέως ἀπάγονται* Chrys.*Laz.*2.2(1.729A); *οὐδὲ γὰρ ἕνι ψ. ἀπορραγεῖσαν τοῦ σώματος ἐνταῦθα πλανᾶσθαι λοιπὸν...αἱ τῶν δικαίων, καὶ αἱ τῶν παίδων...καὶ αἱ τῶν ἁμαρτωλῶν δὲ εὐθέως ἐντεῦθεν ἀπάγονται. καὶ δῆλον ἀπὸ τοῦ Λαζάρου καὶ τοῦ πλουσίου... οὐχ οἷόν τε ψ. ἐξελθοῦσαν τοῦ σώματος ἐνταῦθα πλανᾶσθαι...πῶς ἡ τοῦ σώματος ἀπορραγεῖσα ψ. καὶ τῆς συνηθείας ἐξελθοῦσα πάσης, εἴσεται ποῦ δεῖ βαδίζειν ἄνευ τοῦ καθοδηγοῦντος αὐτήν; καὶ πολλαχόθεν δὲ ἑτέρωθεν ἂν τις κατίδοι, ὅτι οὐκ ἔνι ψ. ἐξελθοῦσαν ἐνταῦθα μεῖναι* id. *hom.28.3 in Mt.*(7.336D–337A); this doctrine discussed, ref. apparition of saints in their sanctuaries, ‡Ath.*qu.Ant.*26(M.28.613B); **5.** intermediate state of souls before gen. resurrection; assumed by some authors against those who deny resurrection of body *βλασφημεῖν τολμῶσι τὸν θεὸν...οἳ καὶ λέγουσι μὴ εἶναι νεκρῶν ἀνάστασιν, ἀλλὰ ἅμα τῷ ἀποθνήσκειν τὰς ψ. αὐτῶν ἀναλαμβάνεσθαι εἰς τὸν οὐρανόν* Just.*dial.*80.4(M.6.665A); *αἱ ψ. ἀπέρχονται εἰς τὸν... τόπον τὸν ὡρισμένον αὐταῖς ἀπὸ τοῦ θεοῦ, κἀκεῖ μέχρι τῆς ἀναστάσεως φοιτῶσι, περιμένουσαι τὴν ἀνάστασιν· ἔπειτα ἀπολαβοῦσαι τὰ σώματα, καὶ ὁλοκλήρως ἀναστᾶσαι, τουτέστι σωματικῶς* Iren. *haer.*5.31.2(M.7.1209B); Hipp.*Graec.*2(M.10.800A); *δῆλον, ὅτι μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν εἰς χώραν τινὰ ἀπάγονται αἱ ψ., οὐκ ἔτι κυρίαι οὖσαι ἐπανελθεῖν, ἀλλὰ τὴν φοβερὰν ἐκείνην ἡμέραν ἀναμένουσαι* Chrys.*hom.28.3 in Mt.*(7.337B); v. *ᾅδης*; **6.** difference in souls' eternal destiny dependent on their earthly life, opp. pagan philosophers' views *ὁ τοῦτ' αὐτό, φησί* [sc. Plato], *ὃν ἐπέκεινα πάσης οὐσίας,...ἐξαίφνης ταῖς εὖ πεφυκυίαις ψ. ἐγγινόμενον διὰ τὸ συγγενὲς καὶ ἔρωτα τοῦ ἰδέσθαι...τίς οὖν ἡμῖν, ἔλεγε* [sc. Trypho], *συγγένεια πρὸς τὸν θεόν ἐστιν; ἢ καὶ ἡ ψ. θεία καὶ ἀθάνατός ἐστι καὶ αὐτοῦ ἐκείνου τοῦ βασιλικοῦ νοῦ μέρος; ὡς δὲ ἐκεῖνος ὁρᾷ τὸ θεῖον, οὕτω καὶ ἡμῖν ἐφικτὸν τῷ ἡμετέρῳ νῷ συλλαβεῖν τὸ θεῖον;...πᾶσαι δὲ αὐτὸ διὰ πάντων αἱ ψ. χωροῦσι τῶν ζώων, ἠρώτα, ἢ ἄλλη μὲν ἀνθρώπου, ἄλλη δὲ ἵππου καὶ ὄνου; οὐκ, ἀλλ' αἱ αὐταὶ ἐν πᾶσίν εἰσιν, ἀπεκρινάμην. ὄψονται ἄρα, φησί, καὶ ἵπποι...τὸν θεόν; οὔ, ἔφην· οὐδὲ γὰρ οἱ πολλοὶ τῶν ἀνθρώπων, εἰ μή τις ἐν δίκῃ βιώσαιτο* Just.*dial.*4.1,2(M.6.484A,B); *εἰ δὲ κόσμος γεννητός, ἀνάγκη καὶ τὰς ψ. γεγονέναι...ἀλλὰ μὴν οὐδὲ ἀποθνήσκειν φημὶ πάσας τὰς ψ. ἐγώ· ἔρμαιον γὰρ ἦν ὡς ἀληθῶς τοῖς κακοῖς. ἀλλὰ τί; τὰς μὲν τῶν εὐσεβῶν ἐν κρείττονί ποι χώρῳ μένειν, τὰς δὲ ἀδίκους...ἐν χείρονι, τὸν τῆς κρίσεως ἐκδεχομένας χρόνον τότε. οὕτως αἱ μέν, ἄξιαι τοῦ θεοῦ φανεῖσαι, οὐκ ἀποθνήσκουσιν ἔτι· αἱ δὲ κολάζονται, ἕστ' ἂν αὐτὰς καὶ εἶναι καὶ κολάζεσθαι ὁ θεὸς θέλῃ ib.*5.2,3(488A); Clem.*str.*4.26(p.322.29; M.8.1377A); Or.*Cels.*6.23 (p.93.24; M.11.1325C); *ὅταν ἐξέλθῃ ἐκ τοῦ σώματος ψ. ἀνθρώπου μυστήριόν τι μέγα ἐκεῖ ἐπιτελεῖται. ἐὰν γὰρ ᾖ ὑπεύθυνος ἐν ἁμαρτίαις, ἔρχονται χοροὶ δαιμόνων...παραλαμβάνουσι τὴν ψ. ἐκείνην, καὶ κρατοῦσιν εἰς τὸ ἴδιον μέρος...ἀπὸ τοῦ μέρους τοῦ ἀγαθοῦ ὀφείλεις νοῆσαι, ὅτι οὕτως ἔχει τὰ πράγματα...ὅταν ἐξελθῶσιν ἀπὸ τοῦ σώματος, οἱ χοροὶ τῶν ἀγγέλων παραλαμβάνουσιν αὐτῶν τὰς ψ.* Mac.Aeg.*hom.* 22(M.34.660A,B); souls can be saved only if they have image of Christ impressed on them, *ib.*30.5(724C,D); *ὅταν γὰρ ἐξέλθῃ ἡ ψ. ἀπὸ τοῦ σώματος, πορεύονται μετ' αὐτῆς οἱ ἄγγελοι. καὶ τότε ἐξέρχονται εἰς συνάντησιν αὐτῆς πᾶσαι αἱ δυνάμεις τοῦ σκότους, θέλουσαι αὐτὴν κατασχεῖν, ἐξερευνῶντες εἰ ἄρα ἔχουσί τι τῶν ἑαυτῶν ἐν αὐτῇ. τότε οὐχ οἱ ἄγγελοι πολεμοῦσιν αὐτοῖς, ἀλλὰ τὰ ἔργα ἃ ἔπραξε περιτειχίζει καὶ φυλάττει αὐτὴν ἀπ' αὐτῶν, ἵνα μὴ ἅψωνται αὐτῆς* Esaias *or.*16; ‡Ath. *qu.Ant.*19(M.28.609A); **7.** necessity of purification either before or after death in order to obtain beatitude *εἰ τοίνυν εἴτε ἐκ τῆς νῦν ἐπιμελείας, εἴτε ἐκ τῆς μετὰ ταῦτα καθάρσεως ἐλευθέρα γένοιτο ἡμῖν ἡ ψ. τῆς πρὸς τὰ ἄλογα τῶν παθῶν συμφύσεως, οὐδὲν πρὸς τὴν τοῦ καλοῦ θεωρίαν ἐναποδισθήσεται...εἰ οὖν πάσης κακίας ἡ ψ. καθαρεύσειεν, ἐν τῷ καλῷ πάντως ἔσται* Gr.Nyss.*anim.et res.*(M.46.89B); *τῆς κακίας τῷ ἀκιμήτῳ πυρὶ δαπανωμένης, ἀνάγκη πᾶσα καὶ τὴν ἐνωθεῖσαν αὐτῇ ψ. ἐν τῷ πυρὶ εἶναι, ὡς ἂν τὸ κατεσπαρμένον νόθον καὶ ὑλῶδες, καὶ κίβδηλον ἀπαναλωθῇ τῷ αἰωνίῳ πυρὶ δαπανώμενον ib.*(100A); hence souls can profit if eucharist is offered for them *οὐκ αἰσθάνονταί τινος εὐεργεσίας καὶ αἱ τῶν ἁμαρτωλῶν ψ., γινομένων ὑπὲρ αὐτῶν συνάξεων καὶ εὐποιιῶν καὶ προσφορῶν; εἰ μή τινες εὐεργεσίας μετεῖχον ἐκ τούτου, οὐκ ἂν ἐν τῇ προσκομιδῇ ἐμνημονεύοντο. ἀλλ' ὥσπερ ὅταν ἡ ἄμπελος ἀνθεῖ ἔξω ἐν τῷ ἀγρῷ, αἰσθάνεται δὲ τῆς ὀσμῆς αὐτῆς ὁ ἀποκεκλεισμένος οἶνος, καὶ συναν θεῖ καὶ αὐτός· οὕτω νόει καὶ τὰς τῶν ἁμαρτωλῶν ψ. μετέχειν εὐεργεσίας τινὸς ἐκ τῆς ὑπὲρ αὐτῶν γενομένης ἀναιμάκτου θυσίας καὶ εὐποιΐας, ὡς μόνος ἐπίσταται...θεὸς ἡμῶν* ‡Ath.*qu.Ant.* 34(M.28.617B); and they are prayed for in liturgy, Seraf.*Euc.*13.18; **8.** description of soul's eternal life; **a.** of beatitude, ref. 2Cor.5:3 *ἐὰν γὰρ καταλυθῇ ἡμῶν ὁ οἶκος τοῦ σώματος, οὐκ ἔχομεν ἄλλον οἶκον, εἰς ὃν καταλύσει ἡμῶν ἡ ψ. 'εἶγε', φησί, 'καὶ ἐνδυσάμενοι οὐ γυμνοὶ εὑρεθησόμεθα' τουτέστιν ἀπὸ τῆς κοινωνίας...τοῦ ἁγίου πνεύματος, εἰς ἣν μόνον ἡ πιστὴ ψ. ἀναπαύεσθαι δύναται* Mac.Aeg.*hom.*5.7(M.34. 512D); *ψ. πᾶσα καλὴ καὶ θεοφιλής, ἐπειδάν, τοῦ συνδεδεμένου λυθεῖσα σώματος, ἐνθένδε ἀπαλλαγῇ, εὐθὺς μὲν ἐν συναισθήσει καὶ θεωρίᾳ τοῦ μένοντος αὐτὴν καλοῦ γενομένη* Gr.Naz.*or.*7.21(M.35.781B); *ἡ ψ. ἐξέρχεται τοῦ σώματος καὶ προσέρχεται τοῖς ἀγγέλοις· καὶ ἰδόντες τὴν ψ. ἄσπιλον ἐξερχομένην χαίρουσιν οἱ ἄγγελοι, καὶ ἁπλώσαντες τὰς στολὰς αὐτῶν δέχονται αὐτήν· τότε μακαριοῦσιν αὐτὴν οἱ ἄγγελοι λέγοντες· μακαρία σὺ ψ., ὅτι ἐπληρώθη τὸ θέλημα τοῦ κυρίου ἐν σοί V.Zos.*13 (p.105.2ff.); **b.** of damnation *ἐμπαθὴς ψ., πάντοτε κολάζεται...ὑπὸ τῆς ἰδίας κακοεξίας, ἔχουσα ἀεὶ τὴν πικρὰν μνήμην...τῶν παθῶν...πικροτέρα πάσης γεέννης ἡ κόλασις τῆς αἰσχύνης...πάντα γὰρ μέμνηνται αἱ ψ. τῶν ἐνταῦθα...καὶ λόγων καὶ ἔργων καὶ ἐνθυμήσεων* Dor.*doct.*12.3(M.88. 1752C–1753A); **c.** of souls' partic. characteristics and activities in eternity; facilities for knowing each other, ‡Ath.*qu.Ant.*22(M.28. 612A); relations to the living *ἆρα δὲ μέμνηνται ἡμῶν αἱ ἀπελθοῦσαι ψ.;...αἱ μὲν τῶν ἁγίων πάντως, αἱ δὲ τῶν ἁμαρτωλῶν...οὐδαμῶς. τὴν γὰρ μένουσαν αὐτοῖς ἐκδεχόμενοι κόλασιν, εἰκότως περὶ ταύτης καὶ μόνον μεριμνῶσι, μηδενὸς ἑτέρου φροντίζοντες ib.*32(616C,D); their way of life *τί...τὸ ἔργον ἐκεῖ τῶν προαπελθουσῶν ψ.; ψ. σώματος ἀπηλλαγμένη οὔτε ἀγαθόν τι οὔτε πονηρὸν διαπράξασθαι δύναται... ὥσπερ γὰρ ἡ λύρα, ἐὰν μὴ ἔχει τὸν κρούοντα, ἀργὴ ὁρᾶται καὶ ἄπρακτος· οὕτω καὶ ἡ ψ. καὶ τὸ σῶμα, ἐξ ἀλλήλων χωρισθέντα, οὐδὲν ἐνεργῆσαι δύναται. αἱ γοῦν τῶν ἁγίων ψ., ὑπὸ τοῦ ἁγίου πνεύματος ἐνεργούμεναι, μετὰ ἀγγέλων ἐν χώρᾳ ζώντων θεὸν ὑμνοῦσι ib.*33(617A); **9.** soul's reunion with body, v. *ἀνάστασις*; **a.** in gen. *ἑκάστῳ σώματι ἡ ἰδία ψ. ἀποδοθήσεται* Iren.*fr.*12(M.7.1236A); exeg. Eccl.12:5 *παχύνεται ἡ ἀκρίς (ἡ πτερωτὴ ψ., τὸ σῶμα περιβαλλομένη)* Cyr.H.*catech.*15.20; *ἐν δὲ τῇ ἀναστάσει τῶν σωμάτων, ὧν προανέστησαν καὶ προεδοξάσθησαν αἱ ψ., τότε καὶ τὰ σώματα συνδοξάζονται, καὶ φωτίζονται τῇ ἀπὸ τοῦ νῦν πεφωτισμένῃ καὶ δεδοξασμένῃ ψ.* Mac.Aeg.*hom.*34.2(M.34.745A); Gr.Nyss.*or.catech.*16(p.72.9; M.45.52D) cit. s. *ἀνάστασις*; **b.** exeg. 1Thess.4:15f. *οἱ νεκροὶ ἐν Χριστῷ ἀναστήσονται πρῶτον (τουτέστι τὰ σκηνώματα. ἐνεκρώθησαν γὰρ ἁπαμβιασθέντα τῶν ψ.). ἔπειτα ἡμεῖς οἱ ζῶντες ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα, τὰς ψ. λέγων· ἡμεῖς γὰρ κυρίως οἱ ζῶντές ἐσμεν αἱ ψ., αἵτινες μετὰ τῶν σωμάτων, ἀπειληφυῖαι ταῦτα, ἐν νεφέλαις ὑπαντησόμεθα* Meth.*symp.*6.4(p.69.8ff.; M.18.120B); **c.** its necessity argued on ground of justice *εἰ δὲ φθείροιτο μὲν τὸ σῶμα ...μένοι δὲ ἡ ψ. καθ' ἑαυτὴν ὡς ἄφθαρτος, οὐδ' οὕτως ἔξει χώραν ἡ κατ' αὐτῆς κρίσις, μὴ παρούσης δικαιοσύνης...κατορθωμάτων τε γὰρ τιμωμένων, ἀδικηθήσεται τὸ σῶμα σαφῶς ἐκ τοῦ κοινωνῆσαι μὲν τῇ ψ. τῶν ἐπὶ τοῖς σπουδαζομένοις πόνων, μὴ κοινωνῆσαι δὲ τῆς ἐπὶ τοῖς κατορθωθεῖσι τιμῆς καὶ συγγνώμης μὲν τυγχάνειν πολλάκις τὴν ψ. ἐπί τινων πλημμελημάτων διὰ τὴν τοῦ σώματος ἔνδειαν ...ἐκπίπτειν δὲ αὐτὸ τὸ σῶμα ἐπὶ τοῖς κατορθωθεῖσι κοινωνίας, ὑπὲρ ὧν τοὺς ἐν τῇ ζωῇ συνδιήνεγκεν πόνους. καὶ μὴν καὶ πλημμελημάτων κρινομένων οὐ σῴζεται τῇ ψ. τὸ δίκαιον, εἴ γε μόνη τίνοι δίκην ὑπὲρ ὧν ἐνοχλοῦντος τοῦ σώματος καὶ πρὸς τὰς οἰκείας ὁρέξεις...ἔλκοντος ἐπλημμέλησεν...ἢ πῶς οὐκ ἄδικον τὴν ψ. κρίνεσθαι καθ' ἑαυτὴν ὑπὲρ ὧν οὐδ' ἠντινοῦν ἔχει, κατὰ τὴν ἑαυτῆς φύσιν, οὐκ ὄρεξιν;* Athenag.*res.*

20f.(pp.73.17–74.7; M.6.1013C–1016B); Epiph.*anc.*88(p.109.26f.; M.43.180D); *ἀδικεῖς τὴν ψ. συνηγορίας προσχήματι, καὶ τῇ πρὸς τὸ σῶμα μάχῃ κατ' ἐκείνης ὁπλίζῃ. τὰς γὰρ τῶν πραττομένων ἀμοιβὰς μὴ μερίζων τῇ ψ., καὶ τὴν τῆς σαρκὸς ὡς μόνῃ πλημμελούσῃ τιμωρίαν εἰσάγεις. εἰ γὰρ ψ. μόνης αἱ τῶν πόνων...ἀμοιβαί, δῆλον ὅτι καὶ ὧν ἥμαρτεν ὁ ἄνθρωπος αἱ τιμωρίαι...μὴ σώματι καὶ ψ. καθίζῃς κατ' ἀλλήλων κριτήριον. σῶμα μὲν γὰρ εἰκότως καταβοήσεται ψυχῆς, τῶν κατορθωμάτων αὐτοῦ τὰς τιμὰς ἁρπαζούσης· ψ. δ' αὖ σώματος, τὰς ὀφειλομένας πληγὰς ἐκείνῳ μόνῃ εἰσπραττομένη* ‡Nil.*fr.Pasch.*1(M.79.1493B,C); *αἱ...ἱεραὶ ψ. πρὸς τὴν ἐπὶ τὰ χείρω κατὰ τὸν τῇδε βίον δυνάμει καταπίπτειν τροπήν, ἐν τῇ παλιγγενεσίᾳ τὴν ἐπὶ τὸ ἄτρεπτον ἔξουσι...μετάταξιν. τὰ δὲ καθαρὰ τῶν ἱερῶν ψ., ὁμόζυγα...σώματα συναπογραφέντα...κατὰ τοὺς θείους αὐτῶν ἱδρῶτας, ἐν τῇ τῶν ψ. ἀτρέπτῳ...ἱδρύσει, συναπολήψεται τὴν οἰκείαν ἀνάστασιν· ἐνωθέντα γὰρ αἷς ἤνωντο κατὰ τὸν τῇδε βίον ἱεραῖς ψ. ... τὴν θεοειδῆ...ἀπολήψεται λῆξιν* Dion.Ar.*e.h.*7.1.1(M.3.553A,B); heterodox opinions refuted *τῶν δὲ ἀνιέρων...οἱ δὲ τὴν σωματικὴν εἰσάπαξ ἀπορρήγνυσθαι τῶν οἰκείων ψ. συζυγίαν, ὡς ἀνάρμοστον αὐταῖς, ἐν θεοειδεῖ ζωῇ καὶ μακαρίαις λήξεσιν, οὐκ ἐννοήσαντες...ἀρχθεῖσαν ἤδη τὴν καθ' ἡμᾶς ἐν Χριστῷ...ζωήν. ἄλλοι δὲ σωμάτων ἄλλων ἀπονέμουσι ταῖς ψ. συζυγίας, ἀδοκοῦντες τὸ ἐπ' αὐτοῖς...τὰ συμπονήσαντα ταῖς θείαις ψ. ib.*7.1.2 (553B,C); *εἰ γὰρ ἐν ψ. καὶ σώματι τὴν θεοφιλῆ ζωὴν ὁ κεκοιμημένος ἐβίω, τίμιον ἔσται μετὰ τῆς ὁσίας ψ. καὶ τὸ συναθλῆσαν αὐτῇ σῶμα... ἔνθεν ἡ θεία δικαιοσύνη μετὰ τοῦ σφετέρου σώματος αὐτῇ δωρεῖται τὰς ἀμοιβαίας λήξεις...διὸ καὶ τῶν ἱερῶν ἡ θεία θεσμοθεσία τὰς θεαρχικὰς κοινωνίας ἀμφοῖν δωρεῖται· τῇ ψ. μὲν ἐν καθαρᾷ θεωρίᾳ...τῷ σώματι δὲ κατὰ τὸ θειότατον ὡς ἐν εἰκόνι μύρον ib.*7.3.9(565B); **10.** Gnost.; **a.** distinction between different types of souls and their destiny *τὸ μὲν χοϊκὸν εἰς φθορὰν χωρεῖν· καὶ τὸ ψυχικόν, ἐὰν τὰ βελτίονα ἕληται, ἐν τῷ τῆς μεσότητος τόπῳ ἀναπαύ[σ]εσθαι· ἐὰν δὲ τὰ χείρω, χωρήσειν καὶ αὐτὸ πρὸς τὰ ὅμοια· τὰ δὲ πνευματικά, ἃ ἂν κατασπείρῃ ἡ Ἀχαμὼθ ἕκτοτε ἕως τοῦ νῦν δικαίαις ψ., παιδευθέντα ἐνθάδε καὶ ἐκτραφέντα, διὰ τὸ νήπια ἐκπεπέμφθαι, ὕστερον τελειότητος ἀξιωθέντα, νύμφας ἀποδοθήσεσθαι τοῖς τοῦ Σωτῆρος ἀγγέλοις δογματίζουσι, τῶν ψ. αὐτῶν ἐν μεσότητι κατ' ἀνάγκην μετὰ τοῦ Δημιουργοῦ ἀναπαυσαμένων εἰς τὸ παντελές. καὶ αὐτὰς μὲν τὰς ψυχικὰς* [sc. *ψυχάς*] *πάλιν ὑπομερίζοντες λέγουσιν, ἃς μὲν φύσει ἀγαθάς, ἃς δὲ φύσει πονηράς· καὶ τὰς μὲν ἀγαθὰς ταύτας εἶναι τὰς δεκτικὰς τοῦ σπέρματος γινομένας· τὰς δὲ φύσει πονηρὰς μηδέποτε ἂν ἐπιδέξασθαι ἐκεῖνο τὸ σπέρμα* Iren.*haer.*1.7.5(M.7.520A); cf.*ib.*1.7.1(512B–513A); *λαβὼν χοῦν ἀπὸ τῆς γῆς...ποικίλης ὕλης μέρος, ψ. γεώδη καὶ ὑλικὴν ἐτεκτήνατο ἄλογον καὶ τῇ τῶν θηρίων ὁμοούσιον* Clem.*exc.Thdot.*50(p.123.10; M.9.681D); *ἡ...τῶν πνευματικῶν ἀνάπαυσις ἐν κυριακῇ, ἐν ὀγδοάδι, ἣ κυριακὴ ὀνομάζεται, παρὰ τῇ μητρί, ἐχόντων τὰς ψ., τὰ ἐνδύματα, ἄχρι συντελείας, αἱ δὲ ἄλλαι πίστεις ψ. παρὰ τῷ δημιουργῷ, περὶ δὲ τὴν συντέλειαν ἀναχωροῦσι καὶ αὗται εἰς ὀγδοάδα ib.*63(p.128.10ff.; 689B); exeg. Gen.2:23 *ἐν τῷ παραδείσῳ... χοϊκὴ σὰρξ οὐκ ἀναβαίνει, ἀλλ' ἦν τῇ ψ. ⟨τῇ⟩ θείᾳ οἷον σὰρξ ἡ ὑλική. ταῦτα σημαίνει 'τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου', τὴν θείαν ψ. αἰνίσσεται τὴν ἐγκεκρυμμένην τῇ σαρκί...'καὶ σὰρξ ἐκ τῆς σαρκός μου' τὴν ὑλικὴν ψ. σῶμα οὖσαν τῆς θείας ψ. ib.*51(pp.123.20–124.3; 684A,B); **b.** salvation of souls only, not of bodies, Iren.*haer.*1.24.5(M.7.678A); refuted, *ib.*2.29.1(812C); Adam.*dial.*2.7(p.70.8ff.; M.11.1769A); scriptural argument *οὔτε προφῆται οὔτε ἀπόστολοι μνήμην ἐποιήσαντο σαρκὸς ἢ αἵματος ἀλλὰ ψ. μόνης, ἣν καὶ ηὔχοντο σῶσαι ib.*5.20(p.214.4; 1860A); refuted *δέδεικται δὲ ὅτι ὅλον τὸν ἄνθρωπον ψ. ὀνομάζει ἡ γραφή ib.*(p.214.25; 1860B); **c.** description of progressive purification of souls (Manichean), Hegem.*Arch.*8(pp.12.14–13.13; M.10.1440B–1441A); cf.Thdt.*haer.*1.26(4.320); **11.** resurrection of souls (heret.) *ἐπὶ τῆς Ἀραβίας...ἐπιφύονται δόγματος ἀλλοτρίου τῆς ἀληθείας εἰσηγηταί, οἳ ἔλεγον τὴν ἀνθρωπείαν ψ. τέως μὲν κατὰ τὸν ἐνεστῶτα καιρὸν ἅμα τῇ τελευτῇ συναποθνῄσκειν τοῖς σώμασιν... αὖθις δέ ποτε κατὰ τὸν τῆς ἀναστάσεως καιρὸν σὺν αὐτοῖς ἀναβιώσεσθαι* Eus.*h.e.*6.37(M.20.597B); refuted *ἐὰν γὰρ ἀνάστασιν εἴπωσιν αἱ αἱρέσεις καὶ ὅλως ἀνάστασιν ἡγοῦνται, περὶ ψ. δὲ τοῦτο ὁρίζωνται, εὐηθές ἐστι τὸ τοιοῦτον. πῶς γὰρ ψ. ἀναστήσεται ἡ μὴ πεπτωκυῖα; οὐ γὰρ θάπτομεν τὰς ψ. ἐν τοῖς μνημείοις, ἀλλὰ τὰ σώματα. ψ. γὰρ οὐ πίπτουσιν, ἀλλ' αἱ σάρκες...τοίνυν εἰ ἀνάστασις παρ' αὐτοῖς ὁμολογεῖται ...δῆλόν ἐστιν ⟨ὅτι⟩ οὐ ψ., ἀλλὰ σώματος τοῦ πεπτωκότος* Epiph.*anc.* 86(p.106.11ff.; M.43.176C); **12.** pagan; superstitious practices as evidence of belief in immortality *ψ. ἀνθρωπίνων κλήσεις...πεισάτωσαν ὑμᾶς, ὅτι καὶ μετὰ θάνατον ἐν αἰσθήσει εἰσὶν αἱ ψ.* Just.*1apol.* 18.3(M.6.356A); punishment after death also taught by pagans *τῷ δὲ κολάζεσθαι ἐν αἰσθήσει καὶ μετὰ θάνατον οὖσας τὰς τῶν ἀδίκων ψ., τὰς δὲ τῶν σπουδαίων ἀπηλλαγμένας τῶν τιμωριῶν εὖ διάγειν ib.*20.4 (357C); who derived ideas from scripture, *ib.*44.9(396A); Or.*Cels.*7.5(p.156.25; M.11.1425C).

G. non-human souls; **1.** essential difference between human and non-human souls *ψ. ... ἀόρατοι, οὐ μόνον αἱ λογικαί, ἀλλὰ καὶ αἱ τῶν ἀλόγων ζῴων* Clem.*str.*6.18(p.516.11; M.9.396C); *βούλεται ὁ Κέλσος (καὶ γὰρ ἐν πολλοῖς Πλατωνίζειν θέλει) ὁμοειδῆ εἶναι πᾶσαν ψ., καὶ μηδὲν διαφέρειν τὴν τοῦ ἀνθρώπου τῆς τῶν μυρμήκων καὶ τῶν μελισσῶν· ὅπερ κατάγοντός ἐστι τὴν ψ. ἀπὸ τῶν ἀψίδων τοῦ οὐρανοῦ οὐκ ἐπὶ τὸ ἀνθρώπινον σῶμα μόνον ἀλλὰ καὶ ἐπὶ τὰ λοιπά. τούτοις δ' οὐ πείσονται Χριστιανοί, προκατειληφότες τὸ ⟨κατ' εἰκόνα⟩ γεγονέναι θεοῦ τὴν ἀνθρωπίνην ψ. καὶ ὁρῶντες ὅτι ἀμήχανόν ἐστι τὴν ⟨κατ' εἰκόνα⟩ θεοῦ δεδημιουργημένην φύσιν πάντῃ ἀπαλεῖψαι τοὺς χαρακτῆρας αὐτῆς καὶ ἄλλους ἀναλαβεῖν οὐκ οἶδα κατ' εἰκόνας τίνων γεγενημένους ἐν τοῖς ἀλόγοις* Or.*Cels.*4.83(p.354.12ff.; M.11.1157B); which rules out metempsychosis, Bas.*hex.*8.2(1.71C,D; M.29.168A,B); **2.** world soul; **a.** in pagan philosophy *ὅ γε τῆς αἱρέσεως πατήρ* [sc. Aristotle], *τῶν ὅλων οὐ νοήσας τὸν πατέρα, τὸν καλούμενον ὕπατον ψ. εἶναι τοῦ παντὸς οἴεται· τουτέστι τοῦ κόσμου τὴν ψ. θεὸν ὑπολαμβάνων αὐτὸς αὐτῷ περιπείρεται* Clem.*prot.*5(pp.50.29–51.1; M.8.169B); *Ἑλλήνων...τινες, ψ. τοῦ κόσμου τὸν θεὸν εἶπον* Cyr.H.*catech.*8.2; **b.** Ophite *ἡ τῶν ὅλων ψ. καὶ ὠνομάζετο Λευϊαθάν, ὅντινα αἱ Ἰουδαίων γραφαὶ ὅ τί ποτ' οὖν αἰνισσόμεναι ἔλεγον πεπλάσθαι ὑπὸ τοῦ θεοῦ παίγνιον* Or.*Cels.*6.25 (p.95.5; M.11.1329A); *ib.*6.35(p.104.15; 1349B); **3.** souls of stars, cf. *de caelestibus requirendum est quod non eo tempore, quo factus est mundus, solis anima vel quodcumque eam appellari oportet, esse coeperit, sed antequam lucens illud et ardens corpus intraret. de luna et stellis similiter sentiamus, quod ex causis praecedentibus licet invitae compulsae sint subici vanitati,* Or.*princ.*2.8.3(p.161.8ff.; M.11.223C,D); *ἡ ψ. τοῦ ἡλίου ἐν σώματι καὶ πᾶσα ἡ κτίσις, περὶ ἧς ὁ ἀπόστολός φησι· πᾶσα ἡ κτίσις στενάζει* id.*Jo.*1.17(p.21.21; M.14.52C); *πρεσβυτέρα ἡ ψ. τοῦ ἡλίου τῆς ἐνδέσεως αὐτοῦ τῆς εἰς τὸ σῶμα* id. *princ.*1.7.4(p.91.5; M.11.174A); **4.** plant and animal souls *Ἀριστοτέλης δὲ τῆς φυτικῆς τε καὶ θρεπτικῆς ψ. μετέχειν οἴεται τὰ φυτά* Clem.*str.*8.4(p.86.2; M.9.573A); ref. divination *εἴπερ δὲ θεία ἐστὶν ἡ τῶν ὀρνίθων ψ. διὰ τὸ δι' αὐτῶν προλέγεσθαι τὰ μέλλοντα, πῶς οὐχὶ μᾶλλον ὅπου κληδόνες ἀπὸ ἀνθρώπων λαμβάνονται, θείαν εἶναι φήσομεν τὴν ψ. ἐκείνων, δι' ὧν αἱ κληδόνες ἀκούονται;...ἤδη δὲ ὅρα, εἴπερ οἱ ὄρνιθες θείαν ἔχουσι ψ. καὶ αἰσθάνονται τοῦ θεοῦ ἤ, ὡς Κέλσος ὀνομάζει, τῶν θεῶν· δηλονότι καὶ ἡμεῖς πτερνύμενοι οἱ ἄνθρωποι ἀπό τινος ἐν ἡμῖν οὔσης θειότητος καὶ μαντικῆς περὶ τὴν ψ. ἡμῶν πτερνύμεθα* Or. *Cels.*4.94(p.367.3ff.; M.11.1172D–1173D); Anast.S.*serm.imag.*3(M.89. 1165D).

II. spiritual life of soul; **A.** foundations; **1.** affinity between God and soul made in his image (cf. *εἰκών*), Or.*princ.*2.3.3(p.117.20; M. 11.191B); id.*mart.*47(p.42.30; M.11.629A); *τὸ συγγενὲς ἐπιγνοῦσα ἡ λογικὴ ψ. ἀπορρίπτει μὲν ἃ τέως ἐδόξαζεν εἶναι θεοὺς φίλτρον δ' ἀναλαμβάνει φυσικὸν τὸ πρὸς τὸν κτίσαντα* id.*Cels.*3.40(p.236.22; M.11. 972C); *ib.*7.66(p.216.9; 1516A); Meth.*symp.*6.1(p.64.18; M.18.113B); Cyr.H.*catech.*4.18; *οὔτε γὰρ φύσεως τῆς θεότητός ἐστιν ἡ ψ., οὔτε φύσεως τοῦ σκότους τῆς πονηρίας, ἀλλ' ἐστὶ κτίσμα τι νοερόν, καὶ ὡραῖον...καὶ καλὸν ὁμοίωμα καὶ εἰκὼν θεοῦ* Mac.Aeg.*hom.*1.7(M.34. 457B); *ὥσπερ βρέφος νεογενὲς εἰκόνα τοῦ τελείου διασώζει ἀνδρός, οὕτω δὴ καὶ ψ. εἰκών τίς ἐστι τοῦ πεποιηκότος αὐτὴν θεοῦ. ὡς οὖν καὶ παιδίον κατὰ μέρος μὲν αὐξανόμενον ἐκ μέρους ἐπιγινώσκει καὶ τὸν πατέρα...οὕτω καὶ ἡ ψ. πρὸ τῆς παρακοῆς προκόπτειν ἔμελλε* id. *pat.*18(M.34.877D–880A); cf. *χρὴ καὶ τὴν ψ. πρὸς τὴν ἰδίαν ἀπιδεῖν εἰκόνα, καὶ ὅπερ ἂν ἴδῃ ἐν τῷ χαρακτῆρι, ᾧ ἀφωμοίωται, ὡς ἴδιον ἑαυτῆς τοῦτο θεάσασθαι...ἐπὶ...τῆς ἐν τῷ κατόπτρῳ μορφῆς, ἡ εἰκὼν πρὸς τὸ ἀρχέτυπον σχηματίζεται· ἐπὶ δὲ τοῦ τῆς ψ. χαρακτῆρος, τὸ ἔμπαλιν νενοήκαμεν· κατὰ γὰρ τὸ θεῖον κάλλος, τὸ τῆς ψ. εἶδος ἀπεικονίζεται. οὐκοῦν ὅταν πρὸς τὸ ἀρχέτυπον ἑαυτῆς βλέπῃ ἡ ψ., τότε δι' ἀκριβείας ἑαυτὴν καθορᾷ. τί τοίνυν ἐστὶ τὸ θεῖον, ᾧ ἡ ψ. προσωμοίωται; οὐ σῶμα, οὐ σχῆμα...οὐκ ἄλλο τι τοιοῦτον οὐδέν, δι' ὧν ἡ ὑλικὴ κτίσις γνωρίζεται· ἀλλὰ...νοερόν τι καὶ ἄϋλον...εἰ τοίνυν τοιοῦτος ὁ χαρακτὴρ τοῦ ἀρχετύπου καταλαμβάνεται, ἀκόλουθον πάντως κατὰ τὸ εἶδος ἐκεῖνο μεμορφωμένην τὴν ψ. διὰ τῶν αὐτῶν χαρακτήρων ἐπιγνωσθῆναι· ὥστε καὶ ταύτην ἄϋλον τε εἶναι...καὶ ἀσώματον* Gr. Nyss.*mort.*(M.46.509C,D); *κατ' εἰκόνα εἶπεν, ἐπειδὴ ἄφθαρτον καὶ αὐτεξούσιον ἐποίησεν ὁ θεὸς τὴν ψ.* Dor.*doct.*12.6(M.88.1757C); but dist. from image *δύο πνευμάτων διαφορὰς ἴσμεν ἡμεῖς, ὧν τὸ μὲν καλεῖται ψ., τὸ δὲ μεῖζον μὲν τῆς ψ., θεοῦ δὲ εἰκὼν καὶ ὁμοίωσις· ἑκάτερα δὲ παρὰ τοῖς ἀνθρώποις τοῖς πρώτοις ὑπῆρχεν, ἵνα τὸ μέν τι ὦσιν ὑλικοί, τὸ δὲ ἀνώτεροι τῆς ὕλης* Tat.*orat.*12(p.12.19; M.6.829C); hence reason for the soul's existence is to diffuse divine goodness, Gr.Nyss.*anim.et res.*(M.46.105A); **2.** dignity and beauty of soul, Clem.*paed.*3.6(p.257.18; M.8.605B); *ψ. γὰρ παντὸς σώματος... πρᾶγμα τιμιώτερον, εἰ καὶ τὸ κατ' εἰκόνα τοῦ κτίσαντος ψ. μὲν χωρεῖ οὐδαμῶς δὲ τὸ σῶμα* Or.*Cels.*8.49(p.265.24; M.11.1589B,C); *μὴ ἁπλῶς*

τῇ νοερᾷ τῆς ψ. οὐσίᾳ πρόσχῃς,...τίμιόν τι σκεῦός ἐστιν ἡ ἀθάνατος ψ. Mac.Aeg.*hom.*26.1(M.34.676A); τὴν,..ψ., ὡς ἐκ θειοτέρων ἔχων ἥκειν, ἄλλῳ νομίζειν ὑποκεῖσθαι προσῆκον, καὶ θεῷ ὀφείλεσθαι παρ' αὐτῆς χρέα τὰ πάντων χρεῶν πρεσβύτατα Bas.*ep.*276(3.421A; M.32.1012B); ψ. ... τὴν ἐκ θεοῦ καὶ θείαν, καὶ τῆς ἄνωθεν εὐγενείας μετέχουσαν Gr. Naz.*or.*2.17(M.35.425B); εἴ γε ἐνῆν τοῖς σωματικοῖς ὀφθαλμοῖς τὸ τῆς ψ. κάλλος ἰδεῖν, κατεγέλασας ἂν τῶν σωματικῶν ὑποδειγμάτων Chrys. *Thdr.*1.14(1.22E); not affected by time or disease, id.*anom.*12.5 (1.556E); reflected in body, id.*hom.34.5 in Mt.*(7.396A); consisting in virtue, id.*Eutrop.*2.17(3.403D); αἱ ψ. ἡμῶν συγγενεῖς εἰσι τῶν ἀγγέλων Sever.*creat.*1.3(M.56.434); ἐκ τοῦ κυρίου μέρους τῆς ὄψεως δεικνὺς τὸ ἀξίωμα τῆς ψ., ὅτι ἡγεῖται πάσης αὐτοῦ τῆς ὑποστάσεως Proc.G.*Gen.*2:7(M.87.153C); πᾶς ὁ κόσμος ψυχῆς οὐκ ἀντάξιος· ὁ μὲν γὰρ παροίχεται· ἡ δὲ ἄφθαρτος Jo.Clim.*past.*13(M.88.1196D); **3.** divine indwelling, cf. *deus...eas animas, quae verbi ejus ac sapientiae efficiuntur capaces, una cum filio suo inhabitans,* Or. *princ.*1.1.2(p.17.27; M.11.122A); *ib.*2.3.2(p.116.4; 189C); ἐν τῇ ἐμῇ ψ. ὀφείλω ἔχειν ἔνδον μου τὸν Χριστόν id.*hom.5.6 in Jer.*(p.36.21; M.13. 304D); ἐν ταῖς γραφαῖς λέγεται, τὸ εἶναι τὸν πατέρα καὶ τὸν υἱὸν καὶ τὸ ἅγιον πνεῦμα ἐν τῇ τοῦ ἀνθρώπου ψ. *ib.8.1*(p.56.2; 336C); καθαρὰν ἔχουσιν αὐτὴν τὴν ψ. καὶ ἀεὶ τὸ πνεῦμα τὸ ἅγιον ἐν αὐτῇ κατοικεῖ Meth. *symp.*11(p.138.11; M.18.216B); οἰκείωσις δὲ πνεύματος πρὸς ψ. οὐχ ὁ διὰ τόπου προσεγγισμὸς...ἀλλ' ὁ χωρισμὸς τῶν παθῶν, ἅπερ ἀπὸ τῆς πρὸς τὴν σάρκα φιλίας ὕστερον ἐπιγινόμενα τῇ ψ., τῆς ἀπὸ τοῦ θεοῦ οἰκειότητος ἠλλοτρίωσε Bas.*Spir.*23(3.20A; M.32.109A); τὴν περὶ θεοῦ ἔννοιαν, οἷον ἐν ναῷ τινι...τῇ σαυτοῦ ψ. ἐνιδρυμένην ἔχοντα id.*ep.* 146(3.237A; M.32.596B); πνεύματος ἁγίου...μετέλαβον...σωτηριώδους πυρός...λαμπρύνοντος δὲ τὴν ψ. τοῦτο μέλλει νῦν ἔρχεσθαι καὶ ἐφ' ὑμᾶς· καὶ τὰς μὲν ἀκανθώδεις ὑμῶν ἁμαρτίας...ἀναλίσκειν, τὸ δὲ τῆς ψ. ὑμῶν κτῆμα τὸ τίμιον ἔτι λαμπρύνειν Cyr.H.*catech.*17.15; ἐνοικεῖ...ἡ θεία τριὰς ἐν τῇ καθαρῶς ἐχούσῃ ψ. Mac.Aeg.*carit.*28(M.34.932A).

B. its disturbance through sin; **1.** sin not natural to soul, but rather a disease πάθη...ἃ δὴ ψυχῆς νόσοι Clem.*prot.*11(p.81.17; M. 8.233B); id.*paed.*1.8(p.128.12; M.8.328C); εἰσὶ...παρ' ἡμῖν αἱ ἀρεταὶ κατὰ φύσιν, πρὸς ἃς οἰκείωσις τῆς ψ. οὐκ ἐκ διδασκαλίας ἀνθρώπων, ἀλλ' ἐξ αὐτῆς τῆς φύσεως ἐνυπάρχει. ὡς γὰρ οὐδεὶς ἡμᾶς λόγος διδάσκει τὴν νόσον μισεῖν, ἀλλ' αὐτόματον ἔχομεν τὴν πρὸς τὰ λυποῦντα διαβολήν· οὕτω καὶ τῇ ψ. ἔστι τις ἀδίδακτος ἔκκλισις τοῦ κακοῦ. κακὸν δὲ πᾶν ἁρρωστία ψυχῆς Bas.*hex.*9.4(1.83D,E; M.29.196B,C); ψ. ... ἐποίησεν ὁ θεός, οὐχὶ δὲ ἁμαρτίαν· ἐκακώθη δὲ ἡ ψ., παρατραπεῖσα τοῦ κατὰ φύσιν id.*hom.*9.6(2.78E; M.31.344B); cf.*ib.*9.5(78B; M.341C); ψ. τίς εἶναι λέγει κακάς; εἰ μέν, ὅτι συγγίνονται κακοῖς προνοητικῶς...τοῦτο οὐ κακόν, ἀλλ' ἀγαθόν...εἰ δὲ τὸ κακύνεσθαι ψ. φαμεν, ἐν τίνι κακύνονται, εἰ μὴ ἐν τῇ τῶν ἀγαθῶν ἕξεων...ἐλλείψει; Dion.Ar.*d.n.*4.24(M.3.725D–728A); ἆρα ἡ ψ. τῶν κακῶν αἰτία, καθάπερ τὸ πῦρ τοῦ θερμαίνειν...ἡ ἀγαθὴ μὲν ἡ τῆς ψ. φύσις, ταῖς δὲ ἐνεργείαις, ποτὲ μὲν οὕτως ἔχει, ποτὲ οὕτως; εἰ μὲν φύσει καὶ τὸ εἶναι αὐτῆς κακόν, καὶ πόθεν αὐτῇ τὸ εἶναι; ἢ ἐκ τῆς δημιουργικῆς τῶν ὅλων ὄντων ἀγαθῆς αἰτίας; ἀλλ' εἰ ἐκ ταύτης, πῶς κατ' οὐσίαν κακόν; *ib.*4.30(732A); **2.** causes leading soul into sin κάθοδον αὐτῇ [sc. ἀκολασίᾳ] διδόντες εἰς ψ. διὰ τῶν αἰσθήσεων Clem.*paed.*2.8(p.197.19; M.8.473B); *ib.*3. 11(p.266.32; 628A); αἱ τῶν σαρκικῶν ἐπιθυμιῶν ἀναδόσεις καχεξίαν προστρίβονται ψυχῇ, κατασκεδαννύουσαι τὰ εἴδωλα τῆς ἡδονῆς ἐπίπροσθε τῆς ψ. ἐπισκοτοῦσι γοῦν τῷ φωτὶ τῷ νοερῷ ἐπισπωμένης τῆς ψ. τὰς ἐκ τῆς ἐπιθυμίας ἀναδόσεις id.*str.*2.20(p.175.26f.; M.8.1060A,B); id.*q.d.s.*20(p.172.25; M.9.624D); Or. *fr.52 in Lam.*(p.257.26; M.13. 636B) cit. s. αἴσθησις; δεῖξαι τῆς τρυφῆς τὴν ἀηδίαν, καὶ τὴν ζημίαν... τὰς νόσους καταλέγοντα ὅσας ἐναπομόργνυται τῇ ψ. πολλῷ πλείους καὶ χαλεπωτέρας οὔσας τῶν σωματικῶν Chrys.*virg.*71(1.325B); τὰ φαιδρά σε τῆς γῆς μὴ τερπέτω,...ἄγκιστρα γάρ ἐστι τὴν ψ. ὡς ἰχθὺν δελεάζοντα Nil.*sent.*20(M.79.1241C); διὰ τεσσάρων πραγμάτων ἡ ψ. μιαίνεται· διὰ τὸ περιπατεῖν ἐν πόλει, καὶ μὴ φυλάττειν τοὺς ὀφθαλμούς, καὶ τὸ ἔχειν φιλίαν μετὰ γυναικὸς ὅλως, καὶ τὸ ἔχειν φιλίαν μετὰ τῶν ἐνδόξων τοῦ κόσμου, καὶ τὸ ἀγαπῆσαι τοὺς κατὰ σάρκα γονεῖς ἐν ὁμιλίαις...διὰ τεσσάρων πραγμάτων σκοτίζεται ἡ ψ.· διὰ τοῦ μισῆσαι τὸν πλησίον, καὶ ἐξουδενῶσαι, καὶ ζηλῶσαι, καὶ γογγύσαι. διὰ τεσσάρων πραγμάτων γίνεται ἔρημος ἡ ψ.· διὰ τὸ περιέρχεσθαι ἀπὸ τόπου εἰς τόπον, καὶ ἀγαπῆσαι τὸν περισπασμόν, καὶ ἀγαπῆσαι τὴν ὕλην, καὶ διὰ κνιπείαν Esaias *or.*7; τὸ ἀγαπᾶν τὴν χρείαν τοῦ κόσμου ποιεῖ τὴν ψ. σκοτισθῆναι *ib.*16; ἀρχὴ κακῶν τῇ ψ. ἡ φιλαυτία γέγονεν Thal.*cent.*2.4(M.91.1437B); πονηρὸν ἔργον ψ. λογικῆς, καταλιμπάνειν τὸν κτίσαντα, καὶ λατρεύειν τῷ σώματι *ib.*2.7(1437C); view that body itself is cause of sin to soul, as Origenists maintain, Epiph.*haer.*64.21(p.433.20; M.41.1136D); *ib.* 64.52(p.482.2; 1157A); v. ἁμαρτία; τίς οὖν ἀκριβής ἐστιν ἀντίδικος;... τὸ σῶμα τῆς ψ.· οὗτος ἀντίδικός ἐστι τοῦ ἐν σοὶ πνεύματος ‡Chrys. *Herod.*2(8.290E); not generally held and expressly denied e.g. by Chrys.*hom.39.9 in 1Cor.*(10.376B); cf. ποῦ γὰρ καθ' ἑαυτὴν ἡ σὰρξ ἁμαρτῆσαι δυνήσεται ἐὰν μὴ τὴν ψ. ἔχῃ προηγουμένην;...ὥσπερ γὰρ ζεῦγος βοῶν λυθέντων ἀπ' ἀλλήλων τοῦ ζυγοῦ, οὐδέτερος αὐτῶν κατ' ἰδίαν ἀροῦν δύναται· οὕτως οὐδὲ ψ. καὶ σῶμα, λυθέντα τῆς συζυγίας, καθ' ἑαυτὰ ποιῆσαί τι δύναται †Just.*fr.res.*8(M.6.1584D); τὸ σῶμα οὐχ ἁμαρτάνει καθ' ἑαυτό, ἀλλὰ διὰ τοῦ σώματος ἡ ψ. Cyr.H.*catech.*4.23; **3.** consequences of sin; **a.** separation from God and grace πτέρωσις γὰρ ἡ τῆς ψ. πνεῦμα τὸ τέλειον, ὅπερ ἀπορρίψασα διὰ τὴν ἁμαρτίαν ἔπτηξεν ὥσπερ νεοσσὸς καὶ χαμαιπετὴς ἐγένετο Tat.*orat.*20(p.22.12; M.6.852A); εἰς δὲ ἀκάθαρτον ψ. θεοῦ χάρις οὐ παραδύεται Clem.*q.d.s.*16 (p.170.1; M.9.620C); οὔτε ψ. ταῖς βιωτικαῖς προειλημμένην μερίμναις, καὶ τοῖς ἐκ τοῦ φρονήματος τῆς σαρκὸς ἐπισκοτουμένην πάθεσι, δυνατὸν ὑποδέξασθαι τοῦ ἁγίου πνεύματος τὰς ἐλλάμψεις Bas.*ep.*210.6(3.317C; M.32.777B); ψ. γὰρ ἡ ἀκμὴν ζῶσα ἐν τῷ...σκότει τῆς ἁμαρτίας... οὐκ ἔστι τοῦ σώματος τοῦ Χριστοῦ Mac.Aeg.*hom.*1.6(M.34.456D); **b.** weakening of its powers, sterility, etc. πᾶσα ψ. ἡ μὴ ἡλιομένη τῷ ἁγίῳ πνεύματι...σέσηπται, καὶ δυσωδίας πολλῆς λογισμῶν πονηρῶν ἐμπέπλησται...καὶ τῶν παθῶν τῶν ἐν τοιαύτῃ ψ. ἐνοικούντων *ib.* 1.5(456A); Chrys.*hom.4.1 in Ac.*9:1(3.130D); id.*hom.2.3 in Tit.*(11. 740E); id.*hom.10.5 in Rom.*(9.526D,E); **c.** hardening and death ὅρα ὅτι ἔστιν τις καὶ ψ. νεκρουμένη τὰ μέλη, ὥστε μὴ αἰσθάνεσθαι ἀπὸ τῶν μαστίγων, κἂν ἐπίπονα προσφέρηταί τινα. δεινὰ προσφέρεται, ἀλλ' οὐκ αἰσθανθήσεται ἡ δεῖνα ψ., ἄλλη δὲ αἰσθανθήσεται Or.*hom.6.2 in Jer.* (p.49.14ff.; M.13.325D); ref. Mt.13:5f. αὕτη ἡ πέτρα ἀνθρωπίνη ἐστὶ ψ. διὰ τὴν ἀμέλειαν σκληρυνθεῖσα id.*princ.*3.1.14(p.219.4; M.11.276A); ψ. δὲ ἡ ἁμαρτάνουσα αὐτὴ ἀποθανεῖται, καὶ ἡμεῖς ἐροῦμεν αὐτὴν θνητήν id.*Jo.*13.61(59; p.293.13; M.14.516C); ὁ Ἀδὰμ παραβὰς τὴν ἐντολὴν τοῦ θεοῦ...ἐπώλησεν ἑαυτὸν τῷ διαβόλῳ· καὶ ἐνεδύσατο τὴν ψ. ὁ πονηρός...τούτου τοίνυν ἕνεκεν σῶμα λέγεται ἡ ψ. τοῦ σκότους τῆς πονηρίας Mac.Aeg.*hom.*1.7(M.34.457A); πᾶσα γὰρ ἁμαρτία, θάνατός ἐστι ψ. Gr.Naz.*or.*37.23(M.36.308B); ὁ δὲ τῆς ψ. [sc. θάνατος]... φοβερός. οὐ γὰρ ἐὰν διαλυθῇ, καθάπερ τὸ σῶμα αὐτὴν παραπέμπει, ἀλλὰ καταδεθεῖσαν πάλιν ἀφθάρτῳ σώματι, εἰς τὸ πῦρ ἐμβιβάζει ἄσβεστον. οὗτος τοίνυν ἐστὶν ὁ ψ. θάνατος. ὥσπερ οὖν ἔστι ψ. θάνατος, οὕτω καὶ σφαγὴ ψ. τί ἐστι ψ. σφαγή; καὶ αὐτὸ νέκρωσις. τί δὲ νέκρωσις ψ.; ὥσπερ γὰρ τὸ σῶμα τότε νεκροῦται, ὅταν ἔρημον αὐτὸ καταλίπῃ τῆς οἰκείας ἐνεργείας ἡ ψ.· οὕτω καὶ ἡ ψ. τότε νεκροῦται, ὅταν ἔρημον αὐτὴν καταλίπῃ τῆς οἰκείας ἐνεργείας τὸ πνεῦμα τὸ ἅγιον Chrys.*hom. 18.3 in Eph.*(11.130B,C); cf.*ib.*18.2(130A); id.*hom.19.1 in Gen.*(4.161D); id.*exp.in Ps.129*(5.368B); Pall.*v.Chrys.*8(p.47.27; M.47.28); πεπωρωμένη ψ. μαστιζομένη οὐκ αἰσθάνεται, καὶ εἰς συναίσθησιν ἐλθεῖν τοῦ εὐεργέτου οὐκ ἀνέχεται Thal.*cent.*2.61(M.91.1444B); *ib.*2.64(1444C); heresy as death of soul, †Bas.*Is.*233(1.556A; M.30.525C); **4.** struggle of soul with evil ἐν τῇ καρδίᾳ τῶν ἀγωνιζομένων θέατρον τῶν πονηρῶν πνευμάτων παλαιόντων τῇ ψ., καὶ θεοῦ καὶ ἀγγέλων θεωρούντων τὸν ἀγῶνα· λοιπὸν καθ' ἑκάστην ὥραν κτίζονται ὑπὸ τῆς ψ. πολλοὶ λογισμοὶ νεαροί· ὁμοίως καὶ ὑπὸ τῆς κακίας ἔνδον. καὶ γὰρ ἡ ψ. πολλοὺς ἀποκρύφους ἔχει λογισμούς...καὶ αὐτὴ ἡ κακία λογισμοὺς ἔχει πολλούς ...καὶ καθ' ὥραν γεννᾷ λογισμοὺς νεαροὺς κατὰ τῆς ψ. καὶ γὰρ ὁ νοῦς ἡνίοχός ἐστι καὶ ζεύγνυσι τὸ ἅρμα τῆς ψ. κατέχων ἡνίας τῶν λογισμῶν· καὶ ὧδε τρέχει κατὰ τοῦ ἅρματος τοῦ σατανᾶ, ὅπου καὶ αὐτὸς ἕζευξε κατὰ τῆς ψ. Mac.Aeg.*hom.*40.5(M.34.765B); ἀδύνατον ψ. δι' ἑαυτῆς... διαπεράσαι τὴν πικρὰν θάλασσαν τῆς ἁμαρτίας...εἰ μὴ τὸ ἐλαφρὸν...τοῦ Χριστοῦ πνεῦμα δέξεται *ib.*44.6(781D); τῶν πονηρῶν πνευμάτων ἀεὶ ἀντιπραττόντων τῇ τῶν ψ. σωτηρίᾳ Pall.*v.Chrys.*12(p.72.32; M.47.41); **5.** good and bad souls contrasted τὴν μὲν τοῦ φαύλου...ἐν τῇ κακίᾳ ψ. φήσομεν καταλείπεσθαι ὑπὸ τοῦ θεοῦ, τὴν δὲ τοῦ βουλομένου ζῆν κατ' ἀρετὴν...ἀποφανούμεθα πληροῦσθαι ἢ μετέχειν θείου πνεύματος Or.*Cels.*4.5(p.278.2; M.11.1036A); οἴδα ψ. οἰκουμένην, οἴδα ψ. ἔρημον. εἰ γὰρ οὐκ ἔχει τὸν θεόν, ⟨εἰ⟩ οὐκ ἔχει τὸν Χριστόν...εἰ οὐκ ἔχει τὸ πνεῦμα τὸ ἅγιον ψ., ἔρημός ἐστιν. οἰκουμένη δέ ἐστιν, ὅτε πεπλήρωται θεοῦ, ὅτε ἔχει τὸν Χριστόν, ὅτε πνεῦμα ἅγιόν ἐστιν ἐν αὐτῇ id.*hom.8.1 in Jer.*(p.55.21ff.; M.13.336C); αἱ μὲν σωμασκοῦσαι ψ. τὸν αἰσθητὸν τουτονὶ κόσμον ἀμφὶ τὸν τράχηλον τὸν ἔξω τῆς σαρκὸς περιτιθέασι πρὸς ἀπάτην τῶν θεωμένων, αἱ δὲ ἀγνεύουσαι ἔνδοθεν ἔμπαλιν τὸν κόσμον ἐξάπτονται Meth.*symp.*7.2(p.73.6; M.18.128B); ψ., ἡ κηρὸς ὡς φιλόθεος, ἡ πηλός, ὡς φιλόϋλος...πᾶσα ψ. φιλοϋλος... ἀπὸ θεοῦ νουθετουμένη, καὶ ὡς πηλὸς κατὰ γνώμην ἀντιτυποῦσα σκληρύνεται...πᾶσα δὲ φιλόθεος, ὡς κηρὸς ἀπαλύνεται, καὶ τοὺς τῶν θείων τύπους...εἰσδεχομένη, γίνεται θεοῦ κατοικητήριον ἐν πνεύματι Max.*cap.theol.*1.12(M.90.1088B).

C. soul's way to perfection; **1.** its beginning; **a.** baptismal exorcisms and faith ἄνευ ἐπορκισμῶν οὐ δύναται καθαρθῆναι ψ. ... τῶν ἐπορκιζόντων διὰ πνεύματος θείου ἐμβαλλόντων τὸν φόβον, καὶ ὥσπερ ἐν χώνῃ, τῷ σώματι, τὴν ψ. ἀναζωπυρούντων· φεύγει μὲν ὁ ἐχθρὸς δαίμων...καὶ λοιπὸν ἡ ψ. καθαρθεῖσα τῶν ἁμαρτημάτων ἔχει

τὴν σωτηρίαν Cyr.H.*procatech.*9; ἀναγέννησιν δὲ οὐ σωμάτων λέγω, ἀλλὰ ψυχῆς τὴν πνευματικὴν ἀναγέννησιν. τὰ μὲν γὰρ σώματα διὰ τῶν φαινομένων γονέων γεννῶνται, αἱ δὲ ψ. διὰ τῆς πίστεως ἀναγεννῶνται id.*catech.*1.2; **b.** repentance εἴ τίς γε ἱκανός ἐστι κινῆσαι ψ. ἀκροατοῦ μάλιστα ἡμαρτηκότος, τοιούτους εὔχεται λόγους λέγειν, οἵτινες ἀπὸ δυνάμεως...ἀπαγγελλόμενοι ἱερῶν σείσουσι τὴν ψ. τοῦ ἀκούοντος καὶ κινήσουσιν ἐπὶ πένθος Or.*hom.20.6 in Jer.*(p.186.6ff.; M.13.513B); ὁ τὰ τοιαῦτα δάκρυα [sc. of repentance] σταλάζων, οὐδὲν ἡγεῖται τὰ ἐπὶ τῆς γῆς, ἀλλὰ πάσης πολιορκίας ἀπαλλάττει τὴν ψ., τοῦ ἡλίου λαμπροτέραν καθίστησι τὴν διάνοιαν Chrys.*exp.in Ps.*6(5.46C); **c.** through Passion and example of Christ τοῦ πάθους, οὗ ἔπαθεν ὑπὲρ τῶν καθαιρομένων τὰς ψ. ἀπὸ πάσης πονηρίας ἀνθρώπων Just. *dial.*41.1(M.6.564B); τὰς ᾅδου διαρρήξας [sc. Christ] πύλας ἐπὶ τὴν πεπλανημένην εἰσῆλθε ψ., ἑαυτὸν ὑπόδειγμα ταύτῃ θέμενος, δι' οὗ δυνατὸν αὐτῇ ἔσται πρὸς μέτρον ἡλικίας πρὸς τὴν τελειότητα τοῦ πνεύματος καταντῆσαι Mac.Aeg.*pat.*18(M.34.880B); τὴν ἡμετέραν ψ. προσερχομένην τῷ ἀληθινῷ ἀρχιερεῖ Χριστῷ, δεῖ τυθῆναι ὑπ' αὐτοῦ, καὶ τῷ φρονήματι ἀποθανεῖν, καὶ...τῇ ἁμαρτίᾳ id.*hom.*1.6(M.34.456C); **2.** instruments and means of its progress; **a.** help given by God συνεξάπτει δὲ ἡ γραφὴ τὸ ζώπυρον τῆς ψ. καὶ συντείνει τὸ οἰκεῖον ὄμμα πρὸς θεωρίαν Clem.*str.*1.1(p.8.11; M.8.697A); *ib.*2.11(p.139.7; 985A); Mac.Aeg.*hom.*41.2(M.34.768D–769A); ὥσπερ γὰρ ἵππος, ἕως μὲν ἂν ἐν ταῖς ὕλαις τοῖς ἀγρίοις ζώοις συννέμηται, ἀνυπότακτος ἀνθρώποις ἐστίν· ἐπὰν δὲ πρὸς τὸ ἡμερωθῆναι κρατηθῇ, προτιθέασιν αὐτῷ βαρὺν χαλινόν, ἕως οὗ μάθῃ εὐτάκτως...περιπατεῖν· εἶτα γυμνάζεται ὑπὸ ἐμπείρου καθιστοῦ, ἵνα καὶ εἰς πόλεμον εὔχρηστος γένηται... τὸν αὐτὸν τρόπον καὶ ἡ ψ. ἀπὸ τῆς παραβάσεως οὖσα ἀγρία καὶ ἀνυπότακτος, ἐν ἐρημίᾳ τοῦ κόσμου πελάζεται μετὰ θηρίων...ὅταν δὲ ἀκούσῃ λόγον θεοῦ, καὶ πιστεύσῃ, χαλιναγωγουμένη ὑπὸ τοῦ πνεύματος, ἀποτίθεται τὸν ἄγριον ἦθος...ἡνιοχουμένη ὑπὸ τοῦ ἐπιβάτου Χριστοῦ ...οὕτως ἡ ψ. ἐνδυομένη τὸν θώρακα τῆς δικαιοσύνης,...διδάσκεται πολεμεῖν τοῖς ἐχθροῖς αὐτοῖς *ib.*23.2(661A,B); Nil.*epp.*1.132(M.79.140A); λήψῃ θεὸν τὸν τῆς σῆς ψ. κατέχοντα οἴακα, καὶ ἀκινδύνως κυβερνῶντά σε Jo.Clim.*scal.*28(M.88.1133C); divine–human co-operation τῆς ψ. τίς ἐστιν εὐθηνία τῆς πεπληρωμένης παντοδαπῶν ἔργων· ἣν πρῶτον μὲν γεωργηθῆναι δεῖ φιλοπόνως, καὶ τότε ταῖς ἀφθόνοις τῶν οὐρανίων ὑδάτων ἐπιρροίαις πιανθῆναι, ὥστε καρποφορῆσαι Bas.*hom. in Ps.*29(1.128C; M.29.316B); **b.** virtue ψ. δὲ αὔξειν διὰ πίστεως καὶ γνώσεως Clem.*str.*3.4(p.208.9; M.8.1132A); *ib.*5.12(p.379.26; M.9.120B); προκοπὴ γὰρ ψ., προκοπὴ ταπεινώσεως Bas.*renunt.*10(2.211B; M.31.648A); ἐλεημοσύνη καὶ ἡ περὶ τοὺς πένητας δαψίλεια· τοῦτο τὸ μέγιστον τῆς ψ. περιβόλαιον Chrys.*hom.21.6 in Gen.*(4.191D); τέσσαρες ἀρεταί εἰσιν αἱ ἁγνίζουσαι τὴν ψ., ἡ σιωπή, καὶ τὸ φύλαξαι τὰς ἐντολάς, καὶ ἡ στενοχωρία, καὶ ἡ ταπεινοφροσύνη...τέσσαρες ἀρεταὶ περιτειχίζουσι τὴν ψ. ... ὁ ἔλεος, καὶ ἡ ἀοργησία, καὶ ἡ μακροθυμία, καὶ τὸ ἀποτινάξαι πάντα σπόρον ἐπερχόμενον τῆς ἁμαρτίας Esaias *or.*7; exeg. Ex.1:21 διδάσκει ἡμᾶς...ἡ γραφή, ὅτι ὁ φόβος τοῦ θεοῦ παρασκευάζει τὴν ψ. φυλάττειν τὰς ἐντολάς, καὶ διὰ τῶν ἐντολῶν οἰκοδομεῖται ὁ τῆς ψ. οἶκος...πῶς δὲ οἰκοδομεῖται ὁ οἶκος τῆς ψ., ἀπὸ τοῦ αἰσθητοῦ οἴκου δυνάμεθα μαθεῖν...χρῄζει γὰρ ὁ θέλων οἰκοδομῆσαι τὸν οἶκον τοῦτον, πανταχόθεν ἀσφαλίσασθαι αὐτόν...οὕτως ἐστὶ καὶ ἐπὶ τῆς ψ. χρῄζει γὰρ ὁ ἄνθρωπος μηδενὸς μέρους τῆς οἰκοδομίας αὐτοῦ ἀμελεῖν Dor.*doct.*14(M.88.1773A,B); ἀγάπη καὶ ἐγκράτεια ψ. καθαίρουσι Thal. *cent.*1.11(M.91.1429A); ἡ δὲ τῶν ἐντολῶν τήρησις, ψ. ποιεῖ τὴν κάθαρσιν *ib.*2.77(1445A); practice of virtue being natural to soul, Bas.*hex.*9.4 (1.83E; M.29.196C); **c.** asceticism κενοῖ τῆς ὕλης τὴν ψ. ἡ νηστεία καὶ καθαρὰν καὶ κούφην σὺν καὶ τῷ σώματι παρίστησι τοῖς θείοις λόγοις Clem.*ecl.*14(p.140.28; M.9.705A); οὐκ ἀγαθὸν τῇ ψ. αἰσθητὸν βρῶμα ἢ πόμα. ἡ γὰρ σὰρξ προστρεφομένη πολεμεῖ τῇ ψ. Dion.Al.*fr.*(p.224.3); τὴν σεαυτοῦ ψ. ἀσφαλίζου, νηστείαις, προσευχαῖς, ἐλεημοσύναις Cyr.H. *catech.*4.37; κάθαρσις δὲ ψ. ... τὰς διὰ τῶν αἰσθήσεων ἡδονὰς ἀτιμάζειν Bas.*leg.lib.gent.*7(2.181E; M.31.581C); ἡσυχία οὖν ἀρχὴ καθάρσεως τῇ ψ., μήτε γλώττης λαλούσης τὰ τῶν ἀνθρώπων, μήτε ὀφθαλμῶν εὐχροίας σωμάτων καὶ συμμετρίας περισκοπούντων, μήτε ἀκοῆς τὸν τόνον τῆς ψ. ἐκλυούσης ἐν ἀκροάμασι μελῶν πρὸς ἡδονὴν πεποιημένων μήτε ῥήμασιν εὐτραπέλων καὶ γελοιαστῶν ἀνθρώπων, ὃ μάλιστα λύειν τῆς ψ. τὸν τόνον πέφυκε id.*ep.*2.2(3.72C; M.32.228A); **d.** prayer and γνῶσις: ἡ γνῶσις ἰδίωμα ψ. τυγχάνει λογικῆς εἰς τοῦτο ἀσκουμένης, ἵνα διὰ τῆς γνώσεως εἰς ἀθανασίαν ἐπιγραφῇ Clem.*str.*6.8(p.466.12; M.9.289C); *ib.*7.7(p.29.28; 453C); ἄγονοι...ἐπὶ πολὺ γεγενημέναι ψ., ἠσθημέναι τῆς στειρώσεως τῶν ἰδίων ἡγεμονικῶν καὶ τῆς ἀγονίας τοῦ νοῦ ἑαυτῶν, ἀπὸ τοῦ ἁγίου πνεύματος διὰ ἐπιμόνου εὐχῆς κυήσασαι σωτηρίους λόγους, θεωρημάτων ἀληθείας πεπληρωμένους, γεγεννήκασιν Or.*or.*13.3 (p.327.7; M.11.456A); *ib.*13.5(p.330.4; 459A); ἡ εὐχὴ καλὴ μὲν καὶ καθ' ἑαυτήν· καλλίων δὲ...γίνεται, ὅταν μετὰ...ζεύσῃς ψ. ἀναφέρηται, ὅταν θυμιατήριον ἡ ψ. γένηται καὶ πῦρ ἀνάπτῃ σφοδρόν Chrys.*exp.in Ps.*140(5.431A); φέγγος ψυχῆς ἡ γνῶσίς ἐστιν Thal.*cent.*1.51(M.91.1432D); *ib.*2.2(1437B); τέλος γὰρ τῆς κατὰ ψυχὴν λογικῆς ἐνεργείας, ἡ ἀληθὴς γνῶσίς ἐστι Max.*ep.*31(M.91.625A); **e.** temptations εἰς ταῦτα δὲ τὰ μέτρα ψ. ἐλθεῖν, οὔτε ὑφ' ἕν, οὔτε ἀδοκιμάστως ἐστίν, ἀλλὰ διὰ πόνων πολλῶν καὶ ἀγώνων, καὶ χρόνων καὶ σπουδῆς, μετὰ δοκιμασίας καὶ πειρασμῶν ποικίλων τὴν πνευματικὴν αὔξησιν...λαμβάνει Mac.Aeg. *hom.*10.5(M.34.544C); ψ. ζέουσα...οὐχ ὑπό τινων κωλυτικῶν ἐμποδίζεται τὴν οἰκείαν ἀρετὴν ἐπιδείξασθαι, ἀλλὰ καὶ δι' αὐτῶν μάλιστα τῶν κωλυόντων ἐπὶ πλεῖον αἴρεται Chrys.*hom.43.2 in Gen.*(4.437C); πλεῖστα χαρίσματα θεῖα μετὰ τὴν συνοχὴν καὶ τὴν θλῖψιν εὑρίσκομεν ἐν τῇ ψ. κυϊσκόμενα Nil.*epp.*3.182(M.79.469C); id.*Eulog.*19(M.79.1117B); **f.** true doctrine as soul's food ὁ γάρ ἐστιν ἐν σώματι τροφή, τοῦτο ἐν ψ. λόγος Gr.Naz.*or.*17.1(M.35.965A); *ib.*42.8(M.36.468B); ὥσπερ γὰρ τρέφεται τὰ σώματα, οὕτω τρέφεται καὶ ἡ ψ.· ἀλλὰ τὸ μὲν σῶμα ἄρτῳ, ἡ δὲ ψ. λόγῳ Chrys.*hom.4.1 in Is.6:1*(6.121D); ἡ ψ. χρῄζει τῆς πνευματικῆς τροφῆς id.*hom.4.6 in Gen.*(4.29B); καθάπερ ἐφ' ἑκάστης ἡμέρας τῷ σώματι τὴν τροφὴν χορηγεῖς...οὕτω καὶ τὴν ψ. μὴ περιορᾷν λιμῷ φθειρομένην, καὶ παρέχειν αὐτῇ τὴν κατάλληλον τροφὴν τὴν ἐκ τῆς τῶν γραφῶν ἀναγνώσεως *ib.*21.6(191B); ὥσπερ γὰρ τρέφεται σῶμα, οὕτω τρέφεται καὶ ψ. ... ταύτην οὖν λέγει τὴν τροφήν, τὴν διὰ τοῦ λόγου διδασκαλίαν, τὴν παίδευσιν, τὴν φιλοσοφίαν id.*exp.in Ps.*110(5.272B); οὐ δίκαιόν ἐστιν...τὴν τῆς ψ. βρῶσιν καταλιπόντας, τὸ σῶμα πρὸ τῆς ψ. διαναπαῦσαι Leont.N.*v.Jo.Eleem.*1(p.7.10f.); **3.** soul's way from the sensible to the spiritual and from discursive thought to contemplation γυμνάσιον μέν φαμεν εἶναι τῆς ψ. τὴν ἀνθρωπίνην σοφίαν, τέλος δὲ τὴν θείαν Or.*Cels.*6.13(p.83.17; M.11.1309B); οὐ ταὐτόν ἐστι νοσοῦντας τὴν ψ. ἐπὶ θεραπείαν καλεῖν καὶ ὑγιαίνοντας ἐπὶ τὴν τῶν θειοτέρων γνῶσιν καὶ ἐπιστήμην. καὶ ἡμεῖς δὲ ἀμφότερα ταῦτα γινώσκοντες, κατ' ἀρχὰς μὲν προκαλούμενοι ἐπὶ τὸ θεραπευθῆναι τοὺς ἀνθρώπους...ἐπὰν δὲ οἱ προκόπτοντες τῶν προτραπέντων παραστήσωσι τὸ κεκαθάρθαι ὑπὸ τοῦ λόγου καὶ ὅση δύναμις βέλτιον βεβιωκέναι, τὸ τηνικάδε καλοῦμεν αὐτοὺς ἐπὶ τὰς παρ' ἡμῖν τελετάς *ib.*3.59(p.254.4; 997D); ἡ γὰρ ψ. συντραφεῖσα σώματι...ἀπὸ τῶν ὁρωμένων ἐπὶ τὰ νοητὰ χειραγωγηθῆναι ἐδεῖτο. ὅθεν καὶ τοῖς προφήταις περὶ θεοῦ διαλεγομένοις ἐγένετο χρεία ἀνθρωπίνων μνησθῆναι μελῶν...ἵνα τὴν αἰσθητοῖς συντραφεῖσαν ψ. ἐκ τῶν ἀνθρωπίνων τὰ ὑπὲρ ἄνθρωπον παιδεύσωσι δόγματα Chrys.*exp.in Ps.*43(5.149A,B); ὅταν ἡμῶν ἡ ψ. ταῖς νοεραῖς ἐνεργείαις ἐπὶ τὰ νοητὰ κινεῖται, περιτταὶ μετὰ τῶν αἰσθητῶν αἱ αἰσθήσεις· ὥσπερ καὶ αἱ νοεραὶ δυνάμεις, ὅταν ἡ ψ. θεοειδὴς γινομένη, δι' ἑνώσεως ἀγνώστου ταῖς τοῦ ἀπροσίτου φωτὸς ἀκτῖσιν ἐπιβάλλῃ Dion.Ar.*d.n.*4.11(M.3.708D); commented ἡνίκα τὸν προφορικὸν λόγον κινοῦμεν, τοῦτον περί τινος τῶν αἰσθητῶν...καὶ γραφῶν δεόμεθα πρὸς δήλωσιν τοῦ λαλουμένου. εἰ δὲ ἀφ' ἑαυτῆς ἡ ψ. πρὸς τὰ νοητὰ κινεῖται διὰ τῶν ὀρθῶν ἐνεργειῶν, περιτταὶ μετὰ τῶν αἰσθητῶν αἱ αἰσθήσεις· ὑψηλὰ γὰρ φαντάζεται· ὅταν δὲ θεοειδὴς γένηται, προκόπτουσα ταῖς κατὰ μικρὸν ἀνατάσεσι, καὶ δι' ἑνώσεως ἀγνώστου πρὸς τὸ ἀπρόσιτον φῶς τὰς ἐπιβολὰς ἔχῃ, τότε καὶ αἱ νοηταὶ ἐνέργειαι περιτταὶ εἰσιν, ὡς καὶ αἰσθήσεις, ἐπειδὴ τὰ ὑψηλότερα τούτων ἡ ψ. διανοεῖται, λοιπὸν ἡνωμένη θεῷ Max.*schol.d.n.*4.11(M.4.261C,D); **4.** threefold way and threefold movement of soul, first adumbrated in a twofold 'perfection' ἡ γνωστικὴ ψ. ἀγιάζεται κατὰ τὴν ἀποχὴν τῶν γεωδῶν πυρώσεων...ὁ δὲ ἐν τῷ σώματι καθαρισμὸς τῆς ψ. πρῶτος οὗτός ἐστιν, ἡ ἀποχὴ τῶν κακῶν, ἣν τινες τελείωσιν ἠγοῦνται, καὶ ἔστιν ἁπλῶς τοῦ κοινοῦ πιστοῦ...ἡ τελείωσις αὕτη· τοῦ δὲ γνωστικοῦ μετὰ τὴν ἄλλοις νομιζομένην τελείωσιν ἡ δικαιοσύνη εἰς ἐνέργειαν εὐποιΐας προβαίνει Clem.*str.*6.7(p.462.6ff.; M.9.281B); fully developed ἐδιδάχθημεν γὰρ πολλαχοῦ τῆς γραφῆς καὶ παιδικὴν κατάστασιν τῆς ψ.· καὶ ἄλλην ἀκμαστικήν· καὶ ἄλλην ἤδη πρεσβύτου. οἷον, ὡς παρὰ Παύλου μεμαθήκαμεν, οἱ ἐν Κορίνθῳ νήπιοι ἦσαν· διόπερ καὶ γάλακτος ἔτι ἐδέοντο...νεανίσκος δὲ κατὰ ψ. ἐστιν ὁ πᾶσι τοῖς μέρεσι τῆς ἀρετῆς κατηρτισμένος πρὸς τὸ τέλειον, ὁ τῷ πνεύματι ζέων...πρεσβύτερος δὲ κατὰ ψ., ὁ τετελειωμένος κατὰ τὴν φρόνησιν Bas.*hom.*12.13(2.108E–109A; M.31.412C–413A); ψ. δὲ κίνησίς ἐστι, κυκλικὴ μὲν ἡ εἰς ἑαυτὴν εἴσοδος ἀπὸ τῶν ἔξω, καὶ τῶν νοερῶν αὐτῆς δυνάμεων ἡ ἐνοειδὴς συνέλιξις...ἑλικοειδῶς δὲ ἡ ψ. κινεῖται καθ' ὅσον οἰκείως ἑαυτῇ τὰς θείας ἐλλάμπεται γνώσεις, οὐ νοερῶς καὶ ἑνιαίως, ἀλλὰ λογικῶς καὶ διεξοδικῶς...τὴν κατ' εὐθεῖαν δέ, ὅταν οὐκ εἰς ἑαυτὴν εἰσιοῦσα καὶ ἑνικῇ νοερότητι κινουμένη...ἀλλὰ πρὸς τὰ περὶ ἑαυτὴν προϊοῦσα, καὶ ἀπὸ τῶν ἔξωθεν Dion.Ar.*d.n.*4.9(M.3.705A); interpreted, Max. *schol.d.n.*4.9(M.4.256–257D); **5.** relation between body and soul in progress to perfection βαπτίσθητε τὴν ψ. ἀπὸ ὀργῆς...καὶ ἰδοὺ τὸ σῶμα καθαρόν ἐστι Just.*dial.*14.2(M.6.504D); ἐπιδεκτικὸν γίνεται τῆς... ψ. τὸ οἰκητήριον τοῦτο καὶ πνεύματος ἁγίου κατὰ τὸν τῆς ψ. τε καὶ σώματος ἁγιασμὸν καταξιοῦται τῷ τοῦ σωτῆρος καταρτισμῷ τελειούμενον Clem.*str.*4.26(p.320.26f.; M.8.1373A); εἰ δὲ ἡ ψ. ... τοῖς θείοις ἐντραφῇ μαθήμασιν, υἱός ἐστι ἐλευθέρων ,καὶ ὁρμὰς ἔχει λογισμῶν...τά τε σώματι

καθήκοντα, καὶ ὅσα τῇ ψ. κατάλληλα Olymp.*Eccl.*10:16f.(M.93.604B)'; διὰ γὰρ τοῦ σώματος τούτου περισπᾶται ἡ ψ. ἀπὸ τῶν παθῶν αὐτῆς Dor. *doct.*12.2(M.88.1752A); ἀρεταὶ ψ. εἰσιν αὗται· ἀγάπη, ταπείνωσις, πραΰτης, μακροθυμία...ἀρεταὶ δὲ σώματος...νηστεία, χαμευνία, ἀγρυπνία Max.*qu.dub.*1(M.90.785C); διῃρημένης γὰρ εἰς ψ. τε καὶ αἴσθησιν τῆς τε λύπης καὶ ἡδονῆς· ὁ τὴν τῆς ψ. περιποιούμενος ἡδονήν, τὴν δὲ τῆς αἰσθήσεως καταδεχόμενος λύπην, δόκιμος γίνεται καὶ τέλειος id. *qu.Thal.*58(M.90.593D); **6.** relation between soul and νοῦς: ἐπειδὴ νεκροῦται ὁ νοῦς, ὅσον ἡ ψ. μεριμνᾷ τὰ ἔξωθεν, καὶ λοιπὸν τὰ ἔνδοθεν πάθη πράττει τὰς ἐνεργείας αὐτῶν ἀδιαφόρως. ἐὰν οὖν ἡ ψ. ἀκούσῃ τοῦ λόγου τοῦ 'Ιησοῦ...τότε ἐγείρεται ὁ νοῦς, καὶ ἵσταται, ἕως οὗ ἀπορρίψῃ αὐτὰ ἐκ τοῦ οἴκου αὐτοῦ, προσέχων τῇ ψ. αὐτοῦ ἀδιαλείπτως, καὶ φυλάττων αὐτὴν μὴ ὑποστρέψαι εἰς τὰ ὀπίσω ἐπὶ τοὺς ἀδικήσαντας αὐτήν. ἡ ψ. γὰρ ὁμοία ἐστὶ γυναικὶ νεάνιδι οὔσῃ μετὰ ἀνδρός, ἥτις ὅταν ἀπέλθῃ ἐπὶ ξένης ὁ ἀνὴρ αὐτῆς, ἄφοβος καὶ ἀναίσχυντος γίνεται... ἐπὰν δὲ ἔλθῃ ὁ ἀνὴρ αὐτῆς εἰς τὸν οἶκον αὐτοῦ, παραχρῆμα φοβουμένη ἀφίσταται ἀπὸ τῶν πραττομένων ὑπ' αὐτῆς, καὶ φροντίζει κατὰ τὸ θέλημα τοῦ ἀνδρός...τοιοῦτός ἐστιν ὁ νοῦς. ἐὰν ἐγερθῇ, φροντίζει τῆς ψ. καὶ φυλάττει αὐτὴν...ἕως γεννήσῃ μετ' αὐτοῦ καὶ ἐκθρέψῃ τὰ τέκνα αὐτῆς, καὶ λοιπὸν οἱ ἀμφότεροι μία καρδία γίνονται, καὶ ὑποτάσσεται ἡ ψ. τῷ νοΐ Esaias *or.*25; τὸ αἰσθητὸν γύναιον σημαίνει ψ. πρακτικήν· ᾗ ὁ νοῦς συγγενόμενος ἀποτίκτει τὰς ἀρετάς Thal.*cent.*2.27(M.91.1440C); ψ. καθαρὰ ἡ τὸν θεὸν ἀγαπῶσα, καὶ νοῦς ἐστιν καθαρὸς ὁ ἀγνοίας χωρισθείς *ib.*2.79(1445A); ἀνάγνωσις καὶ προσευχὴ νοῦν καθαίρουσιν· ἀγάπη δὲ καὶ ἐγκράτεια τὸ παθητικὸν τῆς ψ. *ib.*2.84(1445C).

D. the perfect soul; **1.** possessing various virtues: prudence, Clem.*str.*7.12(p.52.10,14; M.9.500C,D); obedience and purity, id. *q.d.s.*18(p.171.26; M.9.624A); Meth.*symp.*11(p.139.27; M.18.217D); Nil.*epp.*3.185(M.79.469D); humility, Mac.Aeg.*hom.*10.4(M.34.541D); simplicity, Gr.Nyss.*anim.et res.*(M.46.93C–96A); sobriety and vigilance, Chrys.*David* 1.5(4.756E); id.*hom.23.2 in Gen.*(4.207D); ψ. πραεῖα θρόνος ἁπλότητος...ψ. ἠπία χωρήσει λόγους σοφίας...ψ. εὐθὴς σύμβιος ταπεινώσεως...ψ. πραέων πλησθήσονται γνώσεως Jo.Clim. *scal.*26(M.88.981A,B); ψ. δέ ἐστι τελεία, ἡ ταῖς ἀρεταῖς ἀνακραθεῖσα Thal.*cent.*2.54(M.91.1444A); **2.** in its relation to Christ; **a.** in gen. παρόντος αὐτῷ τοῦ πατρὸς καὶ συμβασιλεύοντος τῷ πατρὶ τοῦ Χριστοῦ ἐν τῇ τετελειωμένῃ ψ. Or.*or.*25.1(p.357.7; M.11.496C); id.*mart.*49(p.45.8; M.11.633A); cf. *cum ipse utique qui est dominus et creator animae Christus Jesus indumentum sanctis esse dicatur* [cf.Rom.13:14]... *sicut ergo Christus indumentum est animae, ita...anima indumentum esse dicitur corporis,* id.*princ.*2.3.2(p.115.15ff.; M.11.189B); ἡ ψ. ἡμῶν κατ' αὐτὸν [sc. Χριστόν] μεμορφῶσθαι Bas.*ep.*159(3.247E; M. 32.620B); χρὴ...ἀνενίζειν ἡμᾶς εἰς αὐτὸν [sc. κύριον] πιστεύοντας, καὶ ἀγαπῶντας αὐτὸν...ἵνα γράψας τὴν ἑαυτοῦ εἰκόνα τὴν ἐπουράνιον, ἀποστείλῃ ἐν ταῖς ψ. ἡμῶν Mac.Aeg.*hom.*30.4(M.34.724C); τὴν ψ. μεταπλασθῆναι κατὰ τὴν γνώμην πρὸς τὴν θείαν ὁμοίωσιν, καὶ γενέσθαι ...πνεύματος ἁγίου...οἰκητήριον,...ἵσα θεῷ τῆς ψ. κατὰ τὴν χάριν τῆς κλήσεως ἄσυλον φυλαττούσης ἐν ἑαυτῇ τῶν δωρηθέντων καλῶν τὴν ὑπόστασιν· καθ' ἣν ἀεὶ θέλων Χριστὸς γεννᾶται μυστικῶς, διὰ τῶν σωζομένων σαρκούμενος· καὶ μητέρα παρθένον ἀπεργαζόμενος τὴν γεννῶσαν ψ. Max.*or.dom.*(M.90.889B,C); **b.** as a bride συνεχῶς ἡ ψ. τὸν νυμφίον λόγον ἐπιζητεῖ· καὶ εὑροῦσα πάλιν ἑτέροις ἀποροῦσα ζητεῖ· κἀκεῖνα θεωρήσασα ποθεῖ τὴν ἑτέρων ἀποκάλυψιν· καὶ τυχοῦσα τούτων, ἐπ' ἄλλοις εὐχεται τὸν νυμφίον ἐπιδημεῖν Or.*schol.in Cant.*5:9(M.17. 273C); *ib.*6:7f.(277C,D); φησὶ πρὸς τὴν νύμφην ψ. θεὸς εἶναι ζηλωτής id. *mart.*9(p.10.4; M.11.576B); ψ. ἣν ἂν μνηστεύσηται νύμφην ὁ ἐπουράνιος νυμφίος Χριστός, πρὸς τὴν ἑαυτοῦ μυστικὴν...κοινωνίαν...ἐν πολλῇ σπουδῇ γνησίως ἀρέσκειν ὀφείλει τῷ αὐτῆς μνηστῆρι Χριστῷ...καὶ τὸ πνεῦμα ἐν μηδενὶ λυπεῖν...ἰδοὺ ἡ τοιαύτη ψ. πάντων τῶν τοῦ κυρίου ἀγαθῶν δέσποινα καθίσταται, καὶ αὐτὸ τὸ ἔνδοξον τῆς θεότητος αὐτοῦ, σῶμα αὐτῆς τυγχάνει Mac.Aeg.*hom.*15.2(M.34.576C,D); v. νύμφη, νυμφίος; **3.** in its relation to H. Ghost πνεῦμα δὲ τοῦ θεοῦ...παρὰ δέ τισι τοῖς δικαίως πολιτευομένοις καταγινόμενον καὶ συμπεριπλεκόμενον τῇ ψ. διὰ προαγορεύσεων ταῖς λοιπαῖς ψ. τὸ κεκρυμμένον ἀνήγγειλε Tat. *orat.*13(p.15.2; M.6.836A); χρὴ...ἡμᾶς...ζευγνύναι τε τὴν ψ. τῷ πνεύματι τῷ ἁγίῳ καὶ τὴν κατὰ θεὸν συζυγίαν πραγματεύεσθαι *ib.*15(p.16.5; 837A); τὸ πνεῦμα ᾧκείωται τῇ ὑπ' αὐτοῦ φερομένῃ ψ. Clem.*paed*1.2.2 (p.168.10; M.8.412A); κεκοσμημένη ψ. ἁγίῳ πνεύματι *ib.*3.11(p.272.4; 640A); ἡ ψ. δὲ ἐπαιρομένη καὶ τῷ πνεύματι ἑπομένη τοῦ τε σώματος χωριζομένη καὶ οὐ μόνον ἑπομένη τῷ πνεύματι ἀλλὰ καὶ ἐν αὐτῷ γινομένη,...πῶς οὐχὶ ἤδη ἀποτιθεμένη τὸ εἶναι ψ. πνευματικὴ γίνεται; Or. *or.*9.2(p.319.4ff.; M.11.444D); ἄγγελοι...χαίρουσι τῇ ψ. τῇ ἐκ πνεύματος γεννηθείσῃ, καὶ γενομένῃ πνεῦμα. τοῦτο γὰρ τὸ σῶμα ὁμοίωμα τυγχάνει τῆς ψ., ἡ δὲ ψ. εἰκὼν τοῦ πνεύματος ὑπάρχει· καὶ ὥσπερ τὸ σῶμα χωρὶς τῆς ψ. νεκρόν ἐστι...οὕτως ἄνευ τῆς ἐπουρανίου ψ., χωρὶς τοῦ θείκοῦ πνεύματος, νεκρὰ τυγχάνει ἀπὸ τῆς βασιλείας ἡ ψ. Mac.Aeg.*hom.*30.3 (M.34.724A); ὅταν ἡ ψ. σου κοινωνήσῃ τῷ πνεύματι, καὶ εἰσέλθῃ ψ. ἐπουράνιος εἰς τὴν ψ. σου, τότε εἶ τέλειος ἄνθρωπος *ib.*32.6(737C); *ib.*32. 9(740B); ἐὰν ἀναμφιβόλῳ...κινήσει ἡ ψ. πρὸς τὴν ἀγάπην ἐξάπτηται τοῦ θεοῦ...εἰδέναι δεῖ τοῦ ἁγίου πνεύματος εἶναι τὴν ἐνέργειαν. ἡδυνομένη γὰρ ὅλη ὑπ' ἐκείνης...γλυκύτητος οὐδὲν ἕτερον δύναται τότε ἐννοεῖν, ἐπειδὴ ἀνενδότῳ εὐφραίνεται χαρᾷ Diad.*perf.*33(p.36.18); **4.** attaining perfect contemplation ὅταν γὰρ ψ. γενέσεως ὑπεξαναβᾶσα καθ' ἑαυτήν τε ᾖ καὶ ὁμιλῇ τοῖς εἴδεσιν...οἷον ἄγγελος ἤδη γενόμενος σὺν Χριστῷ τε ἔσται, θεωρητικὸς ὤν Clem.*str.*4.25(p.317.15; M.8.1364C); ἐκείνας φημὶ τὰς γνωστικὰς ψ., τῇ μεγαλοπρεπείᾳ τῆς θεωρίας ὑπερβαινούσας ἑκάστης ἁγίας τάξεως τὴν πολιτείαν...οὐκ ἐν κατόπτροις...ἔτι τὴν θεωρίαν ἀσπαζομένας τὴν θείαν, ἐναργῆ δὲ ὡς ἔνι μάλιστα καὶ ἀκριβῶς εἰλικρινῆ τὴν ἀκόρεστον ὑπερφυῶς ἀγαπώσαις ψ. ἑστιωμένας θέαν *ib.*7.3 (p.10.7ff.; M.9.416C); πύργοι δὲ ἐκλήθησαν, οἱ τὰ ἀρεστὰ τῷ νυμφίῳ ποιοῦντες, σκοπευτήριον ἔχοντες τὴν θεωρητικὴν ψ., ἐκ μετεώρου σκοπεύουσαν ἅπαντα Or.*schol.in Cant.*7:4(M.17.281C); ψ. τὸ λογικὸν ἔχουσι διεξοδικῶς μὲν καὶ κύκλῳ περὶ τὴν τῶν ὄντων ἀλήθειαν περιπορευόμεναι, καὶ τῷ μεριστῷ καὶ τῷ παντοδάπῳ τῆς ποικιλίας ἀπολειπόμεναι τῶν ἐνιαίων νοῶν· τῇ δὲ τῶν πολλῶν εἰς τὸ ἓν συνελίξει, καὶ τῶν ἰσαγγέλων νοήσεων, ἐφ' ὅσον ψυχαῖς οἰκεῖον καὶ ἐφικτόν, ἀξιούμεναι Dion.Ar.*d.n.*7.2(M.3.868B,C); commented, Max.*schol.d.n.*7.2 (M.4.345C); **5.** ref. mystical union; **a.** in gen. φθάνει δὲ ἡ θεία δύναμις, καθάπερ φῶς, ὅλην διΐδεῖν τὴν ψ. ... εἰς τὸ βάθος τῆς ψ. ἀπάσης τὸ φῶς τῆς δυνάμεως ἐκλάμπει Clem.*str.*7.7(p.29.8,12; M.9.453A,B); ἐνταῦθα ...τῆς γνωστικῆς ψ. ἡ τελείωσις, πάσης καθάρσεως τε καὶ λειτουργίας ὑπεκβᾶσαν σὺν τῷ κυρίῳ γίγνεσθαι *ib.*7.10(p.42.1; 481A); ἡ γνωστικὴ ψ. ... καθαρὰ τέλεον γενομένη...πνευματικὴ γὰρ ὅλη γενομένη πρὸς τὸ συγγενὲς χωρήσασα ἐν πνευματικῇ τῇ ἐκκλησίᾳ μένει εἰς τὴν ἀνάπαυσιν τοῦ θεοῦ *ib.*7.11(p.49.16ff.; 496A); ἡ τῷ κυρίῳ προσκολληθεῖσα ψ. εἰς τὸ γενέσθαι πρὸς αὐτὸν ἓν πνεῦμα Gr.Nyss.*virg.*15(p.310.10; M.46. 381C); δεῖ γὰρ τὴν ψ. τὴν ἐν ἀληθείᾳ πιστεύουσαν Χριστῷ, μετατεθῆναι ...εἰς ἑτέραν θείαν φύσιν, καὶ καινὴν αὐτὴν ἀπεργασθῆναι διὰ τῆς δυνάμεως τοῦ ἁγίου πνεύματος Mac.Aeg.*hom.*44.5(M.34.781B); ἐπαναπαύεται ὁ κύριος τῇ ἀγαθῇ τῆς ψ. προαιρέσει, θρόνον δόξης αὐτὴν ἐργαζόμενος, ἐπικαθήμενός τε καὶ ἐπαναπαυόμενος ἐπ' αὐτὴν...ἐστὶν ἡ ψ. ἡ βαστάζουσα τὸν θεόν, μᾶλλον δὲ βασταζομένη ὑπὸ τοῦ θεοῦ *ib.*33.2(741D); αἱ ψ., τοὺς παντοδαποὺς αὐτῶν λόγους ἑνοῦσαι, καὶ πρὸς μίαν νοερὰν συνάγουσαι καθαρότητα, προβαίνουσιν οἰκείως ἑαυταῖς, ὁδῷ καὶ τάξει διὰ τῆς ἀΰλου...νοήσεως ἐπὶ τὴν ὑπὲρ νόησιν ἕνωσιν Dion.Ar. *d.n.*11.2(M.3.949D); ἆρα τὰ θεῖα οὐ πάσχει καὶ πᾶσα ψ., ἡ τὴν θείαν καταξιωθεῖσα κομίσασθαι εἰρήνην; Max.*myst.*5(M.91.680D); cf.id.*carit.*3. 98(M.90.1048A); **b.** through *via negativa* αὐτοὶ [sc. θεόλογοι] τὴν διὰ τῶν ἀποφάσεων ἄνοδον προτετιμήκασιν, ὡς ἐξιστῶσαν τὴν ψ. τῶν ἑαυτῇ συμφύλων, καὶ διὰ πασῶν τῶν θείων νοήσεων ὁδεύουσαν, ὧν ἐξήρηται τὸ ὑπὲρ πᾶν ὄνομα...ἐπ' ἐσχάτων δὲ τῶν ὅλων αὐτῷ συνάπτουσαν Dion. Ar.*d.n.*13.3(981B); **c.** likened to union of iron with fire ἔοικε γὰρ ἡ ψ. σιδήρῳ, ὅτι ἐὰν ἀμεληθῇ ἰοῦται, ἐπειδὰν δὲ πυρωθῇ τὸ πῦρ καθαρίζει αὐτό. καὶ ὅσον ἐστὶν εἰς τὸ πῦρ, ὅμοιον τοῦ πυρός ἐστι, καὶ οὐδεὶς δύναται αὐτὸ κατέχειν, ὅτι πῦρ ἐστι. τοιαύτη ἐστὶν ἡ ψ. ὅσον μένει μετὰ τοῦ θεοῦ καὶ ἀδολεσχεῖ αὐτῷ, πῦρ γίνεται καὶ κατακαίει πάντας τοὺς ἐχθροὺς αὐτῆς...καὶ ἀγνίζει αὐτὴν ἐν καινότητι ὡς τὸ σίδηρον Esaias *or.*25; ὁπόταν ἀπὸ τῶν ἔξωθεν σχολάσασα ᾖ ἡ ψ., τότε οἷά τις φλὸξ περικυκλώσασα ταύτην, ὡς σίδηρον καθάπαξ τῷ πυρὶ πεπυρακτωμένην ὅλην καθίστησι, καὶ ἔστι ψ. μὲν ἡ αὐτή, οὐκέτι δὲ καὶ ἀπτή, ὡς οὐδὲ ὁ πυρακτωθεὶς σίδηρος, ταῖς ἔξωθεν ἐπαφαῖς ‡Max.*cap.al.*103(M.90. 1424B); **d.** effects of union γυμνὴν τῆς ὑλικῆς δορᾶς γενομένην τὴν γνωστικὴν ψ. ἄνευ τῆς σωματικῆς φλυαρίας καὶ τῶν παθῶν πάντων...τῷ φωτὶ καθιερωθῆναι ἀνάγκη Clem.*str.*5.11(p.371.8; 104A); αἱ τῶν ἐναρέτων ἀνθρώπων ἐπίνοιαι κατὰ ἐπίπνοιαν θείαν γίγνονται, διατιθεμένης πως τῆς ψ. καὶ διαδιδομένου τοῦ θείου θελήματος εἰς τὰς ἀνθρωπίνας ψ. *ib.*6.17(p.513.3f.; 389A); exeg. Lam.1:1 'Ιερουσαλὴμ εὐθηνοῦσα...ἡ θεία ἐστὶ ψ. καὶ οὐ θαυμαστόν, εἰ οὐ μόνον οἰκία...ἀλλὰ πασῶν πόλεων διαφέρουσα καὶ παρὰ θεῷ τετιμημένη 'Ιερουσαλὴμ χρηματίζει ἡ τελεία ψ. Or.*fr.8 in Lam.*(pp.237.29,238.3; M.13.609A,B); *ib.*19(p.242.27; 616C); ψυχῆς γὰρ μυστήριον ἐθεώρει [sc. Ezech.], τῆς μελλούσης δέχεσθαι τὸν ἑαυτῆς κύριον, καὶ θρόνος δόξης αὐτῷ γενέσθαι. ψ. γὰρ ἡ καταξιωθεῖσα κοινωνῆσαι τῷ πνεύματι τοῦ φωτὸς αὐτοῦ...ὅλη φῶς γίνεται, καὶ ὅλη πρόσωπον, καὶ ὅλη ὀφθαλμός Mac.Aeg.*hom.*1.2(M.34. 452A); ψ. ἡ ἔχουσα τὸν δεσπότην αὐτῆς πρὸς ἑαυτὴν καὶ ἐν αὐτῇ καταμένοντα, πάσης ὡραιότητος καὶ εὐπρεπείας γέμει *ib.*33.3(744A); τὴν μεγάλην καὶ φιλόσοφον ψ. οὐδὲν τῶν ἐν τῷ παρόντι βίῳ λυπηρῶν δύναται δακεῖν, οὐκ ἔχθραι, οὐ κατηγορίαι...τοιαύτη ἦν ἡ τοῦ Παύλου ψ., πάσης ἀκρωρείας ὑψηλότερον τόπον τὸν τῆς φιλοσοφίας καταλαβοῦσα τῆς πνευματικῆς Chrys.*hom.3.1 in Phil.*(11.211D); cf.id.*hom.9.3 in 1 Thess.* 11.490B,C); ἡ γὰρ τῆς ψ. ἀνδρεία οὐκ ἐν τῇ ἡσυχίᾳ δείκνυται μόνον τοῦ στόματος, ἀλλὰ καὶ ἐν τῇ τῶν λογισμῶν ἀνδραγαθίᾳ, καὶ τῇ τῶν ὕβρεων,

καὶ ἀδικιῶν εὐσταθείᾳ Nil.*Eulog.*18(M.79.1117A); ‡Nil.*perist.*3(M.79.905C); *ἐνοειδῆ γενομένην ψ.*, καὶ *πρὸς ἑαυτὴν καὶ τὸν θεὸν συναχθεῖσαν, οὐκ ἔσται ὁ εἰς πολλὰ κατ' ἐπίνοιαν αὐτὴν ἔτι διαιρῶν λόγος, τῷ...ἑνὶ λόγῳ τε καὶ θεῷ κατεστεμμένην τὴν κεφαλήν· ἐν ᾧ κατὰ μίαν ἀπερινόητον ἁπλότητα πάντες οἱ τῶν ὄντων λόγοι ἑνοειδῶς...ὑφεστήκασιν* Max. *myst.*5(M.91.681B).

E. senses of the soul, v. *αἰσθητήριον*; **1.** definitions *ἡ σύνεσις ὄψις ἐστὶ ψ.* Clem.*paed.*1.9(p.135.9; M.8.341C); *ὀφθαλμὸν...τὸν τῆς ψ. φησι, τὸ διορατικὸν ἐκεῖνο καὶ λογικόν, ὅπερ ἡ ἔννοια τῶν οἰκείων ἁμαρτημάτων παράττειν εἴωθεν* Chrys.*exp.in Ps.*6(5.46E); **2.** in gen. *ἐμβλέψωμεν τοῖς ὄμμασιν τῆς ψ. εἰς τὸ μακρόθυμον αὐτοῦ βούλημα* 1*Clem.*19.3; *οἱ τῆς ψ. ὀφθαλμοί* Just.*dial.*134.5(M.6.788B); *ὑπεχέτω τὰ ὦτα τῆς ψ.* Clem.*str.*7.16(p.72.36; M.9.541C); *ἀνοίξαντος τοῦ λόγου τοὺς ὀφθαλμοὺς τῆς ψ. ἡμῶν* Or.*Cels.*6.67(p.137.15; M.11.1400C); **3.** needing purification and enlightenment *τό τε ἴδιον τοῦ ἀνθρώπου, τὸ ὄμμα τῆς ψ., ἐκκαθαίρειν* Clem.*paed.*2.1(p.154.7; M.8.377C); *ὁ δὲ λόγος ὁ ὑγιής, ὃς ἐστιν ἥλιος ψ., δι' οὗ μόνου ἔνδον ἀνατείλαντος ἐν τῷ βάθει τοῦ νοῦ αὐτῆς κατανγάζεται τὸ ὄμμα* id.*prot.*6(p.52.15; M.8.173B); *τὸν ὀφθαλμὸν τῆς ψ. ἀποκαθαρθῆναι, ὥστε πᾶσαν τὴν ἀπὸ τῆς ἀγνοίας ἐπισκότησιν, οἱονεί τινα λήμην, ἀφαιρεθέντα, δύνασθαι ἀνατενίζειν τῷ κάλλει τῆς δόξης τοῦ θεοῦ, οὐ μικροῦ ἔργου κρίνω* Bas. *ep.*150.1(3.239E; M.32.601B); *εἴ τις ἀκριβῶς ἐθέλοι τὴν αἰτίαν σκοπεῖν τῶν...μοχθηρῶν ὑπολήψεων, οὐκ ἄν μοι δοκεῖ ἄλλην εὑρεῖν, ἢ τὸ μὴ ἀκριβῶς ἡμῶν γεγυμνάσθαι τὰ τῆς ψ. αἰσθητήρια πρὸς τὴν τοῦ καλοῦ καὶ μὴ τοιούτου διάκρισιν* Gr.Nyss.*virg.*11(p.292.22; M.46.364D); **4.** apprehending the divine *Χριστιανὸς...εὐχόμενος, μύσας τοὺς τῆς αἰσθήσεως ὀφθαλμοὺς καὶ ἐγείρας τοὺς τῆς ψ., ὑπεραναβαίνει τὸν ὅλον κόσμον* Or.*Cels.*7.44(p.196.1; M.11.1485B); ref. Christ *ἐγὼ δέ φημι ὅτι καὶ μετὰ τὴν ἐνανθρώπησιν ἀεὶ εὑρίσκεται τοῖς ἔχουσιν ὀφθαλμοὺς ψ. ὀξυδερκεστάτους θεοπρεπέστατος καὶ ἀληθῶς θεόθεν πρὸς ἡμᾶς κατελθών* *ib.*3.14(p.213.26; 937A); *ὁ δὲ κεκωφωμένος τὴν τῆς ψ. ἀκοὴν ἀναισθητεῖ λέγοντος θεοῦ* *ib.*2.72(p.194.18; 909A); *τὰ τῆς κεκαθαρμένης ψ. ὄμματα ὑπὸ νοεροῦ φωτὸς καταυγαζόμενα* Eus.*Is.*6:1 (M.24.125A); *τοὺς ὀφθαλμοὺς τῆς ψ. διανοίγοντος εἰς κατανόησιν ὧν βούλεται θεαμάτων* †Bas.*Is.*proem.3(1.380B; M.30.124B); *αἰσθητήρια δὲ τάχα μὲν τὰ τῆς ψ. κινήματα καὶ διανοήματα, καὶ τούτων μάλιστα, ὅσα ἐκ τῆς αἰσθήσεως, οἷς ὁ δίκαιος σπαράσσεται, καὶ θερμαίνεται... καὶ οὐδὲ καθεκτός ἐστι διὰ τὴν ζέσιν τοῦ πνεύματος* Gr.Naz.*or.*17.1(M. 35.965A); *μακάριος μὲν μοναχός, ὁ τοῖς τῆς ψ. ὄμμασιν ταῖς νοεραῖς δυνάμεσιν ἐνατενίζειν δυνάμενος* Jo.Clim.*scal.*7(M.88.809A); **5.** relation between physical and spiritual senses, exeg. Gen.3:5ff. *διηνοίχθησαν...αὐτῶν οἱ ὀφθαλμοὶ τῆς αἰσθήσεως, οὓς καλῶς ἦσαν μύσαντες, ἵνα μὴ περισπώμενοι ἐμποδίζωνται βλέπειν τῷ τῆς ψ. ὀφθαλμῷ· οὓς δὲ τέως εἶχον βλέποντας τῆς ψ. ὀφθαλμοὺς καὶ εὐφραινομένους ἐπὶ τῷ θεῷ...τούτους οἶμαι διὰ τὴν ἁμαρτίαν ἔμυσαν* Or.*Cels.*7.39(p.190. 2f.; M.11.1476C); contrasted with Jo.9:39 *μὴ βλέποντας μὲν αἰνιττόμενος τοὺς τῆς ψ. ὀφθαλμούς, οὓς ὁ λόγος ποιεῖ βλέπειν, βλέποντας δὲ τοὺς τῶν αἰσθήσεων· τούτους δὲ ἐτύφλου ὁ λόγος, ἵνα ἀπερισπάστως ἡ ψ. βλέπῃ ἃ δεῖ. παντὸς οὖν τοῦ κατὰ τρόπον Χριστιανίζοντος ὁ τῆς ψ. ἐγήγερται ὀφθαλμὸς καὶ ὁ τῆς αἰσθήσεως μέμυκε· καὶ ἀνάλογον τῇ ἐγέρσει τοῦ κρείττονος ὀφθαλμοῦ καὶ τῇ μύσει τῶν ὄψεων τῆς αἰσθήσεως νοεῖται καὶ θεωρεῖται ὁ ἐπὶ πᾶσι θεὸς καὶ ὁ υἱὸς αὐτοῦ* *ib.* (p.190.9ff.; 1476D–1477A); exeg. Cant.4:9ff. *ἐκαρδίωσας ἡμᾶς...ἑνὶ ἀπὸ ὀφθαλμῶν σου τὸν διορατικὸν τῆς φρονήσεως ὀφθαλμὸν δείκνυσιν... δισσὴν γὰρ ὄψεως δύναμιν εἶναι παντί που καταφανές, μίαν μὲν ψ., θατέραν δὲ σώματος* Meth.*symp.*7.2(p.72.24; M.18.128A).

F. types and symbols of soul; **1.** exeg.; ref. Exodus *ταῦτα... μυστήριόν ἐστι ψ., τῆς ἐν τῇ παρουσίᾳ τοῦ Χριστοῦ λυτρωθείσης* Mac. Aeg.*hom.*47.5(M.34.800B); *ib.*47.9(801C); *ἐξάγει οὖν τὴν ψ. ἐξ Αἰγύπτου καὶ τῆς ἐν αὐτῇ δουλείας...ἀπολαμβάνει γὰρ ἐξιοῦσα τοῦ σκότους ἡ ψ. τὰ ἀργυρᾶ καὶ χρυσᾶ σκεύη, ἤγουν τοὺς ἰδίους ἀγαθοὺς λογισμούς* *ib.*47.10(801D); *ἀπαίρουσιν υἱοὶ Ἰσραὴλ τὸ πάσχα ποιήσαντες· προκόπτει ἡ ψ., λαβοῦσα ζωὴν πνεύματος ἁγίου* *ib.*47.11(804A); ref. Is.1:2 *εἰπὼν...οὐρανὸν τὴν τοῦ γνωστικοῦ ψ.* Clem.*str.*4.26(p.323.14; M.8. 1377B); Is.4:2 *γῆν πολλαχοῦ τὴν ψ. ὁ λόγος λέγει τὴν ὑποδεχομένην τὰ τοῦ λόγου σπέρματα* †Bas.*Is.*1.19(1.391B; M.30.149A); Is.5:1ff. *ἀμπελὼν δὲ ἡ ψ., τὴν καρποφορίαν ἀξίαν τῆς ἐξ ἀρχῆς φυτείας καὶ τῆς τοῦ θεοῦ γεωργίας ἀπαιτουμένη* *ib.*1.21(1.393E; M.156B); Is.6:3 *Χερουβὶμ...σύμβολον δ' ἐστὶ λογικῆς μὲν τὸ πρόσωπον ψ.* Clem.*str.*5.6 (p.351.4; M.9.61C); Jer.4:19 *κοιλίαν μὲν τὴν ἑαυτοῦ ψ. ὀνομάζων, κατὰ τοὺς τῆς τροπῆς νόμους. οὕτω γὰρ εὑρίσκω πολλαχοῦ τῆς γραφῆς, εἴτε ὡς ἀπόκρυφον καὶ ἀόρατον (τὸ γὰρ αὐτὸ καὶ ψ. καὶ γαστρὸς τὸ κρύπτεσθαι)* Gr.Naz.*or.*17.1(M.35.965A); Cant.6.7f. *εἶναι γὰρ νύμφην μὲν τὴν ἐκκλησίαν, βασιλίσσας δὲ τὰς βασιλικὰς ἐκείνας τὰς πρὸ τοῦ κατακλυσμοῦ ψ. εὐαρέστους τῷ θεῷ γεγενημένας...παλλακὰς δὲ τὰς μετὰ τὸν κατακλυσμὸν τῶν προφητῶν, αἷς πρὸ τοῦ τὴν ἐκκλησίαν ἁρμοσθῆναι τῷ κυρίῳ παλλακίδων δίκην συγγινόμενος ἀληθεῖς ὑπέσπειρε λόγους... ἵνα γεννήσωσιν αὐτῷ συλλαβοῦσαι πίστιν...τοιαῦτα γὰρ ἀποβλαστήματα φύουσιν αἱ ψ.* Meth.*symp.*7.4(p.75.11; M.18.129C); Jo.2:14 *Ἰησοῦς...εἰσέρχεται εἰς τὴν Ἱεροσόλυμα καλουμένην ψ. ... τοῦ τ' ἐπὶ τὴν θεραπείαν τῆς ψ. ἀνάγοντος τὰ γεγραμμένα καὶ ἐπ' αὐτὴν αὐτὰ ἀλληγοροῦντος...μόνος δὲ εἰς τὴν Ἱεροσόλυμα ψ. οὐκ ἔρχεται, ἀλλ' οὐδὲ μετὰ ὀλίγων τινῶν* Or.*Jo.*10.28(18; p.201.23ff.; M.14.357B,C); **2.** Church as type of soul *εἰκόνα...εἶναι δύνασθαι τὴν ἁγίαν ἐκκλησίαν ἐδίδασκεν...τῆς ψ. καθ' ἑαυτὴν τῷ λόγῳ θεωρουμένης* Max. *myst.*5(M.91.672D); *κατὰ τὴν θεωρίαν εἰκαζομένη τῇ ψ. ἡ ἁγία... ἐκκλησία...καὶ πάντα συνάγουσα πρὸς τὸ τελούμενον ἐπὶ τοῦ θείου θυσιαστηρίου μυστήριον· ὅπερ διὰ τῶν κατὰ τὴν ἐκκλησίαν ἐπιτελουμένων ὁ δυνηθεὶς...σοφῶς μυηθῆναι, ἐκκλησίαν ὄντως θεοῦ, καὶ θείαν τὴν ἑαυτοῦ ψ. κατεστήσατο* *ib.*(681C,D); **3.** *ψ.* as term for spiritual sense of scripture, v. *γραφή*.

III. soul of Christ; **A.** outside Christol. controversies; **1.** in gen. *Χριστὸν γεγονέναι, καὶ σῶμα, καὶ λόγον, καὶ ψ.* Just.*2apol.*10.1 (M.6.460B); *περὶ δὲ τοῦ Ἰησοῦ εἰποιμεν ἄν, ἐπεὶ συμφέρον ἦν τῷ τῶν ἀνθρώπων γένει παραδέξασθαι αὐτὸν ὡς υἱὸν θεοῦ, θεὸν ἐληλυθότα ἐν ἀνθρωπίνῃ ψ. καὶ σώματι* Or.*Cels.*3.29(p.226.27; M.11.957A); *εἰ... σῶμα θνητὸν καὶ ψ. ἀνθρωπίνην ἀναλαβὼν ὁ ἀθάνατος θεὸς λόγος δοκεῖ τῷ Κέλσῳ ἀλλάττεσθαι καὶ μεταπλάττεσθαι, μανθανέτω ὅτι ὁ λόγος τῇ οὐσίᾳ μένων λόγος, οὐδὲν μὲν πάσχει ὧν πάσχει τὸ σῶμα ἢ ἡ ψ.* *ib.*4.15 (p.285.15,18; 1048A); *ib.*6.47(p.119.5; 1372C); cf. *filius dei...suscepit non solum corpus humanum, ut quidam putant, sed et animam, nostrarum quidem animarum similem per naturam, proposito vero et virtute similem sibi et talem, qualis omnes voluntates...verbi ac sapientiae indeclinabiliter posset implere,* id.*princ.*4.4.4(31; p.353. 11; M.11.405B); *illa anima, quae quasi ferrum in igne sic semper in verbo,...semper in deo, posita est, omne quod agit, quod sentit, quod intelligit, deus est,* *ib.*2.6.6(p.145.18; 214A); exeg. Ps.21:21 *μονογενῆ δὲ τὴν ἰδίαν ψ. εἶπεν, ὡς μόνην ἁμαρτίαν μὴ γνοῦσαν· ἀλλὰ καὶ ὅτι μόνη διὰ παντὸς εἶχε τοῦ θεοῦ λόγου τὴν ἕνωσιν* id.*Ps.*21:21(p.477); *θεὸς σαρκὶ διὰ μέσης ψ. ἀνεκράθη, καὶ συνεδέθη τὰ διεστῶτα τῇ πρὸς ἄμφω τοῦ μεσιτεύοντος οἰκειότητι* Gr.Naz.*or.*2.23(M.35.432B); *πάντα ὑπὲρ πάντων γενόμενος...σῶμα, ψ., νοῦς* *ib.*30.21(M.36.132B); *σάρκα φορεῖ διὰ τὴν σάρκα, καὶ ψ. νοερᾷ διὰ τὴν ἐμὴν ψ. μίγνυται* *ib.*45.9 (633C); *ὁ ἀχώρητος, χωρεῖται, διὰ μέσης ψ. νοερᾶς μεσιτευούσης θεότητι καὶ σαρκὸς παχύτητι* *ib.*(636A); Justn.*conf.*(p.74.27; M.86.997B) cit. s. *ὑπόστασις*; **2.** Origen's doctrine of pre-existence applied to soul of Christ *τάχα γὰρ ἡ μὲν τοῦ Ἰησοῦ ψ. ἐν τῇ ἑαυτῆς τυγχάνουσα τελειότητι ἐν θεῷ καὶ τῷ πληρώματι ἦν, καὶ ἐκεῖθεν ἐξεληλυθυῖα, τῷ ἀπεστάλθαι ἀπὸ τοῦ πατρός, ἀνέλαβεν τὸ ἐκ τῆς Μαρίας σῶμα* Or.*Jo.* 20.19(17; p.351.26; M.14.616A); *ib.*19.22(5; p.324.14; 568C); cf. *haec vero anima, quae in Jesu fuit, priusquam sciret malum, elegit bonum...oleo ergo laetitiae ungitur, cum verbo dei immaculata foederatione conjuncta est et per hoc sola omnium animarum peccati incapax fuit,* id.*princ.*4.4.4(31; p.354.10ff.; M.11.405C); *ὥσπερ ὁ υἱὸς καὶ πατὴρ ἕν εἰσιν, οὕτω καὶ ἦν εἴληφεν ὁ υἱὸς ψ. καὶ αὐτὸς ἕν εἰσιν* *ib.*4.4.4(31; p.354.16; 406A); rejected *εἰκότως καταγνώσονται ἑαυτῶν πάντες οἱ νομίσαντες πρὸ τῆς Μαρίας...τινὰ ἐσχηκέναι ψ. ἀνθρωπίνην τὸν λόγον* Ath.*ep.Epict.*8(p.13.9; M.26.1064B); **3.** soul as mediating between his body and his Godhead, cf. *illa anima...ab initio creaturae et deinceps inseparabiliter ei...inhaerens utpote sapientiae et verbo dei...et tota totum recipiens...facta est cum ipso principaliter unus spiritus...hac ergo substantia animae inter deum carnemque mediante (non enim possibile erat dei naturam corpori sine mediatore misceri) nascitur, ut diximus, deus-homo...sed neque rursum anima illa utpote substantia rationabilis, contra naturam habuit capere deum,* Or.*princ.*2.6.3(p.142.4ff.; M.11.211C,D); **4.** discussion whether his soul, regarded as an independent creature, is subject to change *εἰ δ' ἐπὶ τῆς Ἰησοῦ ψ. λαμβάνει τις τὴν μεταβολήν, αὐτῆς εἰς σῶμα ἐλθούσης, πευσόμεθα, πῶς λέγει μεταβολήν. εἰ μὲν γὰρ τῆς οὐσίας, οὐ δίδοται οὐ μόνον ἐπ' ἐκείνης, ἀλλ' οὐδὲ περὶ ἄλλου λογικῆς ψ.· εἰ δ' ὅτι πάσχει τι ὑπὸ τοῦ σώματος ἀνακεκραμένη αὐτῷ καὶ ἀπὸ τοῦ τόπου, εἰς ὃν ἐλήλυθε, καὶ τί ἄτοπον ἀπαντᾷ τῷ λόγῳ, ἀπὸ πολλῆς φιλανθρωπίας καταβιβάζοντι σωτῆρα τῷ γένει τῶν ἀνθρώπων;* id.*Cels.*4.18(p.288.1; M.11.1049D); **5.** ascent of his soul *ὅρα εἰ μὴ μυστικώτερον καὶ οὐ τοπικῶς περὶ τῆς Ἰησοῦ ψ. ἀκούσει τό· Ἀναβὰς ὑπεράνω πάντων τῶν οὐρανῶν· ἡ γὰρ νοητὴ ἀνάβασις ἐκείνης τῆς ψ. ὑπερπεπήδηκεν καὶ πάντας τοὺς οὐρανούς καί, ὡς ἔστιν εἰπεῖν, ἤδη ἔφθασεν πρὸς αὐτὸν τὸν θεόν* id.*Jo.*19.22(5; p.323.28ff.; M.14.568B); **6.** symbol of his soul: leaven in eucharist *ἡ γὰρ ζύμη ἀντὶ ψ. τῷ φυράματι γίνεται* ‡Jo.D.*azym.* proem.(M.95.388A); **7.** acc. Carpocrates *τὸν δὲ Ἰησοῦν ἐξ Ἰωσὴφ γεγενῆσθαι...τὴν δὲ ψ. αὐτοῦ εὔτονον καὶ καθαρὰν γεγουνῖαν, διαμνημονεῦσαι τὰ ὁρατὰ μὲν αὐτῇ ἐν τῇ μετὰ τοῦ ἀγεννήτου θεοῦ*

περιφορᾷ...τὴν δὲ τοῦ Ἰησοῦ λέγουσι ψ. ἐνόμως ἠσκημένην ἐν Ἰουδαϊκοῖς ἔθεσι, καταφρονῆσαι αὐτῶν, καὶ διὰ τοῦτο δυνάμεις ἐπιτετελεκέναι, δι' ὧν κατήργησε τὰ ἐπὶ κολάσει πάθη προσόντα τοῖς ἀνθρώποις. τὴν οὖν ὁμοίως ἐκείνῃ τῇ τοῦ Χριστοῦ ψ. δυναμένην καταφρονῆσαι τῶν κοσμοποιῶν ἀρχόντων, ὁμοίως λαμβάνειν δύναμιν πρὸς τὸ πρᾶξαι τὰ ὅμοια Iren.*haer.*1.25.1(M.7.680A,B).

B. denials of Christ's human soul outside Apollinarian controversy; **1.** Eusebius: *Marcell.*2.4(p.57.8; M.24.821A) cit. s. σάρξ; ἐνοικῶν δ' ἐν τῇ σαρκὶ ὁ λόγος...εἰ μὲν τοῦ πατρὸς ἐκτὸς ἦν, ζῶν καὶ ὑφεστὼς καὶ τὴν σάρκα κινῶν ψυχῆς δίκην id.*e.th.*1.20(p.87.26; M.24.877A); *ib.*(p.88.5; 877B); where he speaks of Christ's ψ. he only reproduces scriptural passages, e.g.*d.e.*3.2(p.105.27ff.; M.22.181Dff.); *ib.*10.1(p.449.27ff.; 724Bff.); cf. θεὸς...ἅτε ψ. ἀψύχῳ σώματι, τῇ τῶν σωμάτων ἀλόγῳ φύσει τὸν αὐτοῦ λόγον ἐμβαλών *l.C.*12(p.231.30; M.20.1389C); **2.** Lucian of Antioch and Arians Λουκιανὸς γὰρ καὶ πάντες Λουκιανισταὶ ἀρνοῦνται τὸν υἱὸν τοῦ θεοῦ ψ. εἰληφέναι Epiph.*anc.*33 (p.42.20; M.43.77A); discussion of views, *ib.*35,36(p.44.26ff.; 80Dff.); teaching opposed, Eust.*fr.*56(p.91; M.18.689D) cit. s. ὁμογενής; ἡ ψ. τὴν συγγενῆ ψ. [sc. of penitent thief] ὁδηγοῦσα *ib.*(p.91; 692A); **3.** Pseudo-Ignatius ἐάν τις...νομίζῃ τὸν κύριον, οὐχὶ θεὸν μονογενῆ... ἀλλ' ἐκ ψ. καὶ σώματος αὐτὸν εἶναι νομίζῃ, ὁ τοιοῦτος ὅφις ἐστίν ‡Ign. *Philad.*6; ‡Ign.*Phil.*5; cf. τινὲς...ἀσεβοῦσι, ψιλὸν ἄνθρωπον εἶναι φανταζόμενοι τὸν κύριον, ἐκ ψ. καὶ σώματος αὐτὸν εἶναι νομίζοντες *Const. App.*6.26.2.

C. in Apollinarian controversy; **1.** Apollinarius' denial of a human soul in Christ ἔζησεν τὸ σῶμα θεότητος ἁγιασμῷ καὶ οὐκ ἀνθρωπίνης ψ. κατασκευῇ Apoll.*corp.et div.*(p.190.19; M.*PL.*8. 875A); ἤρκει καὶ μόνον τὸ αὐτοῦ θέλημα διὰ τοῦ ἐν τῇ σαρκὶ σκηνώσαντος λόγου πρὸς τὸ ταύτην ζωοποιεῖν καὶ κινεῖν, ἀναπληρούσης τῆς θείας ἐνεργείας τὸν τῆς ψ. τόπον καὶ τοῦ ἀνθρωπίνου νοός id.*fr.*2 (p.204.8)ap.Anast.S.*monoph.*(M.89.1181D); εἰπὼν γὰρ ὅτι ὁ λόγος σὰρξ ἐγένετο, οὐ προσέθηκε καὶ ψ. ἀδύνατον γὰρ δύο νοερὰ καὶ θελητικὰ ἐν τῷ ἅμα κατοικεῖν...οὐκοῦν οὐ ψ. ἀνθρωπίνης ἐπελάβετο ὁ λόγος, ἀλλὰ μόνου σπέρματος Ἀβραάμ· τὸν γὰρ τοῦ σώματος Ἰησοῦ ναὸν προδιέγραψεν ὁ ἄψυχος καὶ ἄνους καὶ ἀθελὴς τοῦ Σαλομῶντος ναός *ib.* (p.204.11ff.; 1184A); v. νοῦς; **2.** orthodox refutation; **a.** salvation of whole man requires a human soul in Saviour οὐδὲ γὰρ οἷόν τε ἦν, τοῦ κυρίου δι' ἡμᾶς ἀνθρώπου γενομένου, ἀνόητον εἶναι τὸ σῶμα αὐτοῦ, οὐδὲ σώματος μόνου, ἀλλὰ καὶ ψ. ἐν αὐτῷ τῷ λόγῳ σωτηρία γέγονεν Ath.*tom.*7(M.26.804B) but cf. infra f; ὅπου κεκράτητο ἡ ψ. ἡ ἀνθρωπίνη ἐν θανάτῳ, ἐκεῖ ἐπιδείκνυται ὁ Χριστὸς τὴν ἀνθρωπίνην ψ. ἰδίαν οὖσαν, ἵνα καὶ παρῇ ὡς ἄνθρωπος ὁ ἀκράτητος ἐν θανάτῳ, ὡς θεός· ἵνα...ὅπου ἐβασίλευσεν ὁ θάνατος ἐν μορφῇ ψ. ἀνθρωπίνης, παρὼν ὁ ἀθάνατος ἐπιδείξηται τὴν ἀθανασίαν ‡Ath.*Apoll.*1.17(M.28. 1124C); πῶς ἡ κράτησις τοῦ θανάτου τελείαν ἐλάμβανε τὴν λύσιν, εἰ τὸ κατὰ φρόνησιν ἁμαρτῆσαν, τὴν ψ. Χριστὸς ἀναμάρτητον οὐ συνεστήσατο ἐν ἑαυτῷ; ἔτι οὖν βασιλεύει ὁ θάνατος τοῦ ἔσωθεν ἀνθρώπου· τίνος γὰρ ἄλλου καὶ ἐβασίλευσέ ποτε, οὐχὶ ψ. τῆς ἐν φρονήσει ἁμαρτησάσης...ὑπὲρ ἧς τὴν ἰδίαν ψ. τέθεικεν ὁ Χριστὸς λύτρον ἀντιδιδούς; *ib.*1.19(1125C,D); τῷ σώματι καὶ τῇ ψ. ἑαυτὸν ἐπιμερίσας, διὰ μὲν τῆς ψ. ἀνοίγει τῷ ληστῇ τὸν παράδεισον Gr.Nyss.*Apoll.*17(M. 45.1156A); ὁ μονογενὴς θεός, αὐτὸς ἀνίστησι τὸν ἀνακραθέντα ἄνθρωπον αὐτῷ, καὶ χωρίσας τοῦ σώματος τὴν ψ., καὶ ἑνώσας πάλιν ἀμφότερα, καὶ οὕτως ἡ κοινὴ γίνεται σωτηρία τῆς φύσεως *ib.*(1156C); **b.** full humanity of Christ requires a human soul ὁ γὰρ ἐκ ψ. νοερᾶς καὶ σώματος συνεστηκώς, ἄνθρωπος λέγεται· ᾧ δὲ μὴ συνεπινοεῖται τὰ δύο, πῶς ἡ τοῦ ἀνθρώπου κλῆσις ἐφαρμοσθήσεται; *ib.*2(M.45.1128B); ὁ ἀνθρωπίνην σάρκα, καὶ ταύτην ἔμψυχον, προσοικίζων τῷ λόγῳ, οὐδὲν ἕτερον, ἢ ὅλον συνάπτει τὸν ἄνθρωπον· οὐδὲν γὰρ ἄλλο παρὰ τὴν νοερὰν φύσιν τῆς ἀνθρωπίνης ψ. ἐστιν ἰδίωμα... ὁ τοίνυν λέγων ἄνθρωπον εἶναι τὸν προσειλημμένον, ἔμψυχον δὲ τοῦτον διδούς, οὐδὲν ἕτερον ἢ καὶ νοητὴν αὐτῷ προεμαρτύρησε δύναμιν, ὅπερ ἴδιον τῆς ἀνθρωπίνης ἐστὶ ψ. *ib.*7(1137B); **c.** proof from Christ's human emotions εἰ δὲ ἐπ' ἀληθείας εἴρηται, ἀλλοτρία δὲ καθόλου ἡ ψ. τοῦ κυρίου ἐγεγόνει τῆς ἰδίας νοήσεως, θεὸν τὸν λόγον ἔχουσα νοῦν, τετράφθαι τὸ ἄτρεπτον εἰς λύπην...καὶ ταραχήν, τὸ ἐννοεῖν, ἀσεβές ἐστι...ἀλλὰ δείκνυσι τὸν νοῦν ὁ κύριος εἰρηκώς· ἡ ψ. μου τετάρακται. εἰ δὴ ψ. ἰδίας νόησιν ὁ κύριος ἐπιδείκνυται, εἰς συμπάθειαν τῆς ἡμετέρας ψ., ἵνα οὕτω καὶ αὐτοῦ νοήσωμεν εἶναι τὸ πάθος, καὶ αὐτὸν ἀπαθῆ ὁμολογῶμεν. ὥσπερ γὰρ τῷ αἵματι τῆς σαρκὸς αὐτοῦ ἐλυτρώσατο ἡμᾶς, οὕτω καὶ τῇ νοήσει τῆς ψ. αὐτοῦ τὴν νίκην ὑπὲρ ἡμῶν ἐπιδείκνυται ‡Ath.*Apoll.*1.16(M.28.1121B,C); **d.** from death and descent into Hades ὁ κύριος...παραδοὺς τὸ πνεῦμα, τὸ ἔσωθεν τοῦ ἰδίου σώματος, τουτέστι τὴν ψ. ἐσήμανε· περὶ ἧς καὶ εἴρηκεν, ὅτι τίθημι ὑπὲρ τῶν προβάτων τῶν ἐμῶν. ὥστε τὴν ἔκπνευσιν οὐκ ἄν τις εἴποι θεότητος μετάστασιν, ἀλλὰ ψ. ἀποχώρησιν. εἰ γὰρ κατὰ μετάστασιν θεότητος ὁ θάνατος γέγονε καὶ ἡ τοῦ σώματος νέκρωσις, ἴδιον ἄρα θάνατον ἀπέθανε, καὶ οὐ τὸν ἡμέτερον. καὶ πῶς εἰς ᾅδου κατῆλθεν ἀπαρακαλύπτῳ τῇ θεότητι; ποῦ οὖν ἡ ψ., ἣν ἐπηγγείλατο ὁ κύριος τιθέναι ὑπὲρ τῶν προβάτων...εἰ δὲ ψ. ἀποχώρησις γέγονε, διὰ τοῦτο εἴρηται, ὅτι τὸν ἡμέτερον ἀπεδέξατο θάνατον *ib.*1.18(1125B,C); **e.** refutation of Apollinarian idea that ψ. belongs to the 'outer man' τί οὖν περὶ τῆς ψ. ἐρεῖτε, ὅτι καὶ τὸ σῶμα καὶ ἡ ψ. ὁ ἔξωθέν ἐστιν ἄνθρωπος, ὡς ἂν εἴποι τις, τὸ αἷμα καὶ τὴν σάρκα; ἀλλ' ὥσπερ τὸ σῶμα καὶ τὸ αἷμα οὐ διαφεύγουσι τὴν ψηλάφησιν...δείξατε ἡμῖν καὶ τὴν ψ. μὴ διαφεύγουσαν ταῦτα...ἤ, εἰ μὴ δύνασθε δεῖξαι,...οὔτε ὁρᾶται ψ., οὔτε ἀποκτείνεται ὑπὸ ἀνθρώπου...οὐ μόνον ἐφ' ἡμῖν τούτων δεικνυμένων, ἀλλὰ καὶ ἐν αὐτῷ τῷ θανάτῳ τοῦ Χριστοῦ ἐδείκνυτο· τὸ μέν τοι [sc. σῶμα], μέχρι τάφου φθάσαν· ἡ δέ [sc. ψ.], μέχρι ᾅδου διαβᾶσα *ib.*1.13(1116D–1117A); **f.** rejection of thesis that Christ had only an animal, but not an intellectual, soul τὴν νοερὰν τοῦ ἀνθρώπου φύσιν, ἥτις νοεῖται ψ.,... ἄφευκτον ταύτην τῆς ἁμαρτίας διοριζόμενοι· κἂν ὅτι μάλιστα καὶ ψ. σαρκικὴν γεγράφατε, πόθεν μαθόντες οὐ συνεπίσταμαι...πῶς εἰ σαρκικὴ ἡ ψ. καθ' ὑμᾶς, οὐ συνθήσκει τῷ σώματι *ib.*2.8(1144C,D).

D. in Monothelite controversy; **1.** in gen. ὅρα...τὸ...πεπλανημένον τῶν αἱρετικῶν· πάντα τὰ συγγενῆ ὄντα τῶν ἀλόγων ἀνελλιπῶς ὁμολογοῦσιν ἐν Χριστῷ...τὰ δὲ τῆς νοερᾶς καὶ ἀθανάτου ψ. ἰδιώματα... ταῦτα ὡς πονηρὰ ὄντα ὁμολογεῖν ἐν Χριστῷ...οὐκ ἀνέχονται Anast.S. *serm.imag.*3(M.89.1168A); **2.** comparison with soul of Adam ἐπιδημήσας οὖν ὁ τοῦ θεοῦ λόγος ἐπὶ τὸ ἀνακαινίσαι τὸν Ἀδάμ, τοιαύτην ἑαυτῷ ψ. ἐδημιούργησεν, οἵαν ἁπαρχῆς ἐξ ἑαυτοῦ διὰ τοῦ ἐμφυσήματος τῷ Ἀδὰμ μετέδωκεν *ib.*(1169D); ἡ μὲν γὰρ τοῦ Ἀδὰμ ψ. ἐκ θεοῦ τὴν ὕπαρξιν διὰ τοῦ ἐμφυσήματος ἔσχεν· ἡ δὲ τοῦ Ἐμμανουὴλ ψ. ἔνθεον, καὶ σύνθεον, καὶ ὁμόθεον τὴν οὐσίωσιν ἔσχεν *ib.*(1172A); **3.** proof of orth. position from descent into Hades τίς τὰς ἀπ' αἰῶνος δεσμίους ψ. τῶν κεκοιμημένων ἀνθρώπων ἐπεσκέψατο; πρόδηλον, ὅτι ἡ...Χριστοῦ τοῦ θεοῦ ψ. τὰς ὁμοουσίους αὐτῆς ψ. τὰς λογικὰς ἐπεσκέψατο *ib.*(1172D); αὕτη [sc. the soul of Christ] βοήσασα...ἐξέλθετε, ὡς τόπον ἀναπληροῦσα τελείου ἀνθρώπου τοῦ ἐκ ψ. συνισταμένου καὶ σώματος...ἡ νοερὰ τὰς νοερὰς ἐπιβλέψασα, ψ. τὰς ψ. ... πῶς γὰρ ἂν καὶ ἐδέξαντο τὸ τῆς ἁγίας ψ. κήρυγμα, εἰ μὴ διὰ τῆς νοερᾶς αὐτῶν λογικῆς θελήσεως; *ib.*(1173A); *ib.*(1173D); **4.** from Christ's obedience, *ib.*(1173C) cit. s. ἀθελής.

ψυχικός, A. *of the soul, spiritual*; **1.** in gen. ἐν νόσῳ ψ. ὑπάρχοντα Just.*dial.*30.1(M.6.537C); Clem.*str.*6.12(p.481.30; M.9.320C); *ib.*7.16 (p.67.3; 532A); Or.*fr.25 in Jer.*(p.210.18; M.13.592C); τῶν ψ. ... κακῶν *ib.*36(p.217.4; 600D); ὑπὸ ψ. μοιχείας καὶ θάνατος γίνεται *Hom.Clem.* 3.28; Chrys.*hom.27.2 in Mt.*(7.327D); ἵνα...ἡμᾶς ἐλευθερώσῃ ψ. ἁρπαστημάτων Cyr.*Lc.*4:38(M.72.552C); *ib.*6:41(601D); τὰς ψ. ... ἕξεις Dion.Ar.*e.h.*2.1(M.3.392A); *ib.*3.3.5(432A); opp. σωματικός, Clem. *str.*7.7(p.28.26; M.9.453D); φυσικός, id.*paed.*3.2(p.243.11; M.8.573A); Didym.*Trin.*2.27(M.39.765A); κοσμικός, Ath.*exp.Ps.*118:170(M.27. 508B); **2.** ref. senses of soul τοῖς ψ. ... ὄμμασι Or.*fr.94 in Jo.*(p.557. 30); ὀφθαλμοὶ...οἱ δὲ ψ. εἰς μῆκος ἀποτείνονται Adam.*dial.*2.11(p.78. 22; M.11.1777A); Sophr.H.*ep.syn.*(M.87.3197A); **3.** ὁ ψ. *the spiritual man* ἔλαιον ὁ ἐπιχεόμενος λόγος τοῦ ψ., τοῦ τὴν ἀγαθὴν πρᾶξιν ἐργαζομένου Or.*comm.ser.in Mt.*63(p.147.16; M.17.304C); **4.** ref. spiritual life ἐν ταῖς διδασκαλίαις αὐτῶν εὑρηκὼς...πολλὴν ψ. λυσιτέλειαν Thdr.Stud.*test.*(M.99.1816C); **5.** ref. spiritual sense of scripture, Or. *princ.*4.2.5(p.314.13; M.11.368A); **6.** ref. Christ's resurrection body ψ. ὃν γέγονε πνευματικόν, καὶ ἐκ γῆς γενόμενον, τὰς οὐρανίους διέβη πύλας Ath.*ep.Epict.*9(p.15.10; M.26.1065B).

B. *natural, carnal, material-minded*, opp. spiritual, **1.** in gen. οἱ ψ. opp. τοῖς πνεύματι θεοῦ φρουρουμένοις, Tat.*orat.*15(p.16.31; M.6. 840A); acc. Thales, of demons, opp. God as νοῦς, Athenag.*leg.*23.2 (M.6.941B); Clem.*paed.*1.6(p.108.24; M.8.288A) cit. s. πνευματικός; cf.id.*str.*2.3(p.118.17; M.8.941B); Or.*Jo.*13.61(59; p.293.25ff.; M.14. 516D); combined with ἐπίγειος and δαιμονιώδης, id.*fr.46 in Jo.* (p.521.19); id.*hom.12.1 in Jer.*(p.85.22; M.13.377A); ἐκκλησία...ἀναγεννῶσα τοὺς ψ. εἰς πνευματικούς Meth.*symp.*8.6(p.88.11; M.18.148B); Ath.*ep.Serap.*1.32(M.26.605B); ψ. πάθη id.*inc.*50.4(M.25.185C); in discussion of 'Second Adam' Christology, ‡Ath.*Apoll.*1.8(M.26. 1105B) cit. s. πνευματικός; τὸ δὲ τοὺς δοκοῦντας εἶναι πιστοὺς, τούτους εὑρίσκεσθαι ψ., τοῦτό ἐστιν τὸ θρήνων ἄξιον Chrys.*hom.63.3 in Jo.*(8.379D); ἐγκόσμιον...καὶ δαιμονιώδη καὶ ψ. σοφίαν Cyr.*Ps.*9:23 (M.69.780A); ψ. πάθη Diad.*perf.*81(p.104.24); γνώμη [sc. self-will] ἐν τοῖς ψ. κρατεῖ Thdt.*qu.53 in 4 Reg.*(1.547); **2.** of the body ἡ τοῦ ψ. σώματος ἰδιότης, ἀεὶ διά τινος ῥοῆς καὶ κινήσεως ἀπὸ τοῦ ἐν ᾧ ἐστιν ἀλλοιοῦσθαι Gr.Nyss.*anim.et res.*(M.46.156B); **3.** of sin ψ. τι ἁμάρτημα CNic.(325)*can.*2; **4.** ref. state of the unbaptized ἅπερ οὐκ ἐφυλαξάμεθα ψ. ὑπάρχοντες, τὰ ὅπλα τῆς δικαιοσύνης λαβόντες ἐν τῇ δυνάμει τηρήσωμεν τοῦ θεοῦ Diad.*perf.*78(p.100.3); **5.** ref. scriptural passages alluding to natural experiences of incarnate Logos, ‡Ath.

